# ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ

# ΙΛΙΑΔΑ,

Ἐκ τῆς ἐκδόσεως τοῦ

IONNES AUGUSTUS MÜLLER.

τὸ πρῶτον ἐκδοθέντα εἰς τόμους τρεῖς, πρὸς εὐκο-
αν τῶν σπουδαζόντων, καὶ ἐχόντων ἐκδόσεις τῆς
ιάδος ἄνευ σχολίων, καὶ κυρίως τὴν στερεότυπον,

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

ΤΟΜ. Β'.



ΕΝ ΑΘΗΝΑΙΣ,

1842.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ
# ΙΛΙΑΔΑ,

Ἐκ τῆς ἐκδόσεως

ΤΟΥ

IOANNES AUGUSTUS MÜLLER

Νῦν τὸ πρῶτον ἐκδοθέντα εἰς τόμους τρεῖς, πρὸς εὐκολίαν τῶν σπουδαζόντων, καὶ ἐχόντων ἐκδόσεις τῆς Ἰλιάδος ἄνευ σχολίων, καὶ κυρίως τὴν στερεότυπον,

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

ΤΟΜ. Β'.

ΕΝ ΑΘΗΝΑΙΣ,
1841.

НБ ОНУ імені І.І.Мечникова

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.
('Οδὸς Θεάτρου 'Αριθ. 1.)

БИБЛ. ИМПЕРАТ. НОВОРОС. УНИВЕРСИТЕТА

НБ ОНУ імені І. І. Мечникова

K

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Θ.

Σ. 1. Καλοῦσι τὴν ῥαψῳδίαν ταύτην καὶ κόλον μάχην, ὅ ἐστι κολοβήν· καθὰ καὶ βοῦν κόλον, τὸν κεκολουμένον τὰ κέρατα, ὃς καὶ κυρίως λέγεται κολοβός. Ἐκλήθη δὲ κόλος μάχη ἡ παροῦσα ῥαψῳδία δι' αἰτίαν τοιαύτην· ἡ πρώτη παράταξις τέσσαρσι ῥαψῳδίαις μεμέριστο, τῇ ¯δ, τῇ ¯ε, τῇ ¯ζ, καὶ τῇ ¯η· ἡ δὲ τρίτη ἀπὸ τῆς ¯λ ἕως τῆς ¯σ μηκύνεται, διηγήσεων ἐμπλεκομένων πολυειδῶν· ἡ δὲ μέση, τουτέστι δευτέρα μάχη, τῇ ¯θ ἐμπεριγραφεῖσα, συντέτμηται, ὅλης ἡμέρας ἔργα περικλείσασα ἐν αὐτῇ στενῶς, καὶ ὡς οἷον εἰπεῖν κολοβῶς. Τὸ γὰρ ἀπὸ πρωΐας μέχρι μέσης ἡμέρας παντελῶς παρῆλθε διὰ τὸ μὴ ἐναγώνιον τῆς μάχης, δυσὶν ἐπιτεμὼν αὐτὸ ἔπεσιν, ἐν τῷ, ἕως μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ καὶ ἑξῆς (στ. 66.) Ε.—Ἠώς] Ἡ ἡμέρα· σημαίνει δὲ πολλά· ὁτὲ μὲν τὸ κατάστημα τῆς ἡμέρας, ὡς ἔχει ἐνταῦθα· ὁτὲ δὲ τὴν σωματικὴν θεόν· ὡς ἔχει ἐπὶ τοῦ, Ἠὼς δ' ἐκ λεχέων (Ὀδυσσ. Ε, 1)· ὁτὲ δὲ τὸ ἀπὸ ἀνατολῆς ἕως μεσημβρίας τοῦ ἡλίου διάστημα, ὡς ἐν τῷ, ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ· ὁτὲ δὲ τὸ νυκτὸς καὶ ἡμέρας διάστημα, ὡς ἐν τῷ· ἠὼς δέ μοι ἐστὶν ἥδε ἑνδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα (Φ, 156.)—Κροκόπεπλος] Κροκωτὸν ἱμάτιον ἔχουσα, κροκοείμων καὶ διαυγής· ἀπὸ τῆς κατὰ τὴν ἀνατολὴν χροιᾶς τοῦ ἡ-



НБ ОНУ імені І.І.Мечникова

λίου γιγνομένης ἐρυθρᾶς· τοῦτο δὲ εἶπεν ὡς ἐπὶ σωματοειδοῦς θεᾶς ποιούμενος τὸν λόγον. Σ. — Κροκόπεπλος] Ὅταν πολὺ σκότους ἔχει, ὀλίγον δὲ φωτὸς, τὸ δὲ ῥοδοδάκτυλος, ἐναντίον· ποιητικὴ δέ ἐςι περίφρασις, ὡσεὶ εἶπεν, ἡμέρα μὲν γέγονεν. Σ. Β. — Σημείωσαι δὲ, ὅτι ἡ τῆς ῥαψῳδίας ταύτης ἡμέρα τρισκαιδεκάτη μέν ἐστι μετὰ τὴν τοῦ Ἀχιλλέως μῆνιν, δευτέρα δὲ τοῦ πολέμου. Εἰ δέ τις καὶ τὰς ἐννέα τοῦ λοιμοῦ ἡμέρας ταύταις προσλογίσεται, εἴη ἂν ἡ ἐξ ἀρχῆς τῆς Ἰλιάδος ἱστορία ἕως τῶν ὧδε, ἡμερῶν κϐ', ἀριθμουμένων οὕτω. Ἡ δεκάτη τοῦ λοιμοῦ, δεύτερος μὲν ἦν τῆς Διὸς ἀπελεύσεως εἰς Αἰθίοπας· χθιζὸς γάρ φησιν ἔϐη Ζεὺς εἰς Αἰθίοπας, ἤγουν τῇ ἐνάτῃ μὲν τοῦ λοιμοῦ, πρώτῃ δὲ τῆς μήνιδος· ὅτε δὲ δωδεκάτῃ μὲν τῷ Διῒ ἐπανελθόντι, ἑνδεκάτῃ δὲ τῷ Ἀχιλλεῖ μηνίσαντι, τότε δὴ ἱκέτευσεν ἡ Θέτις· ἐπεὶ δὲ πέρας εἶχεν αὕτη, ἐπέστη νυκτὸς ὁ ἐν τῇ ¯β οὖλος ὄνειρος, καὶ τῇ ἐπαύριον, δωδεκάτῃ οὔσῃ τῆς μήνιδος, συνέστη πόλεμος, ὃς ἐκ μονομαχίας ἀρξάμενος ἐν τῇ ¯γ, εἰς μονομαχίαν ἐν τῇ ¯η ἔληξεν· ὡς εἶναι τὴν τῆς ¯θ, ὡς ἐρρέθη, ἡμέραν τρεισκαιδεκάτην μὲν τῆς μήνιδος, δευτέραν δὲ τῆς κατὰ μάχην ἔριδος, εἰκοστὴν δὲ δευτέραν τῆς τοῦ βιϐλίου τῆς Ἰλιάδος καταρχῆς. Ε.

Σ. 3. Πολυδειράδος] Ἴδ. Α, 499.

Σ. 4. Ἅμα πάντες] Τὸ δὲ ὑπὸ πάντες ἄκουον (ἀναγν. Εὐς.) ἤγουν πάντες ὑπήκουον· — δοκεῖ δὲ ἡ λέξις ἐνταῦθα τὸ ἁπλῶς ἀκούειν δηλοῦν. Ε.

Σ. 5. Κέκλυτέ μευ, — Θέαιναι] Ἐνταῦθα ὁ Ζεὺς βασιλικῶς ἑαυτὸν συνιστᾷ κατὰ ἐμϐρίθειαν κρατερὰν, ἵνα πάντες εἴξωσιν οἷς αὐτὸς βούλεται. Ε.

Σ. 8. Διακέρσαι] Διακόψαι τῆς κατὰ τελεσφορίαν ὁλότητος. Ε. — Διακόψαι, ἀνατρέψαι. Σ. — Ὅθεν καὶ κέρμα, τὸ εἰς μικρὰ διακεκομμένον. Σ. Β.

Σ. 9. Αἰνεῖτε] Ἀντὶ τοῦ συναινεῖτε, συγκατατίθεσθε· — τελευτήσω τάδε ἔργα· ἃ σιγᾷ μὲν διὰ σεμνότητα, βούλεται δὲ εἰπεῖν τὴν τοῦ Ἀχιλλέως τιμὴν, ἣν καὶ Διὸς βουλὴν εἶπε φθάσας ὁ ποιητής. Ε.

Σ. 10. Ἀπάνευθε—ἐλθόντα] Τὸ ἑξῆς οὕτως· ὃν ἂν ἐγὼ ἴδω τῶν θεῶν χωρὶς ἐμοῦ καὶ δίχα τῆς ἐμῆς ἐπιτροπῆς ἐλθόντα εἰς τὴν μάχην καὶ θέλοντα τοῖς Τρωσὶν, ἢ τοῖς Ἕλλησι, βοηθῆσαι. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 12. Πληγεὶς οὐ κατὰ κόσμον] Ἄμεινον ὑποστίζειν εἰς τὸ πληγεὶς, καί ἐστιν ἀντὶ τοῦ κεραυνωθείς. Σ. Β.

Σ. 13. Ἐς Τάρταρον ἠερόεντα] Τὸ ὑπὸ τὴν γῆν ἐσκοτισμένον μέρος κατώτατον τοῦ ᾅδου, καὶ ἐν βαθυτάτῳ κείμενον τόπῳ. — Ἠερόεντα] Τὸν ὁμιχλώδη καὶ σκοτεινόν. — Ὡς τὰ οὐράνια τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων, οὕτω καὶ ἀπὸ γῆς εἰς Ἅδου, ἀπὸ δὲ ᾅδου εἰς Τάρταρον· ἐναντίος δὲ Ὀλύμπῳ ὁ Τάρταρος· ὁ μὲν γὰρ οὔποτ' ἀνέμοισι τινάσσεται, οὐδέποτ' ὄμβρῳ· ὁ δὲ καὶ τετάρακται καὶ ψυχρὸς εἶναι δοκεῖ· καὶ γοῦν τὸ σφόδρα ῥιγοῦν ταρταρίζειν φασί· καὶ ὁ μὲν ὅλος καταλάμπεται, ὁ δὲ ἠεροειδής ἐστι. Σ. Β. — Ἠερόεις δὲ Τάρταρος ὁ σκοτεινός. — Ὅθεν καὶ τὸ, ἠέρα πολλὴν ἔχευεν, ἤτοι σκότος κατέχεεν (στ. 50.)

Σ. 14. Βέρεθρον] Βέρεθρον δὲ τροπῇ τοῦ ᾱ εἰς ε̄ γέγονεν ἐκ τοῦ βάραθρον· ὁμοίως τῷ πάθος πένθος, βάθος βένθος. — Βέρεθρον· βάθος. Σ.

Σ. 15. Σιδήρειαι — οὐδὸς] Αἱ δὲ σιδήρειαι τοῦ μύθου πύλαι καὶ ὁ χάλκεος οὐδὸς, ἅπερ καὶ ὁ ᾅδης ἂν ἔχοι, τὴν διηνεκῆ καὶ δυσεξίτητον τῶν κατὰ γῆς ὑδάτων καὶ πνευμάτων ἔγκλεισιν δηλοῖ, ὧν εἴ τι ποτὲ προκύψει ἐν τοῖς ἄνω διὰ σεισμοῦ τυχὸν ἤπως ἑτέρως, δεινὰ γίνονται, ὁποῖα καὶ ὁ Τυφῶς ποιεῖ. Ε.

Σ. 16. Οὐρανὸς] Οὐδὲν τοιοῦτον ἐπὶ τοῦ Ὀλύμπου λέγει, καὶ λείπει τὸ ὕπερθεν, ὅσον ἐστὶν ὕπερθεν. Σ. Β.

Σ. 19. Σειρὴν χρυσείην] Χρυσῆν δὲ προσέθηκε, βουλόμενος τὸ πρᾶγμα ποιητικῶς δεῖξαι. Καὶ οἱ μὲν κυρίως οὕτως, οἱ δὲ ἀλληγορικῶς τὸν ἥλιον σειρὴν ἐξ οὐρανόθεν κρεμάσαντες καὶ τὰ ἑξῆς. Σ. Πλάτων δὲ αὐτὸν τὸν ἥλιον χρυσέαν λέγει σειράν· αὐτῷ γὰρ ἐκδεδέσθαι τὸ πᾶν. Ε.

Σ. 20. Ἐξάπτεσθε] Ταὐτὸν τῷ ἐκκρέμασθε, ἵνα δηλονότι καθελκύσητε τὸν Δία πεδίον δὲ, ὅ ἐστι κάτω εἰς γῆν· ὅπερ οὐκ ἂν δῆθεν γένοιτο· δύναται δὲ εἶναι καὶ ἀντὶ τοῦ ἅπτεσθε, ὅ ἐστιν ἐπιλαμβάνεσθε, περιττῆς οὔσης τῆς ἐκ προθέσεως. Ε. — Ἐξαρτᾶσθε, ἐπιλαμβάνεσθε. Σ.

Σ. 22. Ὕπατον μήστωρ] Τὸ δὲ ὕπατον μήστωρα, ἢ ὑφ' ἓν νοητέον, ἵνα δηλοῖ τὸν ὕπατον ἐν βουλευταῖς· ἢ ἰδίᾳ μὲν τὸ μήστωρα, ἰδίᾳ δὲ τὸ ὕπατον· αὐτὸ δὲ διχῶς νοεῖται· ἢ γὰρ

НБ ОНУ імені І. І. Мечникова

ἁπλῶς πάντων ὕπατον, ἢ τῶν ἀρχόντων, κατὰ τὸ ὕπατε κρειόντων. (στ. 31). Μήστωρ δὲ Ζεὺς, ὁ ἐν ἄλλοις μητιόεις καὶ μητίετα. Ε.

Σ. 23. Πρόφρων] Μετὰ προθυμίας. Σ.

Σ. 24. Αὐτῇ γαίῃ] Ἐλλιπὲς τῆς σὺν προθέσεως. Ε.

Σ. 25. Περὶ ῥίον] Περὶ τὸ ἄκρον. Σ.

Σ. 29. Μάλα κρατερῶς] Ἤγουν ἀποτόμως ἐλάλει. Ε.

Σ. 33. Ὀλοφυρόμεθ'] Ὀλοφύρεσθαι δὲ, τὸ ὀλοῶς, ἢ μετὰ ὀλυγῆς φύρεσθαι, δάκρυσι δηλαδή. Ε.

Σ. 34. Ἀναπλήσαντες] Ἀναπλῆσαι δὲ οἶτον, τὸ τελευτὴν θανάτου ἰδεῖν· ταὐτὸν γὰρ ἀναπλῆσαι καὶ τελευτῆσαι. Ε.

Σ. 38. Τὴν δ' ἐπιμειδήσας προσέφη] Ὅτι ὁ οὕτω σφοδρῶς πρὸ βραχέων δημηγορήσας Ζεὺς ἤπιος γίνεται, μειλίχιόν τι καὶ ὕπουλον φθεγξαμένης τῆς Ἀθηνᾶς· Ἥρα μὲν οὖν εἴπερ ἐλάλησεν, αἰνότατόν τε προσεῖπεν ἂν τὸν Δία (στ. 462), καὶ προσηρέθισεν εἰς θυμὸν, τοιοῦτον γὰρ ὁ μῦθος ἦθος αὐτῇ ἀνεπλάσατο· — ἥτις καὶ μετ' ὀλίγα ἐρεῖ, ὡς εἰ ἐθέλοιμεν ὅσοι Δαναοῖς ἀρωγοὶ ἀντιπεσεῖν τῷ Διῒ, ἀκάχοιτο ἄν· (στ. 205). Ἀθηνᾶ δὲ τεχνικῶς ὑπενδίδωσι, καὶ ὀψὲ καὶ αὐτὴ λαλήσασα, εἰδέναι μὲν τὸ τοῦ Διός φησι σθένος, ὀλοφύρεσθαι δ' ὅμως ὑπὲρ Ἀχαιῶν· καὶ τὴν Διὸς μὲν ἰσχὺν ὁμολογεῖ, προΐσχεται δὲ ἐλέου (Βασ. κακ. ἐλέῳ) εἰσβολὴν, ὡς οὐ θρασυνομένη κατὰ πατρὸς, ἀλλ' οἰκτιζομένη τοὺς ἐλεεινούς. Ε.

Σ. 39. Τριτογένεια] Ἴδ. Δ, 515.

Σ. 40. Πρόφρονι] Τῷ ἐκ φρονήσεως καὶ διαθέσεως. Σ. (ἴδ. στ. 23.).

Σ. 41. Τιτύσκετο] Οἰκεῖον τῷ ἀπειλοῦντι τὸ αὐτουργεῖν. Σ. Β. — Χαλκόποδ' ἵππω] Χαλκόποδες, οἱ στεῤῥόποδες, καὶ ὡς ἀλλαχοῦ ἐρεῖ κρατερώνυχες (Ε, 329). — Τιτύσκετο] Λέξις ἀμεταχείριστος πεζολεκτοῦντι ῥήτορι, γινομένη ἀπὸ τοῦ τύκω, τὸ κατασκευάζω. Ε. (ἴδ. Γ, 80. καὶ Φ, 342.).

Σ. 43. Γέντο] Τουτέστιν, εἵλετο. Ε. — ἔλαβεν. Σ.

Σ. 46. Οὐρανοῦ ἀστερόεντος] Οὐδέποτέ φησιν, ἀπ' Ὀλύμπου ἀστερόεντος· ἔνθεν δῆλον, ὅτι Ὄλυμπος οὐ τὸν οὐράνιον τόπον δηλοῖ, ἀλλὰ τὸν ὑπ' οὐρανόν. Σ. Β.

Σ. 47. Ἴδην—Γάργαρον] Τῷ μέρει τὸ ὅλον συμπεριείληπται· ὅλον μὲν γὰρ, ἡ Ἴδη, μέρος δὲ τὸ Γάργαρον, καὶ μέχρι νῦν τηροῦν τοὔνομα· κληθὲν οὕτω διὰ τὰ ἐκεῖ ἀναδιδό-

НБ ОНУ імені І.І. Мечникова

μενα ὕδατα, καὶ τὸν ἐντεῦθεν ποιὸν ἦχον· ἐξ οὗ καὶ ἐφ' ἡμῶν τὸ ἀναγαργαρίζειν λέγεται καὶ ὁ γαργαρεών. Οἱ δέ φασι, τρία εἶναι τῆς Ἴδης ἀκρωτήρια, Γάργαρον, Λεκτὸν, Φαλάκραν· τοῦ δὲ Γαργάρου τοὺς οἰκήτορας Γαργαρεῖς λέγεσθαι· αὐτὸ δὲ οὕτω κληθῆναι καθ' ὁμοιότητα τοῦ ἐν ἡμῖν γαργαρεῶνος, λήγοντος ἀπὸ παχέος εἰς ὀξύτερον Ε. — Ἔστι δὲ καὶ Γάργαρος πόλις· ἁρμόδιον δὲ τῷ ὄρει τὸ μητέρα θηρῶν· λέγεται γὰρ ὄφεις ἐνεγκεῖν, οἳ τῷ μεγέθει τοῦ ἐλάφους ἀναιροῦσιν εἰλούμενοι περὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, καὶ τοῖς δένδροις προσαρτῶντες αὐτοὺς, καὶ οὕτω διαφθείροντες· — πίδακές εἰσιν αἱ τῶν ὑδάτων ἀναδόσεις αἱ μικραί. Σ. Β.

Σ. 51. Κύδεϊ γαίων] Τῇ ἑαυτοῦ ἐνηδόμενος δόξῃ καὶ ἀρετῇ. Σ. Β.

Σ. 53. Δεῖπνον]. Ἴδ. Β, 381.

Σ. 54. Ἀπὸ κ.τ.λ.] Ὅτι καθάπερ ἀλλαχοῦ ἡ ἐκ πρόθεσις ἀντὶ τῆς μετὰ λαμβάνεται, οὕτως ἐνταῦθα ἡ ἀπὸ, ἀντὶ τοῦ μετὰ τὸ δεῖπνον. Ε.

Σ. 57. Χρειοῖ ἀναγκαίῃ] Διὰ χρείαν, ἀνάγκην ἐπιφέρουσαν καὶ ἐπείγουσαν. — Πρό τε παίδων] Ἀντὶ τοῦ καὶ ὑπὲρ τέκνων. Σ.

Σ. 58. Πᾶσαι δ' ὠΐγνυντο πύλαι] Τὸ δὲ πᾶσαι πύλαι οἱ μὲν ἐπὶ δύο μόνων πυλῶν ἡρμήνευσαν, οἱ δὲ ἐπὶ πολλῶν. Ε. — Ὅτι μία ἐστὶ πύλη, καὶ πληθυντικῶς εἶπεν πύλαι· τὸ δὲ πᾶσαι, ἀντὶ τοῦ ὅλαι. Σ. Β. — Οὐ λέγει περὶ τῶν ἐν Ἰλίῳ πυλῶν μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐν τῷ ναυστάθμῳ τῶν Ἑλλήνων, οὐδὲ λαὸν τὸν Τρωϊκὸν μόνον, ἀλλὰ καὶ τὸν Ἑλληνικόν· τούτῳ γὰρ ἀκόλουθον καὶ τὸ, οἱ δ' ὅτε δὴ ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, καὶ τὰ ἑξῆς. Σ. Β. — Ὠΐγνυντο] Ἀνεῴγνυντο. Σ. — Γίνεται ἀπὸ τοῦ οἴγω, οἴγνω, οἰγνύω, οἴγνυμι. Ε.

Σ. 59. Ὀρυμαγδός] Ὁ ὀρυμαγδὸς κεῖται οὐ μόνον ἐπὶ πολέμου κατὰ ὀνοματοποιΐαν, καὶ ἐπὶ ἤχου τομῆς ξύλων κυρίως ἐν ὄρεσιν, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ θορύβου μεγάλου. Ε. (Ἴδ. φ, 313.).

Σ. 60. Ἕνα] Τὸν αὐτόν. Σ.

Σ. 66. Ἀέξετο] Ὅτι αὔξησις ἡμέρας λέγεται καθ' Ὅμηρον τὸ ἀπὸ πρωΐας μέχρις ἡλιακοῦ μεσουρανήματος, τὸ δ' ἐντεῦθεν, φθίνειν ἡ ἡμέρα δοκεῖ. — Ἱερὸν ἦμαρ] Ἱερὸν δέ φασιν ἦμαρ λέγει, τὸ πρὸ μεσημβρίας, ἐν ᾧ ἔθυον ὡς τὰ πολλά· τὸ

НБ ОНУ імені І.І.Мечникова

γὰρ μεσημβρινὸν τοῖς κατοιχομένοις ἀπένεμον εἰς χοάς· οὐδὲν δὲ κωλύει νοῆσαι ἦμαρ ἱερὸν ἐνταῦθα καὶ τὴν ὅλην ἡμέραν. Ε.

Σ. 69. Χρύσεια—τάλαντα] Ὅτι αἰνιττόμενος ὁ ποιητὴς τὴν τῆς μοίρας καὶ περὶ τὰ πολεμικὰ διπλόην, ζυγοστατοῦντα πλάττει νῦν τὸν Δία, ὃς εἰς μοῖραν ἐκλαμβάνεται, καὶ ἐν πλάστιγγι τιθέντα δύο κῆρας θανάτου Τρώων τε καὶ Ἀχαιῶν, μίαν δηλαδὴ ὑπὲρ ἑκατέρου στρατεύματος, καὶ εἰς ζυγοῦ ῥοπὰς ἄγει τὸ δισταζόμενον·—ὅτι δὲ τάλαντον κυρίως ἐπὶ ζυγοῦ, καὶ ὅτι ὁμωνύμως τῷ ὀργάνῳ λέγεται τάλαντον καὶ τὸ ζυγοστατούμενον, καὶ ὅτι τὸ ῥέπειν κυριωτάτη λέξις ἐπὶ τοῦ κάτω βαρεῖσθαι τὸν σταθμὸν, καὶ ὅτι τὰ μὲν κάτω καὶ πρόσγεια δυστυχίας τίθεται σύμβολα· ἡ δέ γε μετέωρος πλάστιγξ εὐτυχίαν δηλοῖ καὶ ἐνηρτημένην ζωὴν διὰ τὸ τῶν ἄνω μακρόβιον, καὶ ἐν τοῖς ἑξῆς φανήσεται·—τιταίνει, ὅ ἐστιν ἐξαπλοῖ, καὶ μέσου λαβόμενος ἀνορθοῖ, καὶ ἀντίθησι τὸ δοκοῦν. Ε.—Ἐτίταινε] Ἔτεινεν, εἷλκε. Σ.—Ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχὰς, ἐποίησε τὴν ψυχοστασίαν, ἐν ᾗ ἐστιν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν. Σ. Β.

Σ. 76. Δαιόμενον σέλας] Τὸ σέλας δηλοῖ τὴν ἔλλαμψιν· βουλόμενος οὖν εἰπεῖν, ὡς οὐκ ἦν ἀστραπὴ τὸ γενόμενον, ἀλλὰ κεραυνὸς μετὰ τὴν βροντὴν, προσέθηκε τὸ δαιόμενον· ἡ γὰρ πρὸ βροντῆς ἀστραπὴ, οὐ κεραυνός· μετὰ γὰρ τὴν βροντὴν ὁ κεραυνὸς, ὅς ἐςι καυστικός. Σ. Β.

Σ. 78. Ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ κ.τ.λ.] Σημείωσαι δὲ, ὅτι τεράστιος ὢν ὁ ποιητὴς καὶ πολυμήχανος ἐν ταῖς διασκευαῖς, τοιοῦτος κἀνταῦθα εὑρίσκεται· ἀνάγκη μὲν γὰρ ἀπὸ τῆς ἄρτι ἡττηθῆναι τοὺς Ἀχαιοὺς, ἵνα ἡ τοῦ Διὸς βουλὴ τελεσθῇ· τόδ' οὐκ ἔστι γενέσθαι, εἰ μὴ συσταλῶσιν οἱ ἄρχοντες· γίνεται δὴ τοῦτο, καὶ οὐδεὶς ἔτλη μένειν· ἐπεὶ δ' ἀγεννέστατον τὸ πάντας φυγεῖν, μένει μόνος ὁ Διομήδης, ἠρεθισμένος ἔτι ἐκ τῶν χθὲς λόγων τοῦ βασιλέως· ἐπεὶ δὲ ἀδύνατον μὴ καὶ αὐτὸν φυγεῖν Διὸς βουλομένου, συγχέεται τὸ ἅρμα τοῦ Νέστορος, κἀκεῖθεν εἰς τὸ τοῦ Διομήδους ὁ γέρων ἀναβὰς, καὶ γνοὺς, οἷα ὁ Ζεὺς βούλεται, πείθει τὸν ἥρωα εὐλαβηθῆναι, καὶ φυγάδε τρέπει τοὺς ἵππους, καὶ οὕτως εὐσχημόνως ἡ πάντων φυγὴ οἰκονομεῖται, ἵνα μὴ θεομαχῶσιν ἀνθιστάμενοι τῷ Διῒ, τὰ ἑαυ-

НБ ОНУ імені І.І. Мечникова

τοῦ προβεβλημένῳ βέλη, τοὺς τῶν βροντῶν δηλαδὴ κτύπους καὶ σέλας τὸ δαιόμενον. Ε.

Σ. 80. Νέστωρ δ' οἶος ἔμιμνε] Καινὸν δὲ τῆς διασκευῆς ταύτης καὶ τὸ δύο μόνους μεῖναι ἥρωας διαφόρους τόν γε τῆς μονῆς τρόπον. Νέστωρ μὲν γὰρ ἄκων, Διομήδης δὲ ἑκὼν ἔμεινε· καὶ τὸ ἄλλους μὲν ὁμοῦ ἐξονομάσαι ἀρίστους φεύγοντας, τὸν δὲ Ὀδυσσέα ἰδίᾳ θέσθαι χάριν ἐπικρύψεως, δι' ἣν οὐδὲ φυγεῖν ἔφη αὐτὸν, ἀλλὰ πραΐξαι (στ. 98) τὸν Διομήδην ἐπὶ νῆας, τὴν φυγὴν οὕτω ὑποσεμνύνων τοῦ πολύτλα καὶ τλήμονος ἥρωος. Ε. — Οὖρος Ἀχαιῶν] Μεταφορικῶς ὁ ἄνεμος· δι' αὐτοῦ γὰρ ἰθύνεται τὰ πράγματα καὶ εἰ οὗτος ἀπολεῖται, συναπόλλυσι σχεδὸν τὸ πᾶν· οὐκ εἰσάγει δὲ αὐτὸν ἀναιροῦντα, διὰ τὸ ἀπίθανον· ἀλλ' οὐδὲ πάσχον τὶ διὰ τὴν ἐξαίρετον φυλακὴν περὶ αὐτόν· οὐ τυχόντα δὲ διὰ τούτου ἐκίνησεν ἡμῖν ἀγῶνα· ἐπεὶ δὲ ἄπιστον ἦν τοσούτων νέων φευγόντων, μόνον μεῖναι τὸν γέροντα, ἐν ἀπολογίας μέρει ἐπιφέρει τὸ οὔτι ἑκών. Σ. Β.

Σ. 83. Ὅθι τε πρῶται τρίχες] Τὰς δὲ τοιαύτας τρίχας ἕτεροι προκόμιον ἵππου φασί· πρῶται δὲ λέγονται ὡς πρὸς τὴν χαίτην· αὕτη γὰρ μετ' ἐκείνας ἐστί. Ε.

Σ. 84. Καίριον] Καίριον δὲ, ἢ τὸ θανάσιμον κατὰ τοὺς παλαιοὺς, παρὰ τὴν κῆρα, ἢ τὸ εὔκαιρον εἰς κίνδυνον διὰ τὸν ὑποκείμενον ἐγκέφαλον· βέλος γὰρ εἰς ἐγκέφαλον δῦ. Ε. (Ἴδ. Δ, 185.).

Σ. 85. Ἀνέπαλτο] Λέξις καὶ αὐτὴ καιρία, δηλοῦσα ὀρθὸν ὑπὸ ἄλγους τὸν ἵππον στῆναι, ἤτοι ἀναπηδῆσαι. Ε.

Σ. 86. Περὶ χαλκῷ] Τὸ δὲ περὶ χαλκῷ, τῷ τοῦ ὀξέος σιδήρῳ δηλαδή. Ε. — περὶ τῷ σιδήρῳ τῶν ἐπισώτρων, ὅ ἐστι τῶν κανθῶν. Σ.

Σ. 87. Ἀπέταμνε] Τὸ δὲ ἀπέταμνεν ἀστείως εἴρηται κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν· οὐ γὰρ δυνάμενος ὁ οὕτω γέρων ταχὺ ἀποταμεῖν, ἀπέταμνε κατ' ὀλίγον ἐν παρατάσει χρόνου, καί τοι μὴ ἀνιέμενος, ἀλλ' ἀΐσσων, ὅ ἐστι πάνυ σπεύδων· εἰ δὲ καὶ ἦν εἰπεῖν ἀπέτεμνε κοινότερον, ἀλλ' Ὅμηρος τὴν κατ' αὐτὸν Ἰάδα γλῶσσαν τιμᾷ, τὸ τέμνειν τάμνειν λέγουσαν. Ε. — Δεινός ἐστιν Ὅμηρος καὶ διὰ μιᾶς λέξεως ὅλον τὸν ἄνδρα σημαίνειν. Διὰ γὰρ τοῦ ἀπέτεμνε τὴν ἀσθένειαν τοῦ γέροντος δηλοῖ, καὶ ἐντεῦθεν τὸ βραδὺ τῆς ἐνεργείας. Προσηκόντως οὖν ἐπὶ τοῦ πρεσβύτου ἐχρήσατο τῷ παρατατικῷ χρόνῳ, εἰπὼν

НБОНУ імені І.І.Мечникова

τὸ ἀίσσων· ἐπὶ δὲ τοῦ νέου Αὐτομέδοντος τῷ συντελικῷ, εἰπὼν, ἄϊξε καὶ ἀπέκοψε συντόμως τὸ πρᾶγμα ἐδήλωσεν. Σ.— Τὸν δὲ τειρόμενον ἵππον παρήορον νοητέον, ὡς δηλοῖ τὸ, παρηορίας ἀπέταμνεν, ὃ σημαίνει τὰς τοῦ παρηόρου ἡνίας. Καὶ σημείωσαι, ὅτι καὶ ἑτέρους εἰκὸς παρηόροις ἐν μάχῃ χρᾶσθαι ἀναγκαίως, εἰ καὶ μὴ ὁ ποιητὴς παρασημαίνεται, ὃς οὐδ' ἂν ἐνταῦθα ἐπέστησεν, εἰ μὴ ἐχρῆν. — Ὁ δὲ παρήορος ἀπὸ τοῦ παραείρω, τὸ παραζευγνύω, γίνεται, ἵνα ᾖ παρήορος ὁ παρεζευγμένος, ἤγουν ὁ ἐγγὺς ὢν τῶν ζυγιτῶν, ἢ τῶν ζυγίων κατὰ τὸν Κωμικόν. (Νεφ. 122). Ὁ δὲ τοιοῦτος καὶ παράσειρος λέγεται παρὰ τοῖς ὕστερον, ἔτι δὲ καὶ σειραῖος, ὡς δηλοῖ Σοφοκλῆς (Ἠλεκτρ. 722.) ἀπὸ τῆς σειρᾶς, ὅθεν καὶ ἀνασειράζειν ἵππον, τὸ ἀναχαιτίζειν. Ε.

Σ. 89. Ἡνίοχον] Τὸν ἐπιβάτην, τὸν δεσπότην. Σ.

Σ. 91. Διομήδης] Ἔσχατος δηλονότι πάντων φεύγων. Ε.

Σ. 93. Πολυμήχαν' Ὀδυσσεῦ] Πολυμήχανον παριστᾷ, οὐχ ἁπλῶς, ἀλλ' ὡς ἀληθῶς τοιοῦτον τὸν Ὀδυσσέα φησίν· ἦν γὰρ ὡς, καὶ ἐν Ὀδυσσείᾳ σημειοῦνται οἱ παλαιοὶ, οὐ μόνον πύκτης καὶ παλαιστὴς, καὶ δισκεύειν εἰδὼς καὶ τόξῳ ἀριστεύειν, καὶ ἀκοντίζειν, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ, ἀλλὰ καὶ γεωργὸς, ὅτε δρέπανον ἐκεῖ ζητεῖ καὶ πηκτὸν ἄροτρον· καὶ κυβερνήτης, ὃς καὶ πόδα νηὸς διόλου νωμᾷ (Ὀδύσσ. Κ, 32)· καὶ τέκτων, ὡς ἡ ἐν τῇ Ἰθάκῃ κλίνη δείκνυσι. (Ὀδυσσ. Ψ, 189)· καὶ ναυπηγὸς, ὡς ἡ σχεδία δηλοῖ, ἣν συνεπήξατο· καὶ κυνηγὸς ὁ καὶ τὴν ἐπίσημον οὐλὴν ἔχων ἐκ τοῦ συὸς, ὃν ὀδόντι ἐλάσαντα, ὅμως κατέβαλε (Ὀδυσσ. Τ, 393)· καὶ μάντις, φῆμιν γοῦν ζητεῖ ἐν Ἰθάκῃ, ἀφ' ἧς συμβαλεῖται τὸ μέλλον (Υ, 100. 105.)· ἔτι δὲ καὶ μάγειρος δαιτρεῦσαι εἰδὼς καὶ ὀπτῆσαι (Ὀδυσσ. Ο, 322)· ἤδη δὲ καὶ ἰατρὸς, ἐν οἷς φάρμακόν φασι ζητεῖ, ὄφρα οἱ εἴει ἰοὺς χρίεσθαι· ὅτι δὲ καὶ ῥήτωρ ἄκρος ἦν, ἔκδηλον· εἰ δὲ καὶ πληϊάδας ὁρῶν καὶ ὑάδας ναυτίλλεται, ἔστι καὶ ἀστρονόμον νοῆσαι αὐτὸν (Ὀδυσσ. Ε, 272)· τῷ δὲ πολυμηχάνῳ ἀντίκειται ἡ ἀλλαχοῦ δηλουμένη ἀμήχανος, ὅ ἐστιν ἁπλῆ καὶ ἀπόνηρος καὶ ἀπερίεργος, καὶ ἄτεχνος, εἴτουν ἄδολος γυνὴ, καὶ ὁ κατ' αὐτὴν ἀνήρ· (Εὐριπ. Ἱππολ. 643). Αὐτοῖς δὲ πάλιν ἀντιπίπτει ἡ ἀμήχανος Ἥρη (Ἰλιαδ. Ο, 14), καὶ εἴτις δαίμων ἔοικεν αὐτῇ, ὧν καὶ τὰ ἔργα ἀμήχανα, κατὰ τὸ, λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα· (στ. 130)· εἰπεῖν δὲ ταὐτὸν, κακομήχανα. Ε.

Σ. 94. 95. Μήτις τοι φεύγοντι] Ἐλλιπῶς ἔχει ὁ στίχος, λείπει γὰρ τὸ ὅρα, ἢ δέδιθι, ἢ ἄλλο ῥῆμα τοιούτου τρόπου, ἵνα λέγῃ, ὅτι ὅρα, μή σε φεύγοντά τις πλήξῃ, ἢ βάλῃ τὰ νῶτα. — Νῶτα βαλών] Τὸ δὲ μεταβαλὼν νῶτα, ταὐτὸν δύναται τῷ μεταθέμενος, στρέψας· μεταβολὴ γὰρ ἀντιπροσώπου στάσεως, τὸ στρέψαι τὰ νῶτα. Ε. — Ἐν ὁμίλῳ] Ἀμφίβολόν ἐςι τὸ λεγόμενον· ἤτοι γὰρ ὡς δῆλον (ἴσως δειλὸς), ἐν πλήθει φεύγεις, οἷον μετὰ ταραχῆς, ἢ ὡς ἐν ὄχλῳ ἀπαρακαλύπτως· ἢ τὸ ἑξῆς ἐστι, φεύγεις ἐν ὁμίλῳ, οἷον καὶ σὺ μετὰ τοῦ πλήθους, ὡς εἷς τῶν πολλῶν. Σ. Β.

Σ. 97. Οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς] Οἱ τὸν Ὀδυσσέα ψέγοντες ὡς δειλὸν, ἀντὶ τοῦ οὐχ ὑπήκουσεν, οὐδὲ ἐπείσθη νοοῦσι, δειλίαν αὐτοῦ σημειούμενοι, καὶ ἀπὸ τοῦ ἐν μέσῳ τοῦ ναυστάθμου τὰς αὐτοῦ νῆας εἶναι· οὗ ἀνάπαλιν αἱ τῶν ἀρίστων ἄκραι ἵσταντο. Ἔτι δὲ καὶ ἀπὸ τοῦ ἐν μονομαχίᾳ ὕστατον ἀναστῆναι αὐτόν· καὶ ἐν τῇ νυκτεγερσίᾳ δὲ, τὸν Δόλωνα πρὸ τοῦ Διομήδους ἰδεῖν, (Κ, 340) καὶ μήτε τὸν Ῥῆσον φονεῦσαι· (Κ, 495) — Ὅτι δὲ ταῦτα συνέσεως μᾶλλον ἔργα καὶ ἀσφαλείας, ἤπερ δειλίας, ἑτέροις δέδεικται. Τέως γε μὴν, οἱ μὲν τὸ οὐδ' ἐσάκουσεν, ἀντὶ τοῦ οὐκ ἐπείσθη, ὡς εἴρηται, φασίν· ἕτεροι δὲ, ἀντὶ τοῦ οὐκ ᾔσθετο, οἷα θορυβούμενος· — καὶ κρεῖττον οὕτω νοῆσαι τὸ οὐδ' ἐσήκουσεν· οὐ γὰρ ἂν Ὅμηρος τὸν οὕτω δειλανδροῦντα καὶ φυγομαχοῦντα ἐπιθέτοις κοσμίοις ἐσέμνυνε πολύτλαν καὶ δῖον ἀποκαλῶν· βραχεῖα γὰρ ἐπιθέτων προσθήκη τὰς τῶν νοημάτων ἀμφιβολίας ἔλυσεν· — Ἰστέον δὲ, ὅτι οὐ κατηγορητέον Ὀδυσσέως δειλίαν, οὐδὲ εἰ δὲ φεύγει ἄρτι, ὅτι μηδὲ τοῦ μεγάλου Αἴαντος κατηγορήσει τις τὸ δειλαίνεσθαι, ὅτε φεύγει καὶ ἐκεῖνο, ἵνα μὴ θεομαχῇ· ὃ καὶ Διομήδης ἄκων, συμβουλεύσαντος Νέστορος, μετ' ὀλίγα πείσεται. Ε. — Καὶ γὰρ οὐκ ἦν δειλὸς τῶν ἄλλων ἔσχατος φεύγων, καὶ τῇ βραδυτῆτι τὸ φιλοκίνδυνον ἐπιδεικνύμενος. Σ. Β.

Σ. 104. Ἠπεδανός] Ἀσθενὴς, ἢ ἄτεχνος, οἱονεὶ ἀπεδανὸς, ὁ μὴ δυνάμενος δι' ὑπερβολὴν ἀσθενείας ἐν τῷ πεδίῳ, ὅ ἐστιν ἐν τῷ ἐδάφει στῆναι· ἔμπεδος γὰρ λέγεται, ὁ ἐν τῷ πεδίῳ δι' ἰσχὺν ἑστὼς βεβαίως. Σ.

Σ. 105. Ἐπιβήσεο] Τὸ δὲ ἐπιβήσεο ἀσυνήθως καὶ αὐτὸ ἔχει κανονισθὲν ὡς ἀπὸ ἐνεστῶτος τοῦ ἐπιβήσω. Ε.

Σ. 108. Ἑλόμην] Τουτέστιν ἐληϊσάμην. — Εἰ δὲ τοῦτο δο-

НБ ОНУ імені І.І. Мечникова

κεῖ ταπεινοῦν τὸν Αἰνείαν ὡς μὴ ἐπιστάμενον καὶ διώκειν καὶ φεύγειν, ἀλλὰ μόνον φόβου μήστωρα, ἴσως μὲν τῷ φόβῳ καὶ τὴν δίωξιν συννοητέον, ἵνα μὴ ὁ ἥρως ἐλαττοῖτο ἵππων ἀρετῆς· μάλιστα δὲ νοητέον ἐκεῖνον μήστωρα φόβου, ὡς μηδόμενον, ὅ ἐστι βουλευόμενον, δι' ὧν ἂν φόβον πάθοιεν οἱ ἀντίπαλοι. Οἱ δὲ γράψαντες μήστωρε φόβοιο, ἤγουν μήστωρας, διὰ τοὺς ῥηθέντας ἵππους, πάνυ σφάλλονται τοῦ ὀρθοῦ. Ε. — (Ἰδ. Ἀπολλόν. στ. 459. ἐργάτην φυγῆς.).

Σ. 109. Κομείτων] Κομείτωσαν, θεραπευέτωσαν. Σ. — Ὅτι ποτὲ μὲν κομῶ τὸ ἐπιμελοῦμαι· κομείτων, ἤτοι ἐπιμελείσθωσαν, ποτὲ δὲ κομίζω, ἐξ οὗ κομιδὴ, ἡ ἐπιμέλεια. Ε.

Σ. 114. Σθένελος] Φασὶ δὲ τὸν Σθένελον ἀπὸ τοῦ τείχους κατενεχθέντα τρωθῆναι τὸ σκέλος· διὰ τοῦτο οὐ πολεμεῖ, ἀλλ' ἡνιοχεῖ Διομήδει. Σ. Β. — Ἀγαπήνωρ] Ὁ ἀγαπῶν τὴν ἠνορέην, ἤγουν τὴν ἀνδρίαν. Σ.

Σ. 115. Βήτην] Ἤγουν, οὗτοι ἄμφω εἰς τὸ τοῦ Διομήδους ἔβησαν ἅρμα· ἡ δὲ τοιαύτη ὑπέρβασις τῆς προθέσεως, οὐ πάνυ συνήθης· — καὶ ὅμως ἐκ τούτου εἴληπται παρὰ τοῖς ὕστερον τὸ, κατ' ἄλλος ἄλλο μέρος, καὶ τὴν αὐτὸς ἑαυτοῦ τύχην, καὶ ὅσα τοιαῦτα. Ε.—Οἰκονομικῶς ἐπὶ τὸ ἅρμα Διομήδους ἀναβιβάζει τὸν Νέστορα, ἵνα πεισθῇ φυγεῖν καὶ εἴξαι ταῖς τοῦ Νέστορος παραινέσεσι· Σθενέλῳ γὰρ οὐκ ἂν ἐπείσθη, ὅπου γε. Σ. Β.

Σ. 122. Ὑπερώησαν] Ἀρέσκει μάλιστα δηλοῦν τὸ ἀφώρμησαν, ἀνεχώρησαν, ἀνεπόδισαν, ἀπὸ τοῦ ἐρωὴ, ἡ ὁρμὴ, ὅθεν ἐρωῶ, τὸ ὁρμῶ. Ε.

Σ. 124. Πύκασε φρένας] Ἤγουν τὰς τοῦ Ἕκτορος φρένας ἐκάλυψεν, ἢ ἐπύκνωσε λύπη. — Ἡνιόχοιο] Λείπεται τῆς προθέσεως τῆς ὑπέρ· οὕτω δ' εὐθὺς καὶ τὸ, ἀχνύμενός περ ἑταίρου. — Κεῖται δ' ἐν τούτοις καὶ μεθέπειν τὸ ζητεῖν καὶ ἀνερευνᾷν· φησὶ γὰρ, ὁ δ' ἡνίοχον μέθεπε θρασὺν, ὃν καὶ ἵππων σημάντορά φησι, ὡς ἀπὸ τοῦ σημαίνειν, ὃ δηλοῖ τὸ ἐπιτάσσειν. Ε.

Σ. 129. Ἐπέβησε] Ἐπιβῆναι ἐποίησε. Σ.

Σ. 130. Ἀμήχανα ἔργα] Πρὸς ἃ οὐκ ἄν τις σχοίη μηχανὴν εὑρεῖν· ἐξ οὗ δεινὰ καὶ χαλεπά. Σ.

Σ. 131. Σήκασθεν] Λέγεται δὲ τὸ σηκάζεσθαι κατὰ τοὺς παλαιοὺς οὐχ ἁπλῶς ἐπὶ πάντων θρεμμάτων, ἀλλὰ κυρίως ἐπὶ ἀρνῶν· καὶ σηκὸς ὁ τόπος τῆς αὐτῶν στάσεως· εἰ καὶ οἱ μεθ' Ὅμηρον καὶ ἐπὶ ναοῦ τὴν λέξιν ἔθεντο τοῦ σηκοῦ, εὐλόγως

НБ ОНУ імені І.І.Мечникова

ποιοῦντες. Σημείωσαι δὲ, ὡς εἰπὼν ὁ ποιητὴς ἐπὶ Τρώων τὸ σηκάζεσθαι ἀντὶ τοῦ ἐγκλεισθῆναι τῇ πόλει, καὶ τῇ λέξει παραχρησάμενος τολμηρότερον, θεραπεύει αὐτίκα συνήθως διὰ συντόμου παραβολῆς τῆς καθὰ ἄρνες. Ε.

Σ. 135. Θεείου καιομένοιο] Πλεονάζει μὲν τὸ ε, λείπει δὲ τὸ ὡς, ὤφειλε γὰρ εἰπεῖν, ὡς θείου καιομένου· ἔνθα γὰρ κεραυνὸς πέσῃ, ἐκεῖ ὡσανεὶ θείου καιομένου ὄζει· — τοῦτο δὲ διὰ τὴν ὕλην γίνεται τοῦ κεραυνοῦ. Ε.

Σ. 136. Καταπτήτην] Ὅ ἐστι κατεπτηξάτην ὑπ' ὄχεσφι. Ε. Κατέπτηξαν, ἐφοβήθησαν. Σ.

Σ. 139. Φόβον δ' ἔχε] Εἰς φυγὴν ἔλαυνε. Σ.

Σ. 140. Ἀλκή] Νῦν ἀλέξησις καὶ βοήθεια. Σ.

Σ. 143. Εἰρύσσαιτο] Τὸ δὲ εἰρύσσαιτο, ἀντὶ τοῦ μεθελκύσει, ἢ κωλύσει. Ε. — Κατάσχῃ, κρατήσειε. Σ.

Σ. 148. Ἕκτωρ γὰρ κ. τ. λ.] Κἂν τούτοις τὸ φιλότιμον Διομήδους ἐμφαίνεται, ὃς μὴ μόνον παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν σπουδάζει, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις. Σ. Β.

Σ. 150. Ἀπειλήσει] Καυχήσεται, κομπάσει· σημαίνει δὲ ἡ λέξις πλείονα· ἐπὶ καυχήσεως μὲν, ὡς νῦν (ἴδ. Φ, 161. καὶ Η, 96.)· ἐπὶ δ' εὐχῆς, ὡς ἐν ἐκείνοις, οὐδ' ἠπείλησεν ἄνακτι (Ψ, 863.)· ἐπὶ δὲ ὀργῆς, ὡς ἐν τῷ· ἠπείλει κἀκεῖνος ἐναντίβιον πολεμίζων ἐνθάδ' ἐλεύσεσθαι (Υ, 179.). Σ. — Ὅτι Διομήδης μὲν αἰδεῖται φυγεῖν, λογιζόμενος, ὡς ἄρα, οἷα εἰκὸς, Ἕκτωρ δήποτε φήσει ἐνὶ Τρώεσσιν ἀγορεύων, Τυδεΐδης ὑπ' ἐμοῖο φοβεύμενος, ἤτοι οὐχ ὑπὸ Διὸς, ἀλλ' ἐμοῦ φεύγων, ἵκετο νῆας. καὶ ἐπεύχεται τότε θανεῖν. Ε. — Εὐρεῖα] Τὸ εὐρεῖα, ἀντὶ τοῦ εὐρέως. Σ. Β.

Σ. 156. Ἐν κονίῃσι βάλες] Τὸ δὲ ἐν κονίαις βαλεῖν, τὸ κτεῖναι περιέφρασε· καὶ ἄλλως δὲ εἰπεῖν, παλαιστικὴ ἡ φράσις· ἐν πάλῃ γὰρ οἱ ἀνταγωνισταὶ ἐν κονίαις βάλλονται· ἴσως δὲ καὶ ταφῆς ἔννοιαν ὁ λόγος ἔχει, ὡς τῶν θνησκόντων ὑπὸ χοῦν βαλλομένων· διὸ καὶ τὸ θαλεροὺς ἔχει τι καὶ οἴκτου· οἰκτρὸν γὰρ τοὺς ἔτι θάλλοντας ὑπὸ κόνιν βαλεῖν. Ε.

Σ. 157. Ὣς ἄρα φωνήσας] Εὐθὺς ὁ Νέστωρ καὶ ταῦτα Διομήδους οὐ κατανεύσαντος φύγαδ' ἔτραπε ἵππους αὖθις ἂν' ἰωχμὸν, ἤγουν ὀπίσω ἔνθα ἦν ἡ τῶν λοιπῶν Ἀχαιῶν δίωξις· ὥστε εἰ καί τι μεμπτέον τὸν ἥρωα, ὡς φυγόντα, τῷ Νέστορι

ἐπιγραπτέον τὸ αἴτιον. Ε. — Φρονίμως οὔτε ἀντίῤῥησιν Διομήδους ἀναμένει, οὔτε βιάζεται αὐτὸν φιλότιμον ὄντα φεύγειν ὁμολογεῖν· ἀλλ' αὐτὸς τρέπει τοὺς ἵππους, ἵνα μηδὲ ἐκ τούτων μειώσῃ Διομήδεα ὁ ποιητής. Σ. Β.

Σ. 158. Ἂν ἰωχμόν] Κατὰ τὸ πλῆθος. Σ.

Σ. 161. Τυδείδη, πέρι μέν σε τίον κ. τ. λ.] Καὶ ὅρα κἂν τούτοις ὡς σμικροπρεπῆ τὰ τῶν ἡρώων γέρα· οἷον προεδρία, καὶ κρέατα, καὶ οἴνου πλήρη ποτήρια. — Πλείοις] Πεπληρωμένοις, γέμουσι. Σ.

Σ. 163. Γυναικὸς ἄρ'] Τὸ δὲ γυναικὸς ἀντετέτυξο, σκῶμμα μέν ἐστι δειλοῦ· κερτομεῖ δὲ ἀντὶ γυναικὸς γενέσθαι τὸν Διομήδην, ἤγουν ἴσον γυναικί. Ε.

Σ. 164. Ἔῤῥε, κακὴ γλήνη] Μεταληπτικῶς ἡ ἐνταῦθα γλήνη κόρην δηλοῖ, οὐ τὴν κατ' ὀφθαλμὸν ἁπλῶς, ἀλλὰ διὰ μέσης αὐτῆς γυναῖκα παρθενικήν. Ε. — Φθείρου ἀσθενὴς κόρη, ἢ κακὸν θέαμα· γλήνη γὰρ καλεῖται ἡ τοῦ ὀφθαλμοῦ κόρη. Σ. — Τὸ δὲ οὐκ εἴξαντος, οὐχ ὑποχωρήσαντος, ἀλλὰ μείναντος, ὅπερ οὐ σὺ, φησὶ, ποιεῖς· ἀναφέρει δὲ τὸν λόγον ἐπὶ τὰ ὑπὸ Ἰδαίου ἀπαγγελθέντα Τρωσίν. (Η, 385.). Σ. Β.

Σ. 166. Δαίμονα δώσω] Προσληπτέον τὸ κακὸν, ἵν' ᾖ, πρότερον γάρ σοι κακὸν θάνατον καὶ κακὴν εἱμαρμένην δώσω. Σ.

Σ. 171. Σῆμα τιθείς] Παρέχων. Σ. — Ἀντὶ τοῦ σημαίνων· εἰς δὲ τὸ Τρώεσσι, στιγμή· τί δὲ ἦν τὸ σῆμα; μάχης ἑτεραλκέα νίκην. Σ. Β.

Σ. 178. Ἀβλήχρ'] Ἀβληχρὰ δὲ τείχη, τὰ ἀσθενῆ καὶ κεῖται ἡ λέξις πολλαχοῦ, καὶ μάλιστα ἐπὶ σαρκῶν. — Οὐδενόσωρα] Τὸ δὲ οὐδενόσωρα δηλοῖ τὰ οὐδεμιᾶς ὥρας, ὅ ἐστι φροντίδος ἄξια. Ε.

Σ. 181. Μνημοσύνη τις ἔπειτα] Ἀλαζονείαν ἔχει τὸ πρὸ τῆς νίκης διορίζεσθαι χρείαν, ἅμα δὲ καὶ τὸ προνοεῖσθαι, στρατηγικόν ἐστι. Σ. Β.

Σ. 185. Ξάνθε τε καὶ σὺ κ. τ. λ.] Ταῦτα τὰ τοῦ Ἕκτορος οὐ μακρὰν εὐηθείας εἰρημένα ἐστί· οἷς ὡς πρὸς νοοῦντας τοὺς ἵππους λαλῶν, τροφεῖά τε ἀπαιτεῖ· τοῦτο γὰρ δηλοῖ τὸ τὴν κομιδὴν ἀποτίνειν· καὶ κοινοῦται τὸ ἀριστεῖον αὐτοῖς, ἐν τῷ, ὅπως λάβωμεν ἀσπίδα καὶ θώρακα. Τῶν δὲ παλαιῶν οἱ μὲν τὰς τέσσαρας τῶν ἵππων κλητικὰς μίσγοντες, εἰς δύο συναλείφουσι συζυγίας, ἢ ξυνωρίδας καποιοῦσιν ἵππων, δύο νοοῦν

НБ ОНУ імені І.І. Мечникова

τες ὀνόματα ἐπίθετα, κείμενα δυσὶν ὀνόμασιν ἵππων κυρίοις· χρῶνται δὲ πρὸς ἀπόδειξιν, καὶ τῷ ἀποτίνετον δυϊκῷ ῥήματι, καὶ τῷ ἐφομαρτεῖτον καὶ σπεύδετον, ὡς ἐπὶ συνωρίδος γάρ φασι κεῖνται τὰ τοιαῦτα δυϊκά· λέγουσι δὲ καὶ οὐδὲ τεθρίππου χρῆσιν εἶναί ποτε τοῖς ἥρωσιν, ἀλλὰ ξυνωρίσι χρᾶσθαι πάντας· καί που καὶ παρηόρῳ ἑνὶ, ὡς ἐφάνη ἐπὶ Νέστορος. Ἔτι δέ φασιν, ὡς εἴπερ ἦν τέθριππον, καὶ δύο ἂν εἶχε ῥυμούς· καὶ οὕτω μέν τινες. Ἕτεροι δὲ τεθρίππῳ νοοῦσι τὸν Ἕκτορα χρήσασθαι ἐπὶ καταπλήξει τῶν Ἀχαιῶν, ἐπαρθέντα τοῖς τέρασι, καὶ παραδόξως ὑπὲρ τοὺς ἄλλους φιλοτιμούμενον· διὸ καὶ δευτέρῳ παρηόρῳ πλείονι τῶν συνήθων τριῶν προσχρήσασθαι· ὅθεν φασὶ καὶ Ὅμηρος θρασὺν ἡνίοχον φθάσας προσεῖπεν αὐτόν. Οἱ δὲ ταῦτα εἰπόντες καὶ ἕκαστον τῶν ἐνταῦθα ὀνομάτων ὡς κύριον ἵππου τιθέασιν· — οἱ δ' αὐτοί φασι, καὶ ὡς ψυχρόν ἐστι νοεῖν, ἐπίθετα μὲν τὰ δύο· τὰ δὲ λοιπὰ κύρια· ἐπεὶ κατὰ Ἡρόδωρον καὶ Ἀπίωνα, οἱ σύνδεσμοι παρακείμενοι χωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων· κύρια γὰρ πρὸς ἐπίθετα οὐδέποτε συνδεῖται, οὐδεὶς γὰρ εἰπεῖν θέλων, Ἀχιλλεὺς ποδώκης, καὶ Αἴας βουγάϊος, συνδήσει τὸν λόγον οὕτως· Ἀχιλλεύς τε καὶ ποδώκης, καὶ Αἴας βουγάϊός τε· ἐκεῖνοι δὲ καὶ τὸ ἀποτίνετον καὶ ἐφομαρτεῖτον καὶ σπεύδετον, οὐ πρὸς ξυνωρίδα νοοῦσιν, ἀλλὰ πρὸς δύο συστήματα, ἤγουν πρὸς τὴν δεξιὰν συζυγίαν καὶ τὴν ἐξ ἀριστερῶν· ἢ πρὸς τὴν τῶν ζυγίων σύστασιν, ἤγουν τῶν ζυγοφόρων καὶ πρὸς τοὺς δύο παρηόρους. — Ἰστέον δὲ, ὅτι, εἰ καὶ μὴ τετρώρῳ ποιεῖ Ὅμηρος χρωμένους τοὺς ἥρωας, ἀλλ' αὐτὸς ἐν Ὀδυσσείᾳ οἶδε τετρώρου χρῆσιν. (στ. 81.) Ἡρόδοτος δὲ λέγει καὶ ὅτι τέσσαρας ἵππους ζευγνῦναι παρὰ Λιβύων Ἕλληνες μεμαθήκασι. Ε.

Σ. 186. Κομιδήν] Τὸ δὲ κομιδὴν ἀποτίνειν, ὅ ἐστιν ἐπιμέλειαν, ὅμοιόν ἐστι τῷ, θρέπτρ' ἀποδιδόναι, ὅ ἐςι τροφεῖα. Ε.

Σ. 188. Ὑμῖν πὰρ προτέροισι] Τὸ δὲ ὑμῖν προτέροις πυρὸν παρέθηκεν οἶνόν τε καὶ ἑξῆς, οἱ μὲν οὕτω καθιστῶσιν ἐν ὑπερβάτῳ σχήματι· ὑμῖν παρὰ προτέροις ἔθηκε, καὶ, ὡς ἀλλαχοῦ φησιν, ἔβαλε τὴν ἀνωτέρω λεχθεῖσαν κομιδὴν, ἥπερ ἐμοὶ μελίφρονα πυρὸν ἔθηκεν, οἶνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγει, ὁ ἐμὸς δηλαδή· ἄλλως γάρ φασιν, ἀδιανόητον τὸ μὴ οὕτω νοούμενον· ἵπποις γὰρ οὔτε πυρὸς παρατίθεται, οὔτε κιρνᾶται οἶνος. — Ἕτεροι δὲ καὶ τὸ πυρὸν παρέβαλε, καὶ τὸ οἶνον

ἐνεκέρασε, τοῖς ἵπποις προσαρμόττουσι, διὰ τὸ τῇ συντάξει εὐθὺ καὶ ἀπερίεργον καὶ ἀνυπέρβατον, καὶ τῇ ὀρθῇ φράσει κατάλληλον· τὸ γὰρ ἐπὶ Ἕκτορος αὐτὰ νοεῖν, ὀρθὸν μέν ἐστι τῷ νοήματι, στρεβλὸν δὲ τῇ συντάξει καὶ οὐ σύνηθες Ὁμήρῳ. Εἰ δέ τις λέγει μὴ ἵππων εἶναι τὸ οἰνοποτεῖν, πυροφαγεῖν, εἰς μὲν τὸ ἓν, πλατέως ψεύδεται. Πολλοὶ γὰρ τῶν ἵππων οὐ μόνον κριθοφαγοῦσι καὶ ὀλύρας ἐρέπτονται, ταῦτα δὴ τὰ συνήθη, ἀλλὰ καὶ πυρούς, καὶ ἄλλα τῶν σπορίμων ἢ προσιέμενοι τρέφονται, οὓς ὁ συνεθισμὸς καὶ ἀρτοφαγεῖν προκαλεῖται· ἤδη δέ που ἐθιζομένους καὶ εἰς κρεῶν ἐνάγει βορὰν, καὶ αὐτῶν ὠμῶν, ὡς μηκέτι ἀπίθανον εἶναι τοὺς τοῦ Θρᾳκὸς Διομήδους ἵππους ἀνθρωποφαγεῖν. Εἰς δὲ τὸ μὴ οἰνοποτεῖν τοὺς ἵππους, τὰ μὲν ὡς ἐπὶ πολὺ φαινόμενα συμφωνεῖ. Ἡ δὲ τοῦ γίνεσθαι δύναμις ἐὰν εὐοδωθῇ πρὸς συνήθειαν, οὐκ ἂν οὐδὲ τοῦ τοιούτου συνεθισμοῦ ἀπείρξῃ τοὺς ἵππους· καὶ ὦπται καὶ τοῦτο οὐκ εἰς πλάτος μέν τοι πραχθέν· οὔκουν ἀδύνατον τὴν καὶ φίλανδρον καὶ φίλιππον Ἀνδρομάχην, προσιτὸν ποιῆται τοῖς ἵπποις κατά τι μέτριον κρᾶμα τὸν οἶνον, ἀφελέστερον καὶ οἷον εὐηθέστερον ἱπποκομοῦσαν· καὶ τοῦτο οὐκ ἀεὶ, ἀλλ' ὅτε αὐτῇ θυμὸς ἀνώγει· — πυρὸν ἔθηκε· τινὲς εἶδος ἀντὶ εἴδους λαβόντες, κριθὴν ἐνόησαν τὸν πυρὸν καὶ ἐπὶ μόνων ἵππων τὴν λέξιν συνεβίβασαν. Ε.

Σ. 189. Ἐγκεράσασα] Τὸ δὲ κερᾷν ἀπὸ τοῦ κέρατος εἴληπται· οἱ γὰρ παλαιοὶ πρὸ τῆς τῶν ποτηρίων χρήσεως, κέρασιν ἐχρῶντο ἀντὶ ἐκπωμάτων, ὡς ἐξ ἄλλωντε δῆλον, καὶ τοῦ Ξενοφῶντος, λέγοντος· κέρατα δὲ οἴνου περιέφερον καὶ, φέρων τὸ κέρας ὁ οἰνοχόος, ἧκε. Ε.

Σ. 193. Κανόνας] Κανόνας δὲ λέγει, ὥς φασιν οἱ παλαιοὶ, ῥάβδους τινὰς ἀναφορέας τῆς ἀσπίδος, τορευτοὺς ἴσως ὄντας, καὶ ὡς εἰπεῖν κανονωτούς· οὔπω γὰρ ἐπενοήθησαν οἱ νῦν ἐξ ἱμάντων πόρπακες, ἤγουν τὰ ὄχανα, δι' ὧν αἱ ἀσπίδες ἔχονται καὶ ἀναβαστάζονται· φασὶ γὰρ αὐτοὺς Καρῶν ἐπινοήματα εἶναι, ὡς Ἀνακρέων· καριοεργέος ὀχάνοιο. Ε.

Σ. 199. Σείσατο δ' εἰνὶ θρόνῳ] Γυναικεῖον ἦθος ὑπογράφει διὰ τῆς Ἥρας, ἣ νικᾶται μὲν τῇ ἀπειλῇ Διὸς, καὶ κατὰ χώραν μένει· οὐχ ἠρεμεῖ δὲ τὸ σῶμα ὑπὸ τῆς ὀργῆς, καὶ τὸν ὁμότιμον Διὸς Ποσειδῶνα διεγείρει· καὶ νῦν μὲν μέχρι λόγων προέρχεται· ἑξῆς δὲ ἐντίθησιν Ἀγαμέμνονι αὐτῷ ποιπνύσαντι

НБ ОНУ імені І.І. Мечникова

θοῶς ἐγεῖραι Ἀχαιούς· τέλεον δὲ ἡττηθεῖσα ὑπὸ τοῦ θυμοῦ καὶ προσέρχεται. Σ. Β.

Σ. 203. Εἰς Ἑλίκην] Ἴδ. Β. 575. — Αἰγάς] Εἰσὶ δὲ καὶ ἕτεραι Αἰγαί· ὁ μέντοι Γεωγράφος φησὶν, (Λ. Η. σελ. 266. Θ. σελ. 279.) ὅτι ὁμώνυμοι ταῖς Ἀχαϊκαῖς Αἰγαῖς αἱ ἐν Εὐβοίᾳ. Καὶ τὴν μὲν Ἀχαϊκὴν δηλοῖ Ὅμηρος ἐν τῷ, οἱ δέ τοι εἰς Ἑλίκην κ. τ. λ. ὅταν δὲ φῇ, Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης (Ν. 21.), τὰς ἐν Εὐβοίᾳ λέγει· ἀφ᾽ ὧν εἰκός φησι καὶ τὸ πέλαγος Αἰγαῖον κληθῆναι. Ε.

Σ. 206. Εὐρύοπα Ζῆν] Σημείωσαι δὲ, ὅτι ἐν τῷ τόπῳ τούτῳ εἰπόντος τοῦ ποιητοῦ τὸν Δία, Ζῆνα ἐν τέλει στίχου, κατὰ δὲ τὸν ἐφεξῆς στίχον ἀρξαμένου ἀπὸ φωνήεντος τοῦ α, καὶ ἐκθλίψαντος τὸ α τοῦ Ζῆνα, οἱ γραφεῖς τὸ τοῦ Ζηνὸς ν τὸ ἐναπομεῖναν ἀπὸ τῆς παθούσης τὴν ἔκθλιψιν αἰτιατικῆς, τῷ δευτέρῳ στίχῳ προστιθέασι· καὶ δοκεῖ μέν τισι καινὸν τοῦτο, ἔχεται δὲ κανόνος γραμματικοῦ, λέγοντος, ὡς, εἰ μέσον δύο φωνηέντων εὑρεθῇ σύμφωνον ἐν ἁπλότητι, ἢ συνθέσει, ἢ καὶ συναλοιφῇ, τῷ δευτέρῳ, τουτέστι τῷ ἐπαγομένῳ φωνήεντι ἀκολουθεῖ. Ε.

Σ. 209. Ἀπτοεπές] Τὸ δὲ ἀπτοεπὲς, ἢ δασύνεται καὶ δηλοῖ τὴν καθαπτομένην ἐν ἔπεσι καὶ ὑβριστικὴν, ὅθεν ἡ συρφετώδης ἴσως ὑποδείξασα γλῶσσα φησὶν ἄψεὺς τοὺς ἐν λόγῳ θρασεῖς· ἢ ψιλοῦται καὶ σημαίνει τὴν ἀπτόητον ἐν ἔπεσι καὶ θρασεῖαν. Ε.

Σ. 213. Πύργου τάφρος] Πύργον, ὡς ἐκ μέρους, τὸ τεῖχος λέγων· τὸ δὲ τοιοῦτον διάστημα καὶ στεῖνος ἐν τοῖς μετὰ ταῦτα ἐρεῖ, (Μ, 66) διὰ τὴν κατ᾽ αὐτὸ συστολὴν καὶ στενοχωρίαν. Ε. ὅσον ἀπὸ τῶν νηῶν διάστημα ἦν ἐπὶ τὸ τεῖχος, καὶ ἀπὸ τοῦ τείχους ἐπὶ τὴν τάφρον, ἐπληροῦτο τοῦ ὄχλου· ἄλλως, ὅσον ἡ τάφρος ἀπέχει τοῦ τείχους καὶ τῶν νηῶν, τοῦτο πλῆρες ἦν πεζῶν καὶ ἵππων· ἀμφότερα οὖν τὰ διαστήματα ἑκατέρωθεν τοῦ τείχους, τὸ μὲν πρὸς τὴν τάφρον, τὸ δὲ πρὸς τὰς ναῦς ἐπεπλήρωτο. Σ.

Σ. 215. Εἰλομένων] Συναθροιζομένων. Σ.

Σ. 217. Πυρὶ κηλέῳ] Τὸ δὲ κήλεον πῦρ, ὅ ἐστι καυστικὸν, παρὰ τὸ κῆαι, κατὰ τὸ δαιδάλεον καὶ τὸ τέλεον παρῆκται· αὐτά τε γὰρ ἐκ τοῦ δαιδάλειον καὶ τέλειόν εἰσι, καὶ αὐτὸ ἐκ τοῦ κήλειον. Ε. — Εἰς ἄκρον τοὺς κινδύνους εἴωθεν ἐξάγειν, αἰεὶ ἐν



НБ ОНУ імені І.І.Мечникова

ἀγωνίᾳ ποιῶν τὸν ἀκροατὴν, εὐθύς τε τὴν ἴασιν αὐτοῖς ἐπιφέρει. Σ. Β.

Σ. 219. Ποιπνύσαντι] Ἐνεργήσαντι. Σ.

Σ. 221. Πορφύρεον. — Φᾶρος ἔχων] Δίδωσι δὲ πορφύρεον Ὅμηρος φᾶρος τῷ Ἀγαμέμνονι, ὡς βασιλεῖ· ὃ καὶ ἔχων ἐκεῖνος ἐπιστρέφει οὕτω τοὺς θεατὰς Ἀχαιοὺς τῷ παραδόξῳ τῆς θέας, κατασείων αὐτὸ καὶ οὕτω κατασιγάζων τὸν ὄχλον, ὡς ἐξακούεσθαι. Ε. — Πορφυροῦν ἱμάτιον μεταχειρίζεται ὁ βασιλεὺς, ἕνεκα τοῦ εὐχερῶς ἑαυτὸν σημᾶναι τοῖς Ἕλλησιν, ἐπεὶ ἀδύνατον ἦν διὰ βοῆς αὐτοὺς καταστεῖλαι. Σ.

Σ. 223. Ἐν μεσσάτῳ ἔσκε] Ἐν τῷ μέσῳ δὲ ἡ τοῦ Ὀδυσσέως ναῦς, οὐ διὰ δειλίαν, ὡς οἱ ψέγοντες εἶπον, ἀλλ' ἵνα τῷ στρατῷ οἷον καρδία τις εἴη, ἐκ τοῦ μέσου πᾶσιν ἐπαρκοῦσα τῷ ζωογόνῳ τῆς φρονήσεως, διὸ καὶ ὁ βασιλεὺς ἐπ' αὐτῆς ἵσταται, ὥστε γεγωνεῖν ἀμφοτέρωσε, ἤγουν ἐξάκουστον βοᾷν· ἐπὶ τοιούτου γὰρ σημαινομένου τὸ γεγωνέναι εἴωθε τίθεσθαι· γνώω γάρ φασι τὸ νοῶ, οὗ μέσος παρακείμενος γέγνωα, καὶ μεταθέσει γέγωνα, τὸ γνωστῶς βοῶ. Ὅτι δὲ καὶ γεγωνῶ περισπώμενον ῥῆμά ἐστιν, ἐξ οὗπερ οὐ μόνον τὸ γεγωνεῖν, ὅθεν τὸ γεγωνέμεν, ἀλλ' ἀναλόγως καὶ μετοχὴ ἄῤῥητος γεγωνηκὼς, καὶ ἐν συγκοπῇ δι' εὐφωνίαν γεγωνὼς, πολλαχοῦ φαίνεται. Ε. — Πρὸς τὴν τάξιν τῆς νεολκίας ἡ παρατήρησις, καὶ πρὸς τὸ γεγωνέμεν, ὅτι οὐ ψιλῶς ἐστι φωνὴν, ἀλλ' ἄκουστον φθέγγεσθαι. Σ. Β.

Σ. 225. Ἠδ' ἐπ' Ἀχιλλῆος] Ἰστέον δὲ καὶ, ὅτι Αἴας καὶ Ἀχιλλεὺς ἔσχατα, τουτέστιν ἐν τοῖς ἐσχάτοις καὶ ἄκροις μέρεσι τοῦ ναυστάθμου νῆας ἐίσας εἴρυσαν. Ε.

Σ. 226. Ἠνορέῃ] Ὅτι δὲ ὕπεστιν ἄῤῥητος εὐθεῖα ἦνωρ ἤνορος, ὅθεν καὶ ἠνόρειος κτητικὸν, ἐξ οὗ ἠνορέη ἡ ἀνδρία· καὶ ὅτι Συρακουσία λέξις ὁ πίσυνος ἐκ τοῦ πείθω πείσω γινομένη, καὶ ἐν ἄλλοις δηλοῦται. Ε.

Σ. 227. Διαπρύσιον] Διαπορεύσιμον, καὶ μέγα, καὶ εἰς πάντας ἧκον. Σ. Β.

Σ. 229. Εὐχωλαί] Ἤτοι αἱ καυχήσεις· — τὸ δὲ ἔφαμεν παραμυθητικῶς ἔχει, λεαῖνον τὸ τραχὺ τοῦ λόγου, οἷα τοῦ βασιλέως κοινοποιουμένου τὸ ὄνειδος· διὸ καὶ οὐδ' ἑνὸς ἄξιοί ἐσμεν εἶπεν, ἵνα μὴ ἄγαν ὁ ὄχλος λυπῆται ἀκούσας τὸ Ἐστέ· ἦν γὰρ τῷ ὄντι σφοδρότατον ἀκοῦσαι, ὡς οὐκ εἰσὶν ἀξιόμαχοι, οὐδὲ πρὸς

НБ ОНУ імені І.І.Мечникова

ἕνα γοῦν οἱ τοσοῦτοι, ὧν ἕκαστος ἔναντι ἑκατὸν καὶ διακοσίων ἠλαζονεύετο στῆναι, σοβούσης τῆς μέθης ἐν Λήμνῳ. Ε.

Σ. 230. Ἃς, ὁπότ' ἐν Λήμνῳ] Τὸ δὲ ἃς, ὁπότε, ἀντὶ τοῦ ποτὲ εἴρηται, ἀσυνήθως μέντοι, διὸ καὶ σημειῶδές ἐςι. Ε. — Οἱ δὲ στίζουσιν εἰς τὸ Λήμνῳ, λείποντος τοῦ ἦμεν· δείκνυσι δὲ, ὡς αἱ παρὰ κύλικας ὑποσχέσεις ἀβέβαιοι. Σ. Β.

Σ. 231. Ὀρθοκραιράων] Ὀρθὰ κέρατα ἐχόντων. Σ.

Σ. 232. Ἐπιστεφέας οἴνοιο] Πλήρεις. Σ. Ἴδ. Α, 470. καὶ Χ, 619.

Σ. 239. Ἐνθάδε ἔῤῥων] Τὸ δὲ ἐνθάδε ἔῤῥων βαρέως εἴρηται, φθορᾷ εἰκάζοντος τοῦ βασιλέως τὴν αὐτοῦ ἐν Τροίᾳ διαγωγήν· μονονουχὶ γὰρ λέγει, ὅτι αὐτὸς φθίνων, ὅμως τιμαῖς ηὔξόν σε, καλλύνων τέ σοι τὸν βωμὸν καὶ θύων. Ε. — Ἐπὶ φθορὰν παραγενόμενος. Σ.

Σ. 243. Αὐτοὺς δή περ ἔασον] Ἐλεεινὸν ἡ παρ' ἐλπίδας ἀτυχία· πάλαι γὰρ περὶ νίκης εὐχόμενοι, νῦν περὶ τῆς σφῶν αἰτοῦσι σωτηρίας. Σ. Β.

Σ. 247. Αἰετὸν ἧκε — τελειότατον] Ἤτοι μέγιστον, ἢ ἐντελῆ σημεῖα φαίνοντα, ἐπιτελεστικώτατον. Λέγεται δὲ κατὰ τὴν τοῦ Διὸς γένεσιν τὸν ἀετὸν γεννηθῆναι, ἔν τε τῇ πρὸς τοὺς Γίγαντας μάχῃ παραπτῆναι· διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν Ζεὺς ἀετὸν εἵλετο, ᾧ καὶ προστάσσει, καὶ ἀγγέλῳ αὐτῷ χρᾶται, πρὸς ἐκείνους, οὓς ἐπιφανείας ἀξιοῖ· ὅθεν καὶ ἀετὸς ἐκλήθη, οὐχ, ὥς τινες, παρὰ τὸ ἀΐσσειν, ἀλλὰ παρὰ τὸ ἐτεὸν δηλοῦν, ὅ ἐστιν ἀληθές. Σ.

Σ. 248. Νεβρὸν] Ἴδ. Χ, 189. — Ἐδήλου δὲ ὁ μὲν ἀετὸς τοὺς περὶ Ἕκτορα, οἳ σήμερον κρατοῦσι διὰ τὸν Δία· ὁ δὲ κρατούμενος νεβρὸς, ὁ τῆς φυζανικῆς καὶ δειλῆς ἐλάφου γόνος, τοὺς τεθηπότας καὶ κατεπτηχότας καὶ κρατουμένους Ἕλληνας· ἡ δὲ παρὰ τῷ βωμῷ τοῦ Διὸς καταβολὴ τοῦ νεβροῦ, ὡς ἐκφευξοῦνται τοὺς κρατοῦντας οἱ Ἕλληνες διὰ τὸν Δία, οὗ τὸν βωμὸν οὔποτε παρῆλθεν ἀγέραστον ὁ βασιλεύς· ἔστι γὰρ ἀεὶ ἀμοιβὴ τῇ εὐσεβείᾳ. Ε.

Σ. 249. Βωμῷ περικαλλέϊ] Περικαλλέα δὲ καὶ νῦν βωμὸν λέγει, ἐπεὶ κοσμίως καὶ αὐτὸν ἔχειν ἐφιλοτιμοῦντο οἱ παλαιοί· ᾄδεται γοῦν καὶ Παριανὸς βωμὸς ἐπὶ μεγέθει, καὶ Ἐφέσιος δὲ κεράτινος. Ε.

Σ. 250. Πανομφαίῳ] Πανομφαῖός ἐστιν, ὁ πάσης μαντείας αἴτιος· οἱ γὰρ ἄλλοι πάντες ὑποφῆται Διός εἰσιν, εἴτε δαίμονες ἐκεῖνοι, εἴτε ἄνθρωποι· ὀμφὴ δὲ κυρίως ἡ ἀληθὴς φήμη, ἡ τὸ ὂν φαίνουσα. Ε.



НБ ОНУ імені І.І.Мечникова

— πάσης φήμης καὶ κληδόνος (αἰτίῳ καὶ δοτῆρι), ὀμφὴ γὰρ ἡ θεία κληδών. Σ.

Σ. 251. Ὄρνις] Τὸν δὲ ἀετὸν καὶ ὄρνιν λέγει, τουτέστι σημαντικὸν τοῦ μέλλοντος· — φησὶν οὖν· οἱ δ' ὡς οὖν εἴδοντο, ὅτ' ἄρ' ἐκ Διὸς ἤλυθεν ὄρνις, μᾶλλον ἐπὶ Τρώεσσι θόρον, τουτέστι, κατὰ Τρώων ὥρμησαν. Ε.

Σ. 254. Εὔξατο] Τουτέστιν, ἐκαυχήσατο, Τυδείδαο πάρος, ἤγουν, πρὸ τοῦ Διομήδους ἐχέμεν. κ. τὰ ἑξῆς. Ε.

Σ. 266. Παλίντονα τόξα] Παλίντονα δὲ, δοκεῖ μὲν ἅπαντα εἶναι τὰ τόξα· Ἡρόδοτος δὲ ἐπιστήσας τινὶ ἔθνει παλίντονα τόξα ἔχοντι, ὑπέβαλε νοεῖν, μὴ πᾶν τόξον εἶναι παλίντονον ἁπλῶς, ἀλλὰ κυρίως καὶ μάλιστα τὸ κατ' ἐπίτασιν ἔμπαλιν τεινόμενον, ὡς καὶ οὕτω κυκλοτερὲς γίνεσθαι· ἢ καὶ ἄλλως φράσαι, τὸ ἐπὶ θάτερα μέρη κλινόμενον. Ε.

Σ. 267. Στῆ δ' ἄρ' ὑπ' Αἴαντος σάκεϊ] Ὅτι Τεῦκρος, ὑποδὺς τὸ τοῦ Αἴαντος σάκος μάχεται νῦν, καινὸν τοῦτον ἐπινοησάμενος ὁπλισμόν· τοξότης γὰρ ἦν, καὶ διὰ τοῦτο ἄφρακτος, καὶ ἐλαφρὸς ὁπλίτης, καὶ οὐ προσήκων τοιούτῳ πολέμῳ· — καὶ ὅρα κἀνταῦθα σύντομον καιρίως παραβολὴν, ἐν ᾗ τὸ εὐνοϊκόν τε τοῦ Αἴαντος ἐπὶ τῷ Τεύκρῳ δηλοῦται, καὶ τὸ πολὺ τοῦ μεγέθους τοῦ τε σάκους καὶ τοῦ ἥρωος, καὶ τὸ ἄοπλον τοῦ τοξότου — καὶ ὡς πάνυ ἐφοβεῖτο τὸν Ἕκτορα. Ε.

Σ. 268. Ὑπεξέφερεν] Ἔξω αὐτὸ τοῦ Τεύκρου ἐποίει. Σ. — Τὸ δὲ ὑπεξέφερεν οὐδ' αὐτὸ κενῶς ἐστοίβασται προθέσεσιν, ἀλλ' ἡ μὲν ἐξ φωρὰν δηλοῖ τῆς ἀσπίδος ἐπὶ τὸ ἔξω καὶ πορρωτέρω τοῦ κατὰ τὸν Αἴαντα στήθους· ἡ δὲ ὑπὸ, τὸ κρυφαῖον σημαίνει καὶ λεληθὸς τοὺς ἐχθρούς· λάθρα γὰρ ἐξανοίγων ὁ Αἴας τὸν θυρεὸν, ἀνεδίδου τῷ ἀδελφῷ βαλεῖν, εἶτ' αὖθις ἔσκεπε. Ε.

Σ. 269. Παπτήνας] Τὸ δὲ αὐτὰρ ὅ γ' ἥρως παπτήνας καὶ ἑξῆς, δόξῃ ἂν σόλοικον εἶναι, εἰ μή τις ἀναστρέψας τὴν φράσιν, καταστήσει τὴν σύνταξιν οὕτως· ἐπειδὰν δὲ ὁ ἥρως παπτήνας βάλοι τινὰ ὀϊστεύσας ἐν ὁμίλῳ, ὁ μὲν βληθεὶς ἔκειτο πεσὼν, Τεῦκρος δὲ ἀναχωρήσας, ἐγίνετο ὑπὸ τῷ σάκει τοῦ Αἴαντος. Ε.

Σ. 276. Ἀμοπάονα] Ὀνομάζει τινὰ ὁ ποιητὴς Ἀμοπάονα, ὃν οἱ γράφοντες ἅμ' Ὀπάονα ἐν δυσὶ μέρεσι λόγου, σφάλλονται τῆς ὀρθότητος. Ε.

Σ. 281. Φίλη κεφαλή] Ἰστέον δὲ, ὅτι ἐν τῷ, φίλη κεφα-

НБ ОНУ імені І.І. Мечникова

λῆ, τὸν ὅλον Τεῦκρον ἐδήλωσεν, ἀπὸ τοῦ καιριωτάτου μέρους· καθόλου γὰρ οὐκ ἔστιν ἄλλως ἀπὸ μέρους καλέσαι τὸ ὅλον, εἰ μὴ τὸ μέρος ἐκεῖνο εἴη λόγου ἄξιον. Ε.

Σ. 283. Ὅ σ' ἔτρεφε] Τὸ δὲ ὅς ἔτρεφε (Εὐστάθ.) λείπεται τῆς σὲ ἀντωνυμίας. Ε. Σ. Β. ἡ σὲ ἀντωνυμία ἐγκλιτική ἐστι. τὸ δὲ ὁ παρὰ τῷ ποιητῇ κείμενόν ἐστιν ἀντὶ τοῦ ὅς.

Σ. 284. Νόθον περ ἐόντα] Ἡρακλῆς πορθήσας Ἴλιον, Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, Πριάμου δὲ ἀδελφήν, ἔλαβεν αἰχμάλωτον, καὶ ἔδωκεν αὐτὴν γέρας Τελαμῶνι, ὡς συστρατεύσαντι αὐτῷ, ἀφ' ἧς ἔσχεν Τεῦκρον ὁ Τελαμών· ὡς οὖν ἀπὸ Τρωϊκῆς γυναικὸς τεχθέντα τὸν παῖδα Τεῦκρον ἐκάλεσαν, προσαναπέμψαντες τὸν τόνον καὶ ποιήσαντες κύριον. Τευκροὶ γὰρ οἱ Τρῶες, ἀπὸ τοῦ βασιλεύσαντος αὐτῶν Τεύκρου. — Ἐζήτηται δὲ, πῶς ἐξ ἁπάντων ἐπαινέσας τὸν Τεῦκρον νῦν ἐπιφέρει νόθον; ἡμεῖς δέ φαμεν, τοῦτο μὴ εἶναι πρὸς αἰσχύνην, διὰ τὸ παρὰ τοῖς παλαιοῖς ἔθος κρατοῦν· ἐτίμων γὰρ τοὺς νόθους ἐπίσης τοῖς γνησίοις· ἄλλως τε εἰ καὶ αἰχμάλωτος Ἡσιόνη, ἀλλὰ βασιλίς· ἔτι καὶ αὐξήσεως ἕνεκεν τοῦτ' εἰρῆσθαί φαμεν, ὅτι τῇ ἀρετῇ καὶ τοὺς γνησίους ὑπερέβαλε. Σ. — Κομίσσατο] Ὃ ἐστι κομιδῆς ἠξίωσε. Ε.

Σ. 285. Εὐκλείης ἐπίβησον] Δόξης ἐπιβῆναι ποίησον. Σ.

Σ. 289. Πρεσβήϊον] Ἤτοι πρεσβεῖον, δῶρον δηλοῖ τίμιον, ἤγουν τοῖς πρεσβυτέροις καὶ ἐντίμοις διδόμενον. Ε.

Σ. 297. Τανυγλώχινας] Μακρὰς καὶ ὀξείας γωνιώσεις ἔχοντας, ὅ ἐστιν ἀκίδας. Σ.

Σ. 299. Λυσσητῆρα] Μανιώδη, λυσσώδη. Σ.

Σ. 300. Ἴαλλεν] Ἐρίει, ἔπεμπεν. Σ.

Σ. 302. Ἀφάμαρτε] Καὶ οὕτως ἐγγὺς μὲν ἧκει τοῦ καὶ εἰς τὸν Ἕκτορα κακοῦ, ἀνελεῖν δὲ αὐτὸν οὐκ ἔχει, ὅτι μηδὲ δύναται ὁ ποιητὴς πλάσασθαί τι παρὰ τὴν τῆς ἱστορίας ἀλήθειαν. Ε.

Σ. 304. Ἐξ Αἰσύμηθεν] Ἀντὶ τοῦ ἐξ Αἰσύμης πόλεως Θρᾳκικῆς, ὡς ὁ τὰ ἐθνικὰ γράψας δηλοῖ· περισσῶς δὲ κεῖται ἡ ἐξ πρόθεσις, ὡς καὶ ἐν τῷ ἐξ οὐρανόθεν, καὶ ἐν ἄλλοις. Ε.

Σ. 306. Κάρη βάλεν] Ὅρα δὲ καὶ τὸ κάρη βάλεν ἀντὶ τοῦ ἔκλινε τὴν κεφαλὴν καινῶς οὕτω λεχθέν· — δύναται δὲ εἶναι καὶ ἀντὶ τοῦ ἔρριψε. Τὸ δὲ, ἡ ἐν κήπῳ καρπῷ βριθο-

НБ ОНУ імені І.І.Мечникова

μένη, ὀρθῶς μὲν εἰπεῖν, λείπεται τοῦ ἐστιν· τῶν τινες δὲ παλαιῶν ἠθέλησαν τὸ βριθομένη νοῆσαι ἀντὶ τοῦ βρίθεται, εἰπόντες εἰλῆφθαι μετοχὴν ἀντὶ ῥήματος·—ὅμοιον δὲ παρὰ τῷ Ὁμηρικῷ ζηλωτῇ Σοφοκλεῖ, τὸ πρῶτά σε κεκλόμενος (ἀνάγν. κεκλομένῳ).—Καρπῷ βριθομένη] Τὸ δὲ καρπῷ βρίθεσθαι καὶ νοτίαις ἔαρος, πρὸς τὸ τῆς παραβολῆς ἀσφαλὲς εἴρηται· τοιαύτη γὰρ μήκωνι ὁ βληθεὶς ἔοικεν, οὐ μὴ τῇ ὀρθοτονεῖ, διὰ τὸ καὶ ἄκαρπον καὶ ἀνότιστον·—Νοτίῃσι] Τὸ ἐντελὲς, νοτίαις πνοαῖς ἢ ὑγρότησι, ταῖς ἐκ νότου δηλαδή. Ε.—Δρόσοις ἢ ψεκάσιν ἐαριναῖς. Σ.

Σ. 311. Παρέσφηλεν] Σφαλῆναι καὶ ἀποτυχεῖν ἐποίησεν. Σ.—Ὅρα δὲ τὸ, καὶ τότε, δι' οὗ δηλοῦται, ὅτι καὶ τὰς ἄλλας βολὰς ὁ Ἀπόλλων παρέσφαλλεν. Ε.

Σ. 316. Πύκασε] Συνέσχεν, ἐκάλυψε. Σ.

Σ. 320. Παμφανόωντος] Παμφαίνει δὲ, ὡς εἰκὸς, χαλκῷ, καὶ τοῖσι τοιούτοις. Ε.

Σ. 325. Αὖ ἐρύοντα] Ἐνταῦθα δὲ τῶν τις παλαιῶν γραμματικῶν Νεοτέλης τὴν κλῆσιν, λέγων Σκυθικὴν εἶναι τὴν τῆς νευρᾶς ἕλξιν, πρὸς τὸν ὦμον αὐτήν φησιν ἑλκυσθῆναι, νόμῳ Σκυθῶν, καὶ ἐκεῖ γενέσθαι τὴν πληγὴν τῷ Τεύκρῳ, καὶ τὴν νευρὰν οὕτω ῥαγῆναι, ὡς εἶναι δεξιὰν χεῖρα τὴν πληγεῖσαν τῷ λίθῳ καὶ ναρκήσασαν· λέγει δὲ οὕτω, διὰ τὸ τὸν Ὅμηρον εἰπεῖν, αὖ ἐρύοντα παρ' ὦμον. Καὶ οὕτω μὲν ὁ Νεοτέλης. (ὅλον βίον γράψας περὶ τῆς κατὰ τοὺς ἥρωας τοξείας. Σ. Β.) Ἕτεροι δὲ εἰς τὸ αὖ ἐρύοντα στίζοντες, τὸ παρ' ὦμον τοῖς ἑξῆς συντάσσοντες, ἵνα λέγῃ, ὅτι παρ' ὦμον ἔβαλε λίθῳ, νοοῦσι τὴν μὲν τῆς νευρᾶς ἑλκυσμὸν, εἰς τὸν δεξιὸν γενέσθαι μαζὸν συνήθως τοῖς τότε, κατὰ τὸ, νευρὴν μὲν μαζῷ πέλασε· (Δ, 123.) τὸν δὲ λίθον ἐκ δεξιῶν, ὡς εἰκὸς, ὑφ' Ἕκτορος ἀφεθέντα, ῥῆξαι μὲν ὡς ἐκ παρόδου τῇ ῥύμῃ καὶ τὴν νευρὰν, ἐμπελάσαι δὲ τῷ ἀριστερῷ τοῦ Τεύκρου ὤμῳ· διὸ καὶ τὸ τόξον ἐκπεσεῖν ναρκησάσης κατὰ συμπάθειαν αὐτῆς δὴ τῆς τοξοφόρου χειρός· καὶ δοκοῦσιν οὗτοι κρεῖττον εἰπεῖν· καὶ γὰρ ἄλλοι τε καὶ ὁ Καισαρεὺς Προκόπιος, τοῖς μὲν παλαιοῖς, παρὰ μαζὸν ἱστοροῦσιν ἕλκεσθαι τὴν νευράν· τοῖς δὲ ὕστερον, παρ' αὐτὸ μάλιστα τὸ δεξιὸν ὠτίον. Εἰ μὴ ἄρα παίζειν ἐθέλοντες οἱ περὶ τὸν Νεοτέλην, τρεῖς ἐροῦσιν ἑλκυσμοὺς νευρᾶς·

НБ ОНУ імені І.І. Мечникова

δύο μὲν παλαιᾶς τὴν παρὰ μαζὸν, καὶ τὴν παρ' ὦμον, τρίτην δὲ τὴν, ὡς εἴρηται, περὶ τὸ δεξιὸν ὠτίον. Ε.

Σ. 327. Ὀκριόεντι] Ὁ δὲ ὀκριόεις λίθος, ἤτοι ἄκρας ἔχων καὶ τραχὺς, πιθανολογεῖ τὴν ῥῆξιν τῆς νευρᾶς. Ε.

Σ. 331. Περίβη] Ἤγουν τῷ κειμένῳ ἐπέστη, ὥστε ὑπερμαχῆσαι. — Δῆλον δὲ, ὅτι ταὐτὸν περιβῆναι καὶ ἀμφιβῆναι καί εἰσιν ἄμφω λέξεις συμμαχικαί. Ε.

Σ. 335. Ἂψ δ' αὖτις κ. τ. λ.] Πάλιν ἐπὶ τὸν Δία τὸ τῆς νίκης αἴτιον ἀναφέρει, μὴ θέλων μωμῆσαι Ἕλληνας. Σ. Β.

Σ. 336. Οἱ δ' ἰθὺς τάφροιο κ. τ. λ.] Οὕτω δὲ καὶ ἐν ἄλλοις, ἀριστέων βλαβέντων, μεταβολαὶ μάχης γίνονται. Ε.

Σ. 337. Σθένεϊ βλεμεαίνων] Ὅτι σθένεϊ βλεμεαίνειν, κυρίως ἐπὶ λέοντος· δηλοῖ δὲ τὸ καὶ μόνῳ βλέμματι ἐκφοβεῖν. Ε. — Σφοδρῶς ἐπιῤῥωννύμενος] Ἔνιοι δὲ, τῷ βλέμματι φοβῶν· οἷον τὴν δύναμιν διὰ τοῦ βλέμματος ἐνδεικνύμενος. Σ.

Σ. 338. Ἠὲ λέοντος] Ὅρα δὲ, ὅτι καὶ δυσπραγοῦντα τὸν Ἑλληνικὸν στρατὸν συάγρῳ καὶ λέοντι ὁ ποιητὴς εἰκάζει, διὰ τὸ φύσει ἀνδρεῖον. Ε.

Σ. 339. Ἅπτηται] Ὅρα δὲ καὶ, ὅτι τὸ ἅπτεσθαι αἰτιατικῇ συνέταξεν ἐν τῷ, ἅπτηται ἰσχία καὶ γλουτοὺς, εἰ μή τις ἴσως τὴν κατὰ πρόθεσιν προςλογίσεται, ἵνα ᾖ κατὰ ἰσχία καὶ γλουτούς. Ε.

Σ. 340. Ἰσχία] Ἴδ. Ε, 306. — Γλουτούς] Ἴδ. Ε, 66. — Ἑλισσόμενον] Συστρεφόμενον. Σ.

Σ. 341. Ὡς Ἕκτωρ ὤπαζε] Οὐκ ἔδει, φασὶ, εἰκάζειν τὸν Ἕκτορα διώκοντα κυνὶ, τοὺς δὲ διωκομένους ἀλκιμωτέρῳ ζώῳ, τῷ λέοντι. Ῥητέον δὲ πρὸς τοῦτο, ὅτι ἡ παραβολὴ οὐ πρὸς ἰσχὺν, ἀλλὰ πρὸς τάχος· κύνες γὰρ ἐν ταῖς θήραις ἐπιτήδειοι πρὸς δίωξιν· — ἔπειτα καὶ δεόντως τοῖς ἀλκιμωτέροις ζώοις φεύγουσι παρέβαλε τοὺς Ἕλληνας· προεῖχον γὰρ τῇ ῥώμῃ καὶ τανῦν δυστυχοῦσι, καὶ ἀεὶ ὁ ποιητὴς εἴωθε κακοπραγοῦντας αὐτοὺς θηρσὶν εἰκάζειν. Σ. Β.

Σ. 346. Κεκλόμενοι] Ἐγκελευόμενοι. Σ.

Σ. 347. Μεγάλ' εὐχετόωντο] Τὸ δὲ μεγάλα εὔχεσθαι, διέσταλται τοῦ σιγῇ εὐχὴν ποιεῖσθαι, οἷα ὁμοιούμενον τῷ, ἀμφαδίην εὔχεσθαι (Η, 196). Ε.

Σ. 348. Ἀμφιπεριστρώφα] Τὸ δὲ ἀμφιπεριστρωφᾶν τὴν ἐνταῦθα καὶ ἐκεῖ τῆς τάφρου, καὶ ὡς εἰπεῖν ἀμφὶς καὶ πέριξ

НБ ОНУ імені І. І. Мечникова

στροφὴν δηλοῖ τοῦ Ἕκτορος, οἷα περιεργαζομένου πάροδον ὡς πρὸς τὰς νῆας. Ε.

Σ. 349. Γοργοῦς ὄμματ᾽ ἔχων] Ζηνόδοτος δὲ Γοργόνος ὄμματ᾽ ἔχων γράφει, Ἀρίσταρχος δὲ Γοργοῦς ὄμματα ἔχων, ὅ ἐστιν ὁρμήματα. Ε. — Ἀπὸ τῶν ὀμμάτων δὲ εἴωθε καὶ τοῦ προσώπου χαρακτηρίζειν, ὡς τὸ κυνὸς ὄμματ᾽ ἔχων. Γοργόνος δὲ γράφει Ζηνόδοτος, κακῶς· οὔτε γὰρ ὁ ποιητὴς, οὔτε Ἡσίοδος Γοργόνα φησὶν, ἀλλὰ Γοργώ. Σ. Β.

Σ. 353. Κεκαδησόμεθ᾽] Ἐν τούτοις δὲ κεῖται καὶ λέξις ποιητικὴ, τὸ κεκαδησόμεθα, τουτέστιν, κηδήσομεν, φροντίσομεν. Ε.

Σ. 356. Ῥιπῇ] Τῇ ὁρμῇ. Σ.

Σ. 361. Ἀλιτρὸς] Ὁ τοῦ δέοντος ἀλιτὼν, ἤτοι ἁμαρτὼν, ἵνα ᾖ ἀλιτὸς, ἢ ἀλιτηρὸς, καὶ ἐν συγκοπῇ, ἀλιτρός. Ε. — Ἁμαρτωλὸς, ἄδικος. Σ. — Ἀπερωεὺς] Τῆς ἐμῆς δυνάμεως καὶ προθυμίας κωλυτής. Σ.

Σ. 361. Κλαίεσκε] Τὸ πλῆρές ἐστι· κλαίεσκε πρὸς οὐρανὸν ἀναβλέπων. Ε.

Σ. 365. Ἐπαλεξήσουσαν] Ἐπικουρήσουσαν, βοηθήσουσαν. Σ.

Σ. 366. Ἤδε᾽] Τὸ δὲ ἤδεα, διάλυσίς ἐστι τοῦ ᾔδειν ἀντὶ τοῦ ἠπιστάμην ἰωνική· — οὕτω καὶ τὸ πεποιήκειν πεποιήκεά φασιν Ἴωνες. Ε.

Σ. 367. Πυλάρταο] Ἰσχυρῶς συναρμόζοντος καὶ κλείοντος τὰς πύλας, διὰ τὸ μηδένα ὑποστρέφειν ἐξ ᾅδου. Σ.

Σ. 368. Ἐξ Ἐρέβευς] Τὸ δὲ Ἐρέβευς, διὰ τὸ ποιητικώτερον ἔφρασεν, ἄλλως γὰρ εἶχε καὶ Ἐρέβους εἰπεῖν. Ε. — Ἐκ τοῦ Ἐρέβους, ὅ ἐστι σκότους· ἔστι δὲ ὁ πρὸ τοῦ Ταρτάρου τόπος Σ. (ἴδ. Ἀπολλόδ, σελ. 428.).

Σ. 370. Θέτιδος — βουλὰς] Τὸ δὲ Θέτιδος βουλὰς, αἳ ἦσαν τὸ τιμῆσαι τὸν Ἀχιλλέα, βαρέως εἴρηται· ἦν γὰρ ὀρθὸν εἰπεῖν τὴν Ἀθηνᾶν Διὸς βουλὰς, ἐκείνου γὰρ αὗται, ὡς δηλοῖ καὶ τὸ, Διὸς ἐτελείετο βουλή. Ε.

Σ. 371. Ἥ οἱ γούνατ᾽ ἔκυσσε] Τὸ δὲ κύσε γούνατα, μέρος τοῦ γουνάζεσθαι, ὡς τοῦ ἱκέτου μὴ μόνον χειρὶ ἁπτομένου γονάτων, ἀλλά που καὶ φιλοῦντος αὐτά. Ε. (ἴδ. Α, 427.).

Σ. 372. Ἀχιλλῆα πτολίπορθον] Πτολίπορθον τὸν Ἀχιλλέα λέγει διὰ τὰς πολλὰς πόλεις, ἃς εἷλεν· — Ὀδυσσεὺς μέν τοι πτολίπορθος διὰ μίαν λεχθήσεται κορυφαίαν πόλιν τὴν Ἴλιον,

НБ ОНУ імені І.І.Мечникова

ἥτις ὡς ἐν Ὀδυσσείᾳ λέγεται, τῇ τοῦ Ὀδυσσέως ἧλω βουλῇ. Ε. (Ὀδυσσ. Θ, 3. Ἰλ. Β, 278.).

Σ. 373. Ἔσται μὰν] Ὑποσμύχεται δέ τι καὶ ἀπειλῆς ἐν τῷ, ἔσται μὰν, ὅτε φίλην γλαυκώπιδα εἴπῃ· βούλεται γὰρ ὑπολαλεῖν, ὡς Διὸς ἀξιοῦντος, ἀκκίζεται καὶ οὐ ῥᾳδίως ὑπακούσεται. — Φίλην Γλαυκώπιδα] Τὸ δὲ φίλην Γλαυκώπιδα, ποθητὸν εἶναι δηλοῖ τῇ μυθικῇ Ἀθηνᾷ τὸ οὕτω καλεῖσθαι ὑπὸ τοῦ πατρός. Ε.

Σ. 374. Ἐπέντυε] Ὅ ἐστιν ὅπλιζε, εὐτρέπιζε· τὸ δὲ ἔντυε πρωτότυπόν ἐστι τοῦ ἐντύνειν· ὡς καὶ τὸ δύειν καὶ θύειν, τοῦ δύνειν καὶ θύνειν. Ε. — Σ. Ἡτοίμαζε, παρεσκεύαζε (ἀνάγνωθ. ἐπέντυνε; Ε, 720).

Σ. 378. Ἀνὰ πτολέμοιο γεφύρας] Λέγει δὲ γεφύρας πολέμου, τὰς διὰ τοῦ ῥεύματος τῶν αἱμάτων διόδους· (Δ, 371.) — Ἐν τούτοις δὲ κεῖται καὶ σχῆμα σολοικοφανές, τὸ, ὄφρα ἴδωμαι, ἂν νῶϊ Πριάμου παῖς γηθήσει προφανείσα ἀνὰ πτολέμοιο γεφύρας· δυϊκὴ γὰρ πάντως θηλυκῶν εὐθεῖα, ἢ αἰτιατικὴ τὸ νῶϊ, καὶ τὸ προφανείσα. Τὸ δὲ τοιοῦτον οὐκ εὐσύντακτον· οὐ γὰρ εἰώθαμεν λέγειν, ὡς ἡμεῖς φανεῖσαι, ἢ ἡμᾶς φανείσας γηθήσει ὁ δεῖνα. — Δύναται δὲ θεραπευθῆναι· τὸ σολοικοειδὲς προσλήψει τῆς εἰς προθέσεως, ἢ τῆς διά, ἵνα λέγῃ, ὅτι ἴδω, ἐὰν ὁ Ἕκτωρ εἰς ἡμᾶς, ἢ δι' ἡμᾶς γηθήσει φανείσας ἐν τῷ πολέμῳ· χρήσιμον δὲ εἰς τὴν ῥηθεῖσαν σύνταξιν καὶ τὸ, τίς ἂν τάδε γηθήσειεν. Ε. — Προφανείσας (Σ.) φανείσας, ὀφθείσας. Σ. ἴδωμαι. — προφανεῖσα. (ἴδ. Ε, 714.).

Σ. 402. Γυιώσω] Χολώσω (ἀνάγν. χωλώσω). Σ.

Σ. 405. Ἀπαλθήσεσθον] Ἀπαλθήσεσθαι δέ, τὸ θεραπευθήσεσθαι, ἀπὸ τοῦ ἄλδω, κατὰ τὴν συγγένειαν τοῦ δ πρὸς τὸ θ· ἧς ἔνδειξις καὶ ἐν τῷ προτένθης, ὃ ἐκ τοῦ τένδω γίνεται, δηλοῦν τὸν προγεύστην· τοῦτο δέ, ὡς τῆς νόσου φθίνειν ποιούσης, ὅπερ ἐναντίον τῷ ἀλθεῖσθαι. ἤτοι αὔξεσθαι. — Μάρπτησι] Τὸ δὲ μάρπτειν κυρίως ἐπὶ λογικῶν· ἐπὶ δὲ κεραυνοῦ νῦν ἀφελῶς αἴρηται, ὡς οἷον χεῖρας ἔχοντος. Ε. (ἴδ. Φ, 489. 564.).

Σ. 406. Ὄφρ' εἰδῇ Γλαυκῶπις] Καί περ ὀργιζόμενος, οὐ τὴν ἀρχήν, οὐδὲ τὴν ἰσχύν, ἀλλὰ τὴν φύσιν προβάλλεται. Σ. Β.

Σ. 408. Ἔωθεν ἐνικλᾷν] Ἤγουν ἀεὶ ἔθος αὐτῇ ἐμποδὼν εἶναι καὶ κατακάμπτειν, καὶ ὡς οἷον κατακλᾷν τὰ εἰς ὀρθὸν ἐμοὶ βουλευθέντα· ἐκ μεταφορᾶς δὲ φυτῶν ὀρθοτενῶν εἴληπται

НБ ОНУ імені І.І. Мечникова

τὸ ἐνικλᾶν. Καὶ ὅρα, ὡς τοῖς μὲν ἀγαθοῖς νεμεσῶμεν, εἴ τι που καὶ σφαλεῖεν, τοὺς δὲ μὴ τοιούτους οὐ καινοπραγεῖν δοκοῦμεν σφαλλομένους, οἷα ἐν ἕξει ἐθίμῳ γενομένους φαυλότητος. Ε.

Σ. 409. Ἀελλόπος] Ταχύπους, παρὰ τὰς ἀέλλας, ὅ ἐστιν ἀνέμους. Σ.

Σ. 411. Διὸς δέ σφ' ἔννεπε μῦθον] Ὅτι οὕτω ταχεῖα κατὰ τὴν ἀλληγορουμένην Ἶριν καὶ ἡ μυθική, ὥστε ἅμα σταλῆναι πρὸς Διὸς, καὶ εὐθὺς ἄντεσθαι ταῖς θεαῖς παρὰ πρώταις πύλαις Ὀλύμπου· καὶ μὴν ἐκεῖναι πρὸ τοῦ αὐτὴν σταλῆναι διὰ τῶν πυλῶν ἐξέρχοντο. Πρώτας οὖν πύλας λέγει τὰ προπύλαια, καθ' ὁμοιότητα τοῦ πρώταις θύραις, ὅπερ ἐν τοῖς ἑξῆς που λεχθήσεται· καὶ ἐκεῖ γὰρ πρῶται θύραι τὰ πρόθυρα. Ε. — Οὐχ ὡς καὶ ἄλλων οὐσῶν, ἀλλ' ἀντὶ τοῦ ἄκραις, ὡς τὸ, ἔξαντ' ἐν πρώτῳ ῥυμῷ, ἀντὶ τοῦ, ἄκρῳ (Ζ, 40.) Σ. Β.

Σ. 414. Οὐκ ἐάα] Ἔστι δὲ ἐν τῷ ἐάα τὸ παραλῆγον ā ἐκ πλεονασμοῦ· ὡς γὰρ ὁρᾷ ὁράα, βοᾷ βοάα, οὕτω καὶ ἐᾷ ἐάα. Ε.

Σ. 415. Ἠπείλησε] Πρὸ τοῦ εἰπεῖν τὴν ἀπειλὴν ἔφη, ὧδε γὰρ ἠπείλησεν, εἰ τελέει περ· ὑπὲρ τοῦ Διὸς οἷον λαλοῦσα, ὡς ἴσως ἐν λόγοις αὐτῷ καὶ μόνοις ἔσται τὰ τῆς ἀπειλῆς. Ἔστι δὲ τοῦτο καὶ Ὁμηρικὴ προαναφώνησις, ὡς ἂν μὴ ἀναρτῴη τὸν ἀκροατὴν καραδοκοῦντα πληρώσεσθαι τὰς τοῦ Διὸς ἀπειλάς· δύναται δὲ τὸ εἰ τελέει περ καὶ ἀποφαντικὸν εἶναι κατὰ ἀπειλὴν, ἀντὶ τοῦ ἐπειδὴ τελέσει· κρεῖττον δὲ τὸ πρῶτον νόημα. Ε.

Σ. 421. Ἥρῃ δ' οὔτι τόσον νεμεσίζεται] Οὐκ ἔδει, φησὶ, ταῦτα πρὸς τῆς Ἴριδος λέγεσθαι, ἀλλὰ μόνον τὰ τῆς ἀπειλῆς· ταῦτα δὲ σχετλιάζων φησὶ, ἢ οὐ σχετλιάζων, ἀλλ' ἐντέχνως τὴν ὁμόνοιαν αὐτῶν δείξας, δι' ὧν τὴν μὲν ἀεὶ ἐναντιοῦσθαι αὐτῷ λέγει, τὴν δὲ νῦν καὶ πρῶτον, ἵνα αἰδεσθῇ μεταβάλλεσθαι. Σ. Β.

Σ. 423. Ἀλλὰ σύγ', αἰνοτάτη] Ἀθετοῦνται διὰ τὸ τραχύ· ὅσῳ δὲ δεινά ἐστι, τοσούτῳ τὴν κηδομένην ἐμφαίνει· θεραπεύεται δὲ καὶ διὰ τοῦ, εἰ ἐτεόν γε τολμήσεις· οὐ γὰρ ἄντικρυς αὐτὴν ἀναιδῆ λέγει, ἀλλ' εἰ ἐθελήσεις μάχεσθαι τῷ Διΐ· πιθανῶς δὲ οὐκ ἤρκεσεν αὐτῇ ἀπαγγεῖλαι μόνον τὰ παρὰ Διὸς, ἀλλὰ καὶ παρ' αὐτῆς τι προσέθηκε. Τοιαύτη δὲ ὁρᾶται καὶ ὅτε πρὸς τὸν Ποσειδῶνα πέμπεται, οὐ μόνον τὴν τοῦ ἀγγέ-

НБ ОНУ імені І.І. Мечникова

λόν, ἀλλὰ καὶ τὴν τοῦ συμβούλου ἀποπληροῦσα χῶραν. Σ. Β.

Σ. 425. Ἡ μὲν ἄρ' ὣς εἰποῦσ'] Οὐ περιμένει τὴν ἀπόκρισιν, ἀλλ' ἐν ταῖς ἀπειλαῖς αὐτὰς καταλείπει πρὸς κατάπληξιν μείζονα. Σ. Β.

Σ. 428. Νῶϊν ἐῶ Διὸς ἄντα] Ὅτι ἀπόγνωσιν βοηθοῦ δηλοῖ τὸ οὐκέτ' ἔγωγε ὑμᾶς ἐῶ ἄντα τοῦ δεῖνος βροτῶν ἕνεκα πολεμίζειν. Τὸ δὲ ἑφεξῆς, τῶν, ἤγουν τούτων, ἄλλος μὲν ἀποφθείσθω (Εὐστάθ.), ἄλλος δὲ βιώτω, ὅς κε τύχῃ, οἰκεῖον ἐπὶ τοῦ μὴ φροντίζοντος, εἴτε περίεισί τινες, εἴτε καὶ μή. Ε. — Τοῦ δὲ φθείσθω τὸ ἀπαθὲς καὶ ἄκρατον, φθιέσθω, ἐξ οὗ κατὰ κρᾶσιν ἢ συγκοπὴν, τὸ φθείσθω. Τὸ δὲ βιώτω, δοκεῖ βιούτω εἶναι, ὡς χρυσούτω, καὶ μεταβολῇ ἐθίμῳ τῆς ου διφθόγγου εἰς ω, βιώτω. Ε.

Σ. 434. Κάπησιν] Παρὰ τὸ ἐν αὐταῖς ἱσταμένους τοὺς ἵππους κάπτειν, ὅ ἐστιν, ἐσθίειν. Σ.

Σ. 435. Ἐνώπια] Ἐνώπια δὲ πολλοὶ μὲν τοὺς παροδίους τῆς οἰκίας λέγουσι τοίχους, τουτέστι τοὺς ἀντικρὺ τῆς εἰσόδου, οἳ ἐν ὀφθαλμοῖς εἰσι τῶν παροδευόντων ἔξωθεν, διὸ καὶ παμφανόωντα τὰ τοιαῦτα. Ἡ μέν τοι Ὀδύσσεια ἐν τῇ κατὰ τοὺς μνηστῆρας μάχῃ ἐμφαίνει, ἐνώπια μάλιστα τοίχων εἶναι τὰ ἐν τῇ τῶν θυρῶν εἰσόδῳ καὶ ἐξόδῳ πλάγγια· (Ὀδυσσ. Χ, 121.) εἰ δὲ μὴ παμφανόωντα ταῦτα, θετέον ἄρα ἐνταῦθα τὴν λέξιν ταύτην ὑπερβατῶς εἰς τὸ ἅρματα, ὃ καὶ οἰκειότερόν ἐστι μάλιστα. Ε.

Σ. 439. Ἐδίωκε] Διώκειν ἐνταῦθα τὸ ἁπλῶς κατὰ σπουδὴν ἐλαύνειν.

Σ. 441. Ἀμβωμοῖσι] Ὅτι βωμοὶ οὐ μόνον ἐφ' ὧν ἔθυον, ἀλλὰ καὶ κτίσμα τι ἁπλῶς καὶ ἀνάστημα, ἐφ' οὗ ἐστι βῆναί τι καὶ τεθῆναι· οὕτω γοῦν ἐν Ὀδυσσείᾳ ἀγαλμάτιά τινα δᾷδας ἐν χερσὶ ἔχοντα, ἱστάμενα ἐπὶ βωμῶν, ἤτοι βάσεών τινων ἔφαινον τοῖς δαιτυμόσι (Ὀδυσσ. Η. 100.) Καὶ ἐνταῦθα δὲ Ποσειδῶν, τὰ τοῦ Διὸς ἅρματα ἀμβωμοῖσι τίθει, κατὰ λῖτα πετάσας, ἤγουν, καταπετάσας ὕφασμά τι λιτὸν, καὶ οὕτω σκεπάσας· ἵνα ἔνθεν εἴη ἄχραντα ῥύπῳ, καὶ μήποθεν καταικίζεται κατὰ τὴν ἐν Ὀδυσσείᾳ Ὁμηρικὴν ῥῆσιν. Ε. — Καταπετάσας λινοῦν ἱμάτιον, ἁπλώσας. Σ.

Σ. 443. Πελεμίζετ'] Πελεμίζειν δὲ κυρίως, τὸ παλάμῃ κινεῖν· —

НБ ОНУ імені І.І. Мечникова

προσφυὴς δὲ λέξις τοιᾷδε ἠρεμαίᾳ κινήσει Ὀλύμπου. Ε. (Ἴδ. Δ, 535. Φ, 176.).

Σ. 444. Ἀθηναίη τε καὶ Ἥρη] Ὅτι λύπης πολλῆς ἐνδεικτικὸν ἐπὶ Ἀθηνᾶς καὶ Ἥρας τὸ ἀμφὶς ἥσθην, ἤγουν χωρὶς καὶ ἰδίᾳ τοῦ Διὸς, οὐδέ τί μιν προσεφώνεον, οὐδ' ἐρέοντο. Ἔνθα κεῖται καὶ ἀστεία ἔννοια, σκώπτοντος τοῦ Διὸς τὴν ἐκείνων ἀποστροφήν· φησὶ γάρ· τί ποτε οὕτω τετίησθον, ἤγουν τεταλαιπωρήσθε κατὰ τοὺς παλαιούς· οὐ μέν θην (Εὐστάθ.), ἤγουν οὐ μὴν δὴ κάμετόν γε μάχῃ ἐνὶ κυδιανείρῃ ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε· ἀστεΐζεται γὰρ, τὴν λύπην ἐκείνων εἰς κότον φράζων, ὡς εἴπερ ταλαιπώρως εἶχον καταπονηθεῖσαι τῇ κατὰ Τρώων μάχῃ· οὐ μὴ γεγονότος, δῆλον ὡς ἀχθόμεναι οὕτω κάθησθε, εἴποι ἂν ὁ Ζεύς. Ε. — Ἀμφίς] Χωρὶς, οὐκ εἰς τὴν συνήθη ἕδραν, ἀλλ' ἀλλαχοῦ πλησίον ἥθην· ὅθεν, φησὶ, οὐδ' εἰ καὶ τὰ νείατα πείραθ' ἵκηαι. Σ. Β.

Σ. 418. Οὐ μὲν δὴν κάμετόν γε] Τὸ δὲ οὐ μέν θην κάμετόν γε, οὕτω μὲν γεγραμμένον, σαφῶς ἔχει· ἔστι δὲ καὶ ἑτεροίας ἐκδόσεως γραφὴ ὑποδύσκολος καθ' Ἡρακλείδην, αὕτη· οὐ μέντον κάμετόν γε, ἀντὶ τοῦ οὐ μέντοι· καὶ ἔστι κατ' αὐτὸν τὸ οὐ μέντον Ἀργείων καὶ Κρητῶν γλώσσης, οἳ πολλάκις ἐξαιροῦντές φησι τὸ ι, ἐντάττουσι τὸ ν, τὴν εἰς πρόθεσιν ἐνς λέγοντες, καὶ τὸ τιθεὶς τιθένς, καὶ τὸ οὐ μέντοι οὐ μέντον, καὶ τὸ αἰεὶ αἰέν· Σικελοὶ μέντοι φησὶν ἔμπαλιν τὸ ι ἀντὶ τοῦ ν τάττουσι, τὸ ἔνδον ἔνδοι λέγοντες ἢ ἐνδοῖ περισπωμένως· καὶ Ὅμηρος εἰνάνυχες (Ι, 466.), ἀντὶ τοῦ ἐννεάνυχες· ταῦτα ὁ Ἡρακλείδης. Ε.

Σ. 452. Πρίν περ τρόμος κ. τ. λ.] Ὅτι δειλίας ἄκρας δεικτικὸν τὸ, ὑμῶν δὲ πρίν περ τρόμος ἔλαβε φαίδιμα γυῖα, πρὶν καὶ τὰ ἑξῆς· ἀνωτέρω δὲ παρῳδηθὲν οὐ μὴν κάμετόν γε καὶ ἑξῆς ὄνειδός ἐστι τῶν εὐλαβηθέντων μάχην. Ε.

Σ. 455. Πληγέντε κεραυνῷ] Ὅτι τὸ πληγέντε κεραυνῷ, ῥηθὲν ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς, Ἀττικῶς δίκην ἀρσενικοῦ, ἢ οὐδετέρου ἐσχημάτισται. Καὶ Ἡσίοδος δὲ οὕτω φησί· προλιπόντε ἀνθρώπους αἰδὼς καὶ νέμεσις (Ἔργ. 182.) καὶ Εὐριπίδης, ταὐτὰ ἔχοντε γράμματα, ἤγουν, ἔχουσαι αἱ δύο Αἰδοί (Ἱππολ. 387.). — καὶ οὐ ταῦτα μόνον καινοτομοῦσιν Ἀττικοὶ, ἀλλὰ καὶ εὐθείας ἑνικὰς ἀῤῥενικὰς τῇ προφορᾷ ἐκθηλύνοντες, ἡ κλυτὸς καὶ ἡ γενναῖός φασι· καὶ ἡ ἀδελφὸς δὲ,

НБ ОНУ ім. І.І. Мечникова

ἧς δυϊκὸν παρὰ Σοφοκλεῖ, τὼ ἀδελφώ· καὶ ἄῤῥενα δὲ ἄρθρα τοῖς θήλεσι προσαρμόζουσι, τὼ γυναῖκε λέγοντες, καὶ τὼ χεῖρε, καὶ τὼ θεὼ, τουτέστι τὰς θεὰς, τὴν Δήμητραν καὶ τὴν Κόρην. Ε.

Σ. 457. Ἐπέμυξαν] Ἔστι δὲ μύζειν τὸ μεμυκότων χειλέων ἦχον ἀποτελεῖν διὰ τῆς ῥινὸς, ἐξ οὗ καὶ ὁ μυκτήρ· ἔστι δὲ καὶ ἕτερον μύζειν, ὃ πάθος οὐκ ἔχει ψυχῆς· καὶ ἐξ ἐκείνου ἡ γλαγόεσσα μύξα ἐν ἁλιευτικοῖς· τροπικῶς δὲ καὶ ἡ κατὰ τὸν λύχνον, μύξα, καὶ αὐτὴ δὲ ἡ μύξις ἐξ ἐκείνου δὲ καὶ κοινῶς ἀπομύσσεσθαι· — ἀρχὴ δὲ τῶν τοιούτων ῥημάτων τὸ μυ ἐπίῤῥημα παρὰ τῷ κωμικῷ. Ε.

Σ. 460. Σκυζομένη] Σκύζεσθαι δὲ τὸ χόλῳ αἱρεῖσθαι. Ε. (ἴδ. Δ, 23.).

Σ. 470. Ἠοῦς] Ἤγουν ἐκ πρωΐας αὔριον. Ε.

Σ. 476. Στείνει ἐν αἰνοτάτῳ] Καὶ ὅρα, ὅτι συνεκεφαλαιώσατο προεκθετικῶς, ὅπως πιθανῶς διασκευάζει τὰ ἐφεξῆς· κεῖται δ' ἐνταῦθα καὶ τὸ προϊστορηθὲν στεῖνος τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους· ὃ καὶ αἰνότατον λέγει, διὰ τοὺς ἐκεῖ γενησομένους φόνους. Ε. — Στείνει] Στενώματι· στεῖνος γὰρ εἴωθε λέγειν τὴν στενὴν ὁδόν· λέγει δὲ τὴν ὑπὸ πολλοῦ πλήθους στενοχωρίαν. Σ.

Σ. 478. Νείατα] Κατώτατα, ἔσχατα. Σ.

Σ. 479. Ἰαπετός τε Κρόνος τε] Διὸς μεταστήσαντος τὸν πατέρα Κρόνον τῆς βασιλείας, καὶ τὴν τῶν θεῶν ἀρχὴν παραλαβόντος, Γίγαντες οἱ γῆς παῖδες ἀγανακτήσαντες, ἐν Ταρτησῷ (πόλις δέ ἐστιν αὕτη παρὰ τῷ Ὠκεανῷ) μέγαν κατὰ Διὸς πόλεμον παρασκεύαζον. Ζεὺς δὲ συναντήσας αὐτοῖς, καταγωνίζεται πάντας· καὶ μεταστήσας αὐτοὺς εἰς Ἔρεβος, τῷ πατρὶ Κρόνῳ τὴν τούτων βασιλείαν παραδίδωσιν. Ὠρίωνα δὲ τὸν δοκοῦντα πάντων ὑπερέχειν, κατηγωνίσατο, ὄρος ἐπιθεὶς αὐτῷ τὸ ἀπ' αὐτοῦ Ὠριώνιον (προσαγορευθέν). Σ.

Σ. 480. Ὑπερίονος] Τοῦ ἡλίου, ἤτοι ὅτι Ὑπερίονός ἐστι καὶ Θείας παῖς, ὡς Ἡσίοδος (Θεογ. 371.) ἐντεῦθεν γὰρ αὐτὸν πατρωνυμικῶς Ὑπεριονίδην καλεῖ· ἢ Ὑπερίων, ὁ ὑπεράνω ἡμῶν ὢν, καὶ περιπολῶν τὸν κόσμον· διὰ τούτου γὰρ τὰ ὅλα συνέχεται. Σ.

Σ. 484. Οὔτε προσέφη] Οὐ ταχὺ μὲν οὕτω θρασυνθεῖσα, θᾶττον δὲ ἢ λόγος δειλιάσασα κατὰ τοὺς θρασυδείλους καὶ ψοφοδεεῖς. — Σημείωσαι δὲ, ὡς οἰκονομικῶς οὕτω πεποίηται,

НБ ОНУ імені І.І.Мечникова

ἵνα παυθῇ πιθανῶς ἡ μυθοποιΐα· εἰ μὴ γὰρ φόβος ἐπεστόμισε τὴν Ἥραν, ἐξηνέχθη ἂν ἡ ποίησις καὶ εἴς τι κακόζηλον. Ε. — Ἐν καιρῷ ἡ ἀποσιώπησις· οὔτε γὰρ ἐπαινεῖν ἔχει τὰ λεχθέντα, οὔτε ἀντιλέγειν πρὸς ὀργὴν τοιαύτην. Σ. Β.

Σ. 488. Ἀσπασίη] Ἀσπαστὴ, εὐκταία. Σ. — Τρίλλιςος] Ἡ πολυλιτάνευτος, ἐκ τοῦ τρία, ὃ δηλοῖ τὰ πολλὰ, καὶ τοῦ λίσσεσθαι, τὸ παρακαλεῖν· — οὕτω καὶ τρισάθλιος τῷ αὐτῷ λόγῳ, ὁ κατὰ πολὺ ἄθλιος· καὶ τρισμάκαρες δὲ Δαναοὶ, οἱ λίαν μακάριοι. Ε.

Σ. 490. Νόσφι νεῶν ἀγαγὼν κ. τ. λ.] Ὅτι συσκευάζων μακρόθεν Ὅμηρος τὴν τοῦ Ἕκτορος ὑπὸ τῷ Ἀχιλλεῖ πτῶσιν, ἣν οὐκ ἂν ἔπαθεν, εἰ μὴ ἐθάῤῥησεν ἀντιστῆναι, πλάττει αὐτὸν ἀπὸ τοῦ ἄρτι θάρσυνον διὰ τὸ θέσφατον, καὶ εἰς τόσον καταθαῤῥοῦντα τῶν Ἀχαιῶν, ὡς μηκέτι ἐθέλειν ἀναδραμεῖν εἰς τὴν πόλιν, ἀλλὰ μακρὰν αὐτῆς αἰθριοκοιτεῖν, ἵνα ταχὺ ἕωθεν ἐπιτρέχῃ τοῖς ἐχθροῖς· καὶ δὴ νικῶν κατὰ τὴν τοῦ Διὸς βουλὴν, καὶ οὕτω φρονηματισθεὶς καὶ ἐπαυξήσας τὸ θάρσος, τολμήσει πιθανῶς ἐν τοῖς ἑξῆς ἀντιστῆναι τῷ Ἀχιλλεῖ καὶ πεσεῖται. Ε.

Σ. 491. Ἐν καθαρῷ] Ἤγουν ἔνθα τόπος ἦν καθαρεύων νεκρῶν· συντάσσεται γὰρ καθ' ὑπέρβατον, ἐν καθαρῷ νεκύων, ὅπου διεφαίνετο χῶρος, ἤτοι διαφανὴς ἦν. Ε. Σ.

Σ. 493. Διῒ φίλος] Διῒ δὲ φίλος ὁ Ἕκτωρ, τά τε ἄλλα, καὶ μάλισθ' ὅτι ἀπὸ τῶν ἄρτι ὁ κατὰ πεπρωμένην Ζεὺς ὑπὲρ αὐτοῦ γίνεται. Ε. — Οὐδαμοῦ μᾶλλον ὁ Ἕκτωρ ἐν καιρῷ ἐλέχθη Διῒ φίλος, ἢ νῦν, εἴ γε καὶ Θεοῖς δι' αὐτὸν ἀπέχθεται. Σ. Β.

Σ. 494. Ἔγχος ἔχ' ἑνδεκάπηχυ] Ἰστέον δὲ, ὅτι τὸ μὲν ναυμάχον δόρυ, πήχεων ἐςὶν εἴκοσι δύο παρὰ τῷ ποιητῇ, τὸ δὲ πεζομάχον ἑνδεκάπηχυ. Ε.

Σ. 495. Αἰχμὴ κ. τ. λ.] Ἔςι δὲ πόρκης κρίκωμα συνεκτικὸν τοῦ ξύλου καὶ τῆς αἰχμῆς. Ε. (ἴδ. Ζ. 320). — Δακτύλιος. Σ.

Σ. 508. Μέσφ' ἠοῦς] Τὸ δὲ μέσφα, ἤγουν μέχρι ἠοῦς, ἤτοι πρωΐας· — ποιηταὶ δὲ μόνοι τὴν τοῦ μέσφα λέξιν φιλοῦσι. Ε.

Σ. 512. Ἀσπουδεί γε] Ἀσπουδεὶ δὲ, ἀντὶ τοῦ ῥᾷον καὶ ἀμογητὶ καὶ δίχα κακοπαθείας, καὶ κατὰ τὸν ποιητὴν, ἡσυχῆ. Ε.

Σ. 513. Βέλος καὶ οἴκοθι πέσσῃ] Πέσσειν δὲ βέλος, τὸ

НБ ОНУ імені І.І. Мечникова

θεραπεύειν· τὰ γὰρ πρὸς θεραπείαν φασὶ γενόμενα ἕλκη, πέττε-
σθαι λέγεται. Ε.

Σ. 518. Παῖδας πρωθήβας κ. τ. λ.] Πρωθῆβαι οἱ ἐγγὺς
ἔντες ἀνήβων· — βρέφος, τὸ ἄρτι γεγονός· παιδίον, τὸ τρε-
φόμενον ὑπὸ τηθῆς· παιδάριον, τὸ περιπατοῦν καὶ ἤδη λέξεως
ἀντιλαμβανόμενον· παιδίσκος, ὁ τῆς ἐχομένης ἡλικίας· παῖς,
ὁ δι᾽ ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι· τὴν δὲ ἑξῆς
ἡλικίαν, πάλλακα καὶ βούπαιδα καὶ ἀντίπαιδα καὶ μελλέφη-
βον καλοῦσι· τοὺς δὲ μετ᾽ αὐτοὺς ἐφήβους, Κυρηναῖοι μὲν
τριακάπους καλοῦσι, Κρῆτες δὲ ἀποδρόμους, οὐ διὰ τὸ πε-
παῦσθαι τῶν δρόμων· (καθ᾽ ὃ δὴ σημαινόμενον τῆς ἀπὸ προ-
θέσεως, ἄπιχθυς λέγεται, ὁ μὴ ἐσθίων ἰχθῦς, καὶ ἀπόμουσος,
ὁ ἄμουσος) ἀλλὰ δηλαδὴ ἀπόδρομοι ἐν Κρήτῃ, οἱ μήπω τῶν
κοινῶν δρόμων μετέχοντες ἔφηβοι· μεθ᾽ οὓς φασι τὸ μειράκιον·
εἶτα μεῖραξ καὶ νεανίσκος καὶ νεανίας, ὁ αὐτός. Λάκωνες δὲ
τούτους ἱππεῖς ἐκάλουν, καὶ τοὺς προεστῶτας αὐτῶν ἱππαγρέ-
τας· ἔχεται δὲ τῶν τοιούτων ἱππέων ἡλικία, ἡ τοῦ ἐν καιρῷ
νυμφίου, μεθ᾽ ὃν ὁ κατὰ τὸ εἰκὸς πατήρ· εἶτα ἀνὴρ νέος·
εἶτα ἀνὴρ μέσος· εἶτα προβεβηκώς, ὑποπόλιος, ὁ καὶ ὠμογέ-
ρων· εἶτα γέρων, ὁ καὶ πρεσβύτης· εἶτα ὁ ἐσχατόγηρως. Πο-
λιοκρόταφοι δὲ, οἱ ἐκεῖθεν ὡς τὰ πολλὰ πολιοῦσθαι ἀρχό-
μενοι. Ε.

Σ. 519. Λέξασθαι] Ἀντὶ τοῦ ἐγκοιμηθῆναι· — παρὰ τὸ
λέχος, καὶ ξύλα λέξασθαι καὶ Τρῶας μὲν λέξασθαι· ὅθεν καὶ
λογάδες καὶ σύλλογος Ἀχαιῶν. Σ. Β.

Σ. 520. Θηλύτεραι δὲ γυναῖκες] Θηλύτεραι δὲ ἢ ἁπλῶς
θήλειαι, καθὰ καὶ νεώτερός που ὁ νέος λέγεται· — δύναται
δὲ καὶ κατὰ τὸ παρέλκον κεῖσθαι· πρὸς ὁμοιότητα δὲ τούτου
καὶ Εὐριπίδης εἶπε, σῶμα ἐν γυναιξὶ θηλείαις πρέπον. (Ὀρεστ.
1205.). Ε.

Σ. 524. Ὑγιής] Ὑγιὴς δὲ λόγος ὁ ἀπαραποίητος καὶ ἀκο-
λούθωτος, καὶ σύνεσιν δέ τινα δύναται ἡ λέξις δηλοῦν· ἐπεὶ τὸ
ὑγιαίνειν καὶ ἐπὶ φρονήσεως τιθέασιν οἱ μεθ᾽ Ὅμηρον Ἀττικοί·
— δηλοῖ δὲ αὐτὸ οὐχ ἥκιστα καὶ ὁ πολλὰ μὲν ἀκούσας ἀλα-
ζονικὰ πρός τινος γραφέντα, μόνον δὲ ἀντεπιστείλας τὸ ὑγίαι-
νε, ἤγουν φρόνει. Ε. — Οὗτος μὲν δὴ ὁ λόγος, ὁ μὲν νῦν
μῦθος· ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικοῦ, ὁ δὲ νῦν ἐστι
τοιοῦτος· περὶ μὲν τῶν νῦν καὶ σήμερον συντετέλεσταί μοι ὁ

НБ ОНУ імені І.І.Мечникова

λόγος, καὶ οὐδὲν παραλέλειπται· περὶ δὲ τῶν εἰς αὔριον ὑπὸ τὴν ἕω μηνύσω· ἢ ὑπισχνούμενος λόγον εἶπεν οὐδαμοῦ· διὸ καὶ ἀθετοῦνται οὗτοι οἱ β΄. στίχοι, νόθοι ὄντες τοῦ ποιητοῦ, καὶ ἀστερίσκοι καὶ ὀβελίσκοι περιφέρονται. Σ. Β.

Σ. 527. 528. Κηρεσσιφορήτους] Μονονουχὶ λέγων, ὅτι κηρεσσιφορήτους λέγω, οὐ τοὺς ἐνεργητικῶς ἐπάγοντας κῆρας τοῖς Τρωσὶν, οὐ γὰρ δύνανται τοῦτο, ἀλλὰ οὓς κῆρες φορέουσι πάσχοντας τὸ φέρεσθαι, ἤγουν οἳ ἐπὶ κακῷ ἑαυτῶν ἡμῖν ἐπεστράτευσαν. Φασὶ δὲ οἱ παλαιοὶ, ὅτι τὸ κηρεσσιφορήτους καινὴν ἔχει σύνθεσιν· οὐδέποτε γὰρ δοτικὴ ἐπέκτασιν ἔχουσα, συντίθεται κατ' ἀρχὰς, ἀλλὰ μόνη φυσικὴ δοτικὴ συντίθεται, οἷον ἀργῷ πατιμέλουσα, οὐ μὴν παντεσσιμέλουσα· ὁμοίως καὶ ναυσίθοος, καὶ ἐγχεσίμωρος. Ε.

Σ. 528. Οὓς Κῆρες φορέουσι κ. τ. λ.] Ἀθετεῖται, ὅτι περισσός· ἐν γὰρ τῷ κηρέσσι φορήτους τὸ αὐτὸ συντόμως εἴρηκεν· ὁ δὲ Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν. Σ. Β.

Σ. 530. Πρωῒ δ' ὑπηοῖοι] Ὅτι καὶ ἐνταῦθα κεῖται ἠοῖος ὁ πρωϊνὸς, ἐκ τοῦ ἠὼς ἡ πρωΐα· — ἔστι δὲ τὸ πρωῒ διασαφητικὸν τοῦ ἠοῖοι, ὃ μετ' ὀλίγα ἐρεῖ, ἠελίου ἀνιόντος. — Ἰστέον δὲ καὶ, ὅτι σπάνια τῶν ἀντιγράφων γράφουσι πρωῒ δ' ὑπ' ἠοῖ. — Ἰστέον δὲ, ὅτι ὡς παντὸς παντοῖος, ἄλλος ἀλλοῖος, νέος νεοῖος, οὕτω καὶ ἠὼς ἠόος ἠοῖος, ἰωνικώτερον. Ε.

Σ. 538. Ἠελίου ἀνιόντος εἰς αὔριον] Ἤγουν αὔριον ἕωθεν ἅμα ἡλίου ἀνατολῇ. Ε.

Σ. 539. Εἴην ἀθάνατος] Βαρβαρικὸν τὸ εὔχεσθαι τὰ ἀδύνατα. Σ. Β.

Σ. 542. Κελάδησαν] Ἐβόησαν μετὰ θορύβου. Σ. — ἐθορύβησαν· — ἔνθα φασὶν οἱ παλαιοὶ, ὡς ἡρωϊνώτερον τὸ ἰάχειν τοῦ κελαδεῖν. Ε. — καλῶς ἐπὶ μὲν τῶν Ἑλλήνων φησίν· Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἐπὶ δὲ τῶν Τρώων κελάδησαν λέγει· θορυβώδες γὰρ ἀεὶ τὸ βαρβαρικόν. Σ. Β.

Σ. 545. Ἴφια μῆλα] Εὐτραφῆ. Σ. — Τὰ ἰσχυροποιὰ θρέμματα· ἢ καὶ ἄλλως, ἴφια, τὰ μὴ ἀσθενῆ ὑπὸ νόσου, ἀλλὰ ἀναλόγως ἰσχυρὰ, ὡς λιπαρά. Ε.

Σ. 551. Φαεινὴν ἀμφὶ Σελήνην] Ἰστέον δὲ, ὅτι ἐν τῷ, φαεινὴν ἀμφὶ σελήνην, οὐ τὴν πλησιφαῆ νοητέον καὶ πλησισέληνον· ἐν αὐτῇ γὰρ ἀμαυρά εἰσι τὰ ἄστρα, ὡς ὑπεραυγαζόμενα, καὶ καθὰ καὶ ἡ Σαπφώ που φησίν· (σελ. 36. Στεφ.) ἀστέ-

НБ ОНУ імені І.І.Мечникова

ρες μὲν ἀμφὶ καλὰν σελάναν ἂψ ἀποκρύπτουσι φαεινὸν εἶδος· ἀλλὰ φαεινὴν λέγει κατὰ Ἀρίσταρχον τὴν φύσει τοιαύτην, κἂν μὴ πλήθουσα εἴη φωτός. Ε.

Σ. 553. Πρώονες ἄκροι] Οἱ πρώονες δὲ πλεονασμὸν ἔχουσι τοῦ μικροῦ ο· προϋπάρχει δὲ τὸ πρὼν πρωνὸς, ὃ δηλοῖ τὸν ὑψηλὸν τόπον, ὡς ἀπὸ τῆς προϊὼν μετοχῆς κατὰ τοὺς παλαιούς. Ε. — Οἱ προνενευκότες τῶν ὀρῶν τόποι, καὶ προβεβλημένοι παρὰ τὸ ἐξέχειν. Σ.

Σ. 554. Νάπαι] Νάπαι δὲ κατὰ τοὺς παλαιοὺς δρυμοὶ φάραγγες, κοιλάδες. — Ὑπεῤῥάγη] Ἀντὶ τοῦ αἰθρία γέγονε καὶ πανταχοῦ ἐξηπλώθη, οὐκ ἐκ μεγάλου φωστῆρος, ἀλλ' ἐκ τῶν ἀνωτέρω σποράδων ἀστέρων· τοῦτο δὲ ἐναντίον ἐςὶ τῷ, ὀρώρει δ' οὐρανόθεν νύξ. Ε.

Σ. 555. Ποιμὴν] Ἀντὶ τοῦ βουκόλος· διὰ νυκτὸς γὰρ οἱ βόες νέμονται. Σ.

Σ. 559. Σέλα πυρός] Τῷ ἑκάστῳ συναπτέον τὸ σέλα, ἵν' ᾖ παρ' ἑκάςῳ σέλαϊ καὶ φωτὶ τοῦ πυρὸς, τουτέςι παρ' ἑκάστῃ πυρᾷ. Σ. — Ἀφορμὴν λαβὼν, καὶ τῶν Τρώων ἡμῖν τὸν ἀριθμὸν ἐδήλωσεν, ὅτι ἀμφὶ τὰς πέντε μυριάδας ἐςὶν ὁ τῶν πολιτῶν· οἱ γὰρ ἐπίκουροι καθεύδουσι Τρωσὶ τὴν φυλακὴν ἐπιτρέψαντες· σέλαϊ δὲ γραπτέον, οὐ σέλας. Σ. Β.

Σ. 560. Κρῖ λευκόν] Ὡς ὄντος που καὶ μέλανος τὴν ἐπιφάνειαν· — τὸ δὲ ἐρέπτεσθαι ἀλόγοις μόνοις οἰκεῖον. Ε.

Σ. 561. Εὔθρονον] Βασιλικὸν ἢ καλὸν ἅρμα μεταληπτικῶς. Σ.



НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Ι.

Σ. 1. Ὅτι λιταὶ ἡ ῥαψῳδία ἐπιγράφεται αὕτη, ὑπὸ μιᾶς ταύτης τιτλουμένη λέξεως, διὰ τὴν πρὸς Ἀχιλλέα πρεσβείαν τῶν Ἑλλήνων, οἳ ἐκεῖνον συμμαχεῖν ἐλιτάζοντο. (ἴδ. Πλάτ. εἰς Κρατύλ. σελ. 428.) — Πάνυ δὲ ἐναγώνιος ἡ ῥαψῳδία, καὶ πολλὴν ἔχουσα δύναμιν ῥητορείας δικανικῆς. — Καὶ εἴπερ που ἀλλαχοῦ, ἐνταῦθα τὴν ἐν λόγῳ πολιτικῷ ῥητορικὴν Ὅμηρος ἐπιδείκνυται. Εὐστάθ.

Σ. 2. Φύζα, φόβου] Ὅρα δὲ, ὅτι διαφέρειν ἐνταῦθα φαίνεται φύζα φόβος· — καὶ λέγουσιν οἱ παλαιοὶ, ὅτι ἀεὶ μὲν φύζα ἡ μετὰ δέους φυγή· ὅθεν καὶ ἔλαφοι, φυζακιναί· νῦν δὲ φύζαν καὶ ἔκπληξιν ὁ ποιητὴς καλεῖ. — Κρυόεντος] Κρυόεις δὲ φόβος, ἐκ τοῦ παρακολουθοῦντος, ὁ ψύχων τὸν φεύγοντα· — οὗπερ ἀνάπαλιν, θαλπωρὴ ἡ ἐλπὶς, (Κ, 223.) ὡς θάλπουσα καὶ ζωοῦσα. Ε. — Φρικτοῦ, φοβεροῦ· σημαίνει γὰρ, τοὺς φοβουμένους συγκρούειν τοὺς ὀδόντας. Σ. — Θεσπεσίῃ] Θεία, πολλή. Σ.

Σ. 3. Πάντες ἄριστοι] Οἱ μὲν ἄλλοι περὶ φυγῆς ἐπιμέλειαν ἐποιοῦντο, οἱ δὲ ἄριστοι ἐν πένθει ἦσαν· ἀνάξιον γὰρ Ἑλληνικῶν ἀρχηγῶν ἡ φυγή. Μάλιστα δὲ αὐτῶν ἅπτονται αἱ συμφοραί, ἐπεὶ καὶ τὴν αἰτίαν τῶν κατορθωμάτων ἐπὶ τούτους ἀνάγομεν. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 4. Ὡς δ' ἄνεμοι δύο] Εἰκάζει δὲ ἀνέμοις δυσὶν ὁ ποιητὴς τὸν εἰς δύο τινὰ μερισμὸν τῶν Ἑλλήνων, οἳ δαΐζονται, ὅ ἐστι μερίζονται βουλαῖς, εἴτε μένειν, εἴτε φεύγειν χρεὼν, ὡς μετ' ὀλίγα φανεῖται. Ε.

Σ. 5. Βορέης καὶ Ζέφυρος] Πῶς ἀμφοτέρους ἐκ Θρᾴκης φησὶ πνεῖν, τοῦ μὲν Βορέου ἐξ ἄρκτου, τοῦ δὲ Ζεφύρου ἐκ δύσεως πνέοντος; ῥητέον οὖν, ὅτι ἡ τῶν Θρᾳκῶν γῆ ἐπιπολὺ διήκει, καὶ σιγματοειδὴς κεῖται τῇ θέᾳ μέχρι τῆς δύσεως· ἀφ' ἑκατέρου οὖν μέρους τῶν ἀνέμων ἔχει ἑκάτερον. Σ. — Θρήκηθεν δὲ πνέειν λέγει τὸν Ζέφυρον καὶ τὸν Βοῤῥᾶν Ὅμηρος, ἢ διὰ τὸ τὴν Θρᾴκην κοινὸν οἰκητήριον ἀνέμων μυθολογεῖσθαι, ἢ διότι δι' αὐτῆς τῇ καθ' ἡμᾶς ἐμπίπτουσι θαλάσσῃ, οὐ μὴν ἐξ αὐτῆς ἐκείνης· φησὶ γοῦν καὶ ὁ Γεωγράφος (βιβλ. Ι. σελ. 77.) τὴν ζέφυρον οὐκ ἐκ Θρᾴκης πνέειν, ἀλλὰ κατὰ τὴν Θρᾳκίαν θάλασσαν συμπίπτειν τῷ βοῤῥᾷ περὶ τὸν μέλανα κόλπον.

Σ. 6. Ἄμυδις] Ὁμοῦ, ἐξαίφνης. Σ. — Ἅμα τῷ πνεῦσαι τοὺς ἀνέμους· ψιλωτέον δὲ τὸ ἄμυδις. Αἰολικὸν γὰρ καὶ τόνον καὶ πνεῦμα ἐδέξατο. Σ. Β.

Σ. 7. Κορθύεται] Κορυφοῦται, αὔξεται. Σ. — ἀπὸ κόρυθος γίνεται, καὶ ἔστιν ὅμοιον τῷ κορύσσεται, ἤτοι κορυφοῦται. — Παρὲξ ἅλα] Τὸ δὲ παρὲξ ἅλα δηλοῖ τὸ παρὰ τὴν ἅλα, ἢ μᾶλλον, τὸ ἔξω μὲν ἁλός, παρ' αὐτὴν δέ, ἤτοι ἐγγὺς αὐτῆς. Ε. — Φῦκος] Τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα· οἱ δὲ φυκία φασὶ βοτάνην, τὴν ἐν τῷ βυθῷ τῆς θαλάσσης γιγνομένην. Σ.

Σ. 10. 11. Φοίτα κηρύκεσσι] Ὅτι συγκλήτου μὲν λέξιν ὁ ποιητὴς οὐκ οἶδεν· — ὅτε δὲ εἴπῃ, ὡς ὁ βασιλεὺς φοίτα κηρύκεσσι κελεύων, κλήδην εἰς ἀγορὰν κικλήσκειν ἄνδρα ἕκαστον, μηδὲ βοᾶν, — τὴν σύγκλητον παραδηλοῖ. — Οὕτω δὲ καὶ γερουσίαν μὲν οὐκ οἶδεν ὀνομάζειν ὁ ποιητής, ὅτε δὲ γέροντας λέγει, καὶ ὅτε οἶνον ὀνομάζει γερούσιον, τὴν τῆς γερουσίας ἐμφαίνει ἔννοιαν· — φοιτᾶν δὲ τὸ ἁπλῶς περιοδεύειν. — Ἀττικοὶ δὲ ὕστερον, τὸ εἰς διδασκάλου ἰέναι, φοιτᾶν ἔλεγον· καὶ φοιτητὴν, τὸν τοῦτο ποιοῦντα· ὡς δὲ καὶ τὸ ἐνθουσιωδῶς ὁρμᾶν καὶ μαίνεσθαι, φοιτᾶν ἐλέχθη, δηλοῦσιν οἱ παλαιοί. Ε. — Τὸ μὲν πλῆθος οὐ συνάγει· ἐπεὶ ἐν ταῖς δυσπραγίαις ὀργίζονται τοῖς ἄρχουσιν, ἐπ' ἐκείνους τὴν αἰτίαν τῆς συμφορᾶς ἀναφέροντες, ἄλλως τε εἰ μηδὲν δυστυχήσαντες οὕτως πρώην ἐδέξαντο τὴν φυγήν, πολλῷ μᾶλλον νῦν δυστυχήσαντες. Κατ' ὄνομα δὲ τοὺς ἀρίστους συνάγει, ἵνα μὴ



НБ ОНУ імені І.І. Мечникова

ἔκπυστα γένηται τοῖς πολεμίοις τὰ πραττόμενα· ἢ καὶ πρὸς τὸ μὴ ταράξαι τοὺς οἰκείους. Σ. Β.

Σ. 12. Μηδὲ βοᾷν] Ἀντὶ μὴ βοᾷν δέ· ὡς, δόλῳ, οὐδὲ βίηφι, ἀντὶ βίᾳ δὲ οὔ. (Ὀδυσσ. Ι, 406.).

Σ. 14. Δακρυχέων] Ἵνα ἐλεεινὸς γεγονὼς μὴ καταλειφθῇ παρ' αὐτῶν. Σ. Β. — Μελάνυδρος] Πολύϋδρος — ἢ βαθεῖα· τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος. Σ.

Σ. 15. Αἰγίλιπος πέτρης] Ἴδ. Β, 633. — Ἡ δὲ παραβολὴ πρός τε τὸ πλῆθος τῶν δακρύων εἴληπται καὶ τῶν στεναγμῶν. Σ. — Δνοφερόν] Μέλαν, ἢ μετὰ δονήσεως. Τῷ δὲ ψόφῳ ὁ στεναγμὸς εἴκασται. Σ. Β.

Σ. 17. Ὦ φίλοι κ. τ. λ.] Ἴδε Β, 110. — Οὐκ ἐσχηματισμένως μέν τοι, ἀλλὰ ἀληθῶς ταῦτα λαλεῖ. Ε. — Τὴν μὲν πρώτην πεῖραν Ἀγαμέμνων σύμπαντος τοῦ πλήθους ἐποιεῖτο, καὶ, Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος ἔλεγεν. Νῦν δὲ ταύτην δευτέραν πεῖραν εἰς τοὺς Ἀργείων ἡγεμόνας φέρει, δεδοικὼς, μὴ καὶ τούτων τὴν γνώμην ἡ γενομένη ἧττα καὶ ὁ παρὰ τοῦ Διὸς φόβος ἀνέστρεψεν. Ὅτι γὰρ ἀποπειρωμένου καὶ ἡ σύνοδος αὕτη, δῆλον καὶ ἐξ ὧν Ἀγαμέμνων τὴν τοῦ Διομήδους ἐπίπληξιν φέρει, οὐκ ἐνεγκὼν τὴν τοῦ κρείττονος Ἀχιλλέως δικαιολογίαν. Δῆλον δὲ καὶ ἐξ ὧν ὁ Νέστωρ, ὡς τὴν τοῦ βασιλέως γνώμην ἐπιστάμενος, τὸν Διομήδην ἐπαινεῖ, πρότερον ἐπιτιμήσας τῷ Ἀχιλλεῖ. Σ. Ε.

Σ. 18. Ζεύς με μέγα] Ἀπαλλάττει τῆς κατηγορίας ἑαυτόν. Σ. Β. — Ἐνέδησε] Τὸ δυσαπάλλακτον τῆς δυστυχίας δηλοῖ. Ε. (Ἴδ. Ἡρόδοτ. Ι, 11.).

Σ. 19. Ὃς πρὶν μέν μοι] Ὃς τότε μέν μοι — ὅτε τὸν ὄνειρον ἔπεμψεν (Β, 12.) ἐκεῖ δὲ, πρὶν, διὰ τό, Ἀστράπτων ἐπιδέξια. (Β, 350. 353.) Σ. Β.

Σ. 23 — 25. Οὕτω που Διὶ μέλλει κ. τ. λ.] Ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἄμεινον ταῦτα λέγειν ἐν τῇ ἀποπείρᾳ· νῦν δὲ οὐκ ἀποπειρᾶται, ἀλλὰ περὶ ἀποστάλσεως ἀληθῶς λέγει, ἐγκεκυρηκὼς τοῖς τοῦ Διὸς ἐλαττώμασι. Σ. Β.

Σ. 30. Ἄνεῳ ἦσαν] Ὅ ἐστιν ἄφωνοι. — Τετιηότες] Ὅ ἐστι λελυπημένοι, τετιμωρημένοι. Ε. — Οὔτε γὰρ μένοντες χρηστὴν εἶχον ἐλπίδα, οὔτε φεύγειν εὐκλεὲς ἡγοῦντο. Ἅμα δὲ καὶ τὴν προτέραν πεῖραν εἰδότες ὑποπτεύουσι, τίς ὁ νοῦς τοῦ λέγοντος. Σ. Β.

Σ. 31. Ὀψὲ] Διὰ τὴν νεότητα. Ε. — Οἰκεῖα Διομήδους ἡ

НБ ОНУ ім. І.І. Мечникова

ῥητορεία· τὸν γὰρ παραιβάτην Ἕκτορος ἐφόνευσε, τὴν σώσασαν Ἀλέξανδρον ἔτρωσε, τοὺς Αἰνείου ἵππους ἔλαβε, χρύσεα ὅπλα ἔσχεν, Ἰδαίῳ μόνος ἀντεῖπε, τοὺς κεραυνοὺς μόνος ὑπέμεινεν, ἔφυγεν ὕστερος, ἐπέστρεψεν πρῶτος. Ὀνειδισθεὶς δὲ ὑπὸ Ἀγαμέμνονος, εὐκαίρως αὐτῷ νῦν ἀντονειδίζει μετὰ τὴν ἀριστείαν. Σ. Β.

Σ. 32. Πρῶτα] Δῆλον, ὡς καὶ τοῖς ἄλλοις μέμφεται ὡς συναινοῦσι τῇ φυγῇ διὰ τοῦ σιωπᾶν. Σ. Β. — Τὸ δὲ μαχήσομαι ἐπὶ ἀντιλογίας νῦν κεῖται, διὸ ἐπήγαγεν, ὡς θέμις ἐστίν, ἄναξ, ἀγορῇ, ἄλλως γὰρ οὐκ ἔστιν ἀνταγορεύειν ἄνακτι. — Τὸ δὲ ἀφραδέοντι, οὐ πάνυ τραχέως ἔχει, οὐ γὰρ τὸν ἀφραίνοντα δηλοῖ, ἐπεὶ μηδὲ ἐχρῆν εὐθὺς ἐκ προοιμίων ἀπαρακαλύπτως τραχύνεσθαι, ἀλλὰ τὸν κακῶς φραζόμενον. Ε.

Σ. 33. Ἣ θέμις ἐστίν] Ὡς νόμος ἐστὶν ἐν ἐκκλησίαις τὸν βουλόμενον λέγειν ἀκωλύτως, ὥσπερ ἐν δημοκρατίᾳ. Σ.

Σ. 34. Τὸ δὲ ἀλκὴν ὀνείδισας (Δ, 370.), ἀσυνήθως λέλεκται· οὐ γάρ, ὥσπερ τὸ κλοπὴν ὠνείδισας, ἢ δειλίαν, ἀντὶ τοῦ κλέπτην εἶπας εἶναι, ἢ δειλόν, οὕτω κἀνταῦθα τὸ, ἀλκὴν μέν μοι πρῶτον ὠνείδισας, ἀντὶ τοῦ, ἄλκιμον ὠνόμασας· ἀλλ' ἀντὶ τοῦ, ἐμέμψω μοι τὴν ἀλκήν· διὸ καὶ ἑρμηνεύων ἐπήγαγε τὸ, φὰς εἶναι ἀπτόλεμον καὶ ἀνάλκιδα. Τὸ δὲ πρῶτον ὀνείδισας, ἴσον ἐστὶ τῷ, πρῶτος ὀνείδισας. Ε. — Πρῶτος] Ἀντὶ τοῦ εἷς καὶ μόνος· — ὃν δὲ βαρύτατα φέρων ἠνέσχετο ψόγον δειλίας, περὶ τούτου πρῶτον ἔρρηξε φωνήν. Σ. Β.

Σ. 36. Ἠμὲν νέοι, ἠδὲ γέροντες] Ἀνεπαχθῶς, διὰ τὸ σῶσαι Νέστορα· — νέοι δέ, διὰ τὸν Σθένελον, ὅτι καὶ ἡνίοχος ἦν τοῦ Διομήδους καὶ τὰς ἀριστείας ἑώρα αὐτοῦ. Σ. Β.

Σ. 37. Διάνδιχα] Διῃρημένως, τὸ ἕτερον τῶν δυοῖν, οὐχ ἑκάτερον. Σ. Β. — Τὴν τιμὴν εἰς δύο διελὼν καὶ μερίσας, τὸ ἕτερόν σοι ἔδωκε· λέγει δὲ τὸ βασιλεύειν. Σ. Β.

Σ. 38. Περὶ πάντων] Ἀντὶ τοῦ περιττότερον πάντων, ὅ ἐστι ὑπὲρ πάντας. Ε.

Σ. 39. Κράτος μέγιστον] Τὸ ἄμφω κεκτῆσθαι, ὡς οὐ τέλειος εἴη βασιλεύς, ὁ μὴ ἔχων τὰ δύο. Ἢ ὅτι ὁ μὲν δύναται βασιλείαν περιποιεῖν (καὶ ὅτι ἡ μὲν δύναμις βασιλείαν περιποιεῖ, Σ. Β.), ἡ δὲ βασιλεία πρὸς κτῆσιν ἀλκῆς ἀδύνατος. Δύο δέ εἰσι τὸ μὲν ἐκ τύχης, τὸ δὲ ἐξ ἀρετῆς· ὅπερ ἀποδέχεται ὁ ποιητής. Σ. Β. — Ὅ τε] Τὸ ὅ τε, ἀντὶ τοῦ ὅπερ. Σ. Β.

Σ. 40. Δαιμόνι'] Πρὸς δὲ τὸ φεύγωμεν καθαπτόμενος ὁ Διομήδης τοῦ βασιλέως διὰ τὸ πληθυντικῶς αὐτὸ εἰρῆσθαι, ἀποσεμνύνων δὲ τοὺς Ἕλληνας, ὡς μὴ πεισθησομένους, φησὶν τὸ δαιμόνιε, καὶ ἑξῆς. Ε.

Σ. 43. Ἔρχεο] Πικρὰ μὲν τῷ ἀκούεσθαι, ἥδιστα δέ ἐστι τῷ νοεῖν· ταῦτα γὰρ ἀκούειν ἐθέλει Ἀγαμέμνων παρὰ τῶν Ἀχαιῶν, ὡς ἐθελοντὶ τὸν κίνδυνον ἀναδέχονται, ὡς δημοκρατούμενοι, οὐ βιαζόμενοι. Σ. Β. — Νῆες] Τὸ δὲ τὰς νῆας τῷ βασιλεῖ ἄγχι θαλάσσης ἑστάναι, σκῶμμα λεληθότως εὐφυές ἐστιν, ὡς δῆθεν προχείρου τοῦ βασιλέως ὄντος φυγεῖν. — Αἵ τοι ἕποντο Μυκήνηθεν] Τὸ δὲ αἵ σοι ἕποντο Μυκήνηθεν, μερικεύει τε ἅμα καὶ ἑρμηνεύει τὸν νοῦν, ἵνα μὴ βασιλέως νῆες αἱ κατὰ τὸ ναύσταθμον πᾶσαι νοεῖντο. Ε. — Μυκήνηθεν] Τούτων γὰρ ἄρχει μόνων, οὐχ Ἑλλήνων. Πῶς δὲ οὐκ αἰσχρὸν ἐλθόντα πολλῷ στόλῳ μάταιον ὑποχωρεῖν; Σ. Β.

Σ. 46. Εἰ δὲ καὶ αὐτοί] Ὑποστικτέον εἰς τὸ αὐτοί· καὶ λείπει τὸ, θέλουσι φυγεῖν, ἢ κοινὸν τὸ, ἐπέσσυνται, ὥστε νέεσθαι. Κομματικῶς δὲ εἶπεν, μιμούμενος τὸν θυμούμενον· — ῥητορικῶς προσενεχυράζει αὐτῶν τὴν γνώμην. Σ. Β.

Σ. 49. Εἰλήλουθμεν] Τῶν λόγων τὸ ὑψηλόν· τῇ θείᾳ ῥοπῇ λέγει. Ἔστι δὲ ὅμοιον τῷ· πειθόμενοι τεράεσσι. (Δ, 408.) Σ. Β.

Σ. 51. Ἀγασσάμενοι] Ἔστι δὲ ἀγαίεσθαι μὲν, φθόνου· ἀγάσασθαι δὲ ἐκπλήξεως. Ε.

Σ. 52. Διομήδεος ἱπποδάμοιο] Ἡ σιωπὴ Ἀγαμέμνονος ἀπόπειραν δευτέραν ἔχει τῶν Ἑλλήνων· οὔτε δὲ ἀντιπράσσει τῷ Διομήδῃ· θυμήρη γὰρ εἶπεν· οὔτε ὡς ἡδόμενος συναινεῖ, ἵνα μὴ πρὸς τὸ μέλλον ἄπιστον ἑαυτὸν καταστήσῃ τοιοῦτόν τι τεχνάσασθαι· καλῶς δὲ μετὰ τὸ μαθεῖν τὴν γνώμην τῶν Ἀχαιῶν, ἐπάγει τὸν λόγον ὁ Νέστωρ. Σ. Β.

Σ. 53. 54. Τυδείδη, πέρι μὲν πολέμῳ] Οἷς ἀμφοῖν ἐλοιδόρησε τὸν βασιλέα, τούτοις αὐτὸν προύχειν φησὶν, ἀλλ' οὐκ ἄκρως· οὔτε γὰρ καρτερώτατος εἶπεν, ἵνα μὴ τοὺς ἄλλους τοὺς ἀνδρείας ἀντιποιουμένους λυπήσῃ, ἀλλὰ — μετὰ πάντας ὁμήλικας, ἵνα μὴ τοὺς πρεσβυτέρους ἀνιάσῃ. Ἄλλως τε καὶ ἀνατρέψαι αὐτοῦ τὸν λόγον βούλεται, διὸ οὐ συντετώτατον αὐτὸν καλεῖ. Σ. Β.

Σ. 55. Ὀνόσσεται] Ἐκφαυλίσῃ, καὶ μέμψηται. Σ.

Σ. 56. Οὐδὲ πάλιν ἐρέει] Τὸ πάλιν οὐκ ἔστι ἐκ δευτέρου, ὡς ἡμεῖς, ἀλλ' ἀντὶ τοῦ ἔμπαλιν ἐρεῖ, ἐναντίως· — οὐ μὴν τέλος ἐπέθηκας τῷ λόγῳ σου· τὰ μὲν γὰρ πρὸς τὸν βασιλέα δεόν-

НБ ОНУ ім. І. І. Мечникова

τως φησὶν εἰρῆσθαι, ἐλλείπειν δὲ τὰ τῆς συμβουλῆς καὶ παραφυλακῆς, ἅτινα αὐτὸς ἀναπληροῖ. Σ. Β. — οὐ τελείαν γνώμην εἰσήνεγκας. Εὐστ.

Σ. 59. Ἀργείων βασιλῆας] Ἔστιν ἐν τούτοις ἐλλιπὲς προθέσεως· βούλεται γὰρ εἰπεῖν βάζεις πρὸς τοὺς βασιλεῖς. Ε.

Σ. 61. Διίξομαι] Ἀντὶ τοῦ διεξέλθω, διεξοδεύσω τῷ λόγῳ. Ε. (ἴδ. Ἰλ. Τ, 186.).

Σ. 63. Ἀφρήτωρ] Ὁ φρατρίαν καὶ συγγένειαν μὴ ἔχων· (ἴδ. Β, 362.) Σ. — Ὅτι ἐντέχνως ὁ Ὁμηρικὸς ῥήτωρ Νέστωρ, διὰ γνωμικῆς ἀναντιῤῥήτου ἐννοίας πειρώμενος ἐναγαγεῖν τὸν βασιλέα εἰς φιλίαν τὴν μετὰ τοῦ Ἀχιλλέως, φησίν· ἀφρήτωρ, ἀθέμιστος, κ. τ. λ. τουτέστιν ἄπολίς ἐστι, καὶ μήτε θέμιν εἰδὼς, μήτε οἶκον ἔχων, ὃς ἐμφυλίου πολέμου ἐρᾷ, ὁποῖος δηλαδὴ καὶ ὁ βασιλεὺς καὶ ὁ Ἀχιλλεὺς, εἰ μὴ διαλλαγέντες σπείσονται, τῷ τῶν ὁμοφύλων Ἑλλήνων χαίροντες φόνῳ. Ἰστέον δὲ, ὅτι τῶν γνωρίμων εἰς δύο τούτους διαιρουμένων· εἴς τε τοὺς οἰκείους, καὶ εἰς τοὺς μὴ τούτους· τῶν δὲ αὖ οἰκειουμένων, διαιρουμένων αὖθις εἰς ἀγχιστεῖς καὶ εἰς καθ' αἷμα συγγενεῖς, καὶ εἰς ἁπλῶς ὁμοεστίους, ὁ τοῦ ἐμφυλίου πολέμου ἐρῶν οὐδενὸς τῶν τοιούτων διαιρεμάτων ἐπίστροφος γίνεται, ἀλλὰ πανωλεθρίαν πάντων καταψηφίζεται· καὶ εἴη ἂν, ὡς μὲν τῶν ἄλλως πολλῶν καταφρονῶν, ἀθέμιστος· ὡς δὲ τῶν πρὸς γένους μὴ ἐπιστρεφόμενος, ἀφρήτωρ ἂν δικαίως καλοῖτο· ὡς δὲ καὶ τοὺς ὁμοστέγους ἀποστέργων, ἀνέστιος· — σύστημα δὲ τοῦτο ἐν Ἀθήναις, τοὺς τικτομένους ἀπογραφόμενον, ὥστε φανεροὺς εἶναι, ὅτι πολῖταί εἰσι, καὶ ἔστι τῷ λόγῳ τούτῳ ἀφρήτωρ, ὁ ἄπολις· ἦν δὲ κατὰ τὴν ἱστορίαν φράτιον, τόπος ὡρισμένος, ἐν ᾧ οἱ τῆς αὐτῆς φατρίας συνήγοντο. Καὶ φατριάζειν εὐφωνότερον ἐλέγετο παρὰ Ἀττικοῖς τὸ εἰς ταὐτὸ συνιέναι· ἐγράφετο δὲ καὶ φράτηρ καὶ φράτωρ ὁ ἐκ τῆς αὐτῆς φατρίας. Ε. — Ἀθέμιστος] Θηριώδης, ἄνομος· ὅπου καὶ Κύκλωπες θεμιστεύουσι παίδων ἠδ' ἀλόχων (Ὀδυσσ. Ι, 114.), οἱονεὶ τὸ περὶ τὴν συγγένειαν φυλάσσουσι δίκαιον. — Ἀνέστιος] Ὁ γὰρ ἑστίαν νέμων καὶ βίον ἑδραῖον τιμῶν τῆς πρὸς τοὺς οἰκείους ἀπέχεται στάσεως· ἐπιδήμιος γὰρ πόλεμος ὁ ἐπιφύλιος. Σ. Β. — Ἀθέμιστος] Ἄδικος ἄνθρωπος. Σ. (ἴδ. Πολύβ. ΙΒ, 26, 3. καὶ Ἀριστοτέλ. Ι, 2.).

Σ. 65. Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα] Ἡ δὲ παραγγελία τοῦ

НБ ОНУ імені І.І. Мечникова

πείθεσθαι νυκτὶ, ἔστι πρὸς τὸ ἔργων ἀπέχεσθαι, ὧν καιρὸς μάλιστα ὁ τῆς ἡμέρας, ὁποῖος καὶ ὁ πόλεμος· εἰπεῖν δὲ ἀκριβέστερον, πρὸς τὸ μετρίως ἀναπαύεσθαι δι' ἀνάληψιν ὑγείας. Ε.

Σ. 67. Λεξάσθων] Λεξάσθωσαν, συναριθμηθήτωσαν, κατακλινθήτωσαν. Σ. — Τείχεος ἐκτός] Ἵνα ὁρώμενοι τοῖς πολεμίοις καταπλήσσοιεν αὐτούς· ἔσω δὲ ὄντες τῆς τάφρου ἀσφαλεῖς ὦσι. Σ. Β.

Σ. 69. Ἄρχε] Ἡγοῦ, ἡγεμόνευε. Σ.

Σ. 70. Δαίνυ δαῖτα γέρουσι] Ἔθος μὲν ἦν, ἀλλ' οἴεται αὐτὸν παραλείψειν ἐκπλήξει τὸ ἔθος. Ἄριστος δὲ ὁ καιρὸς, ἐπ' ὀλίγων, ἔνθα τὸν ἔλεγχον προσδέξηται. Νῦν μὲν γὰρ οἱ τῶν Ἀγρείων ἡγήτορες ἠδὲ μέδοντές εἰσι συνειλεγμένοι, ἐπὶ δὲ τὸ δεῖπνον οἱ γέροντες μόνοι συνάγονται· ἐφ' ὧν ἤνεγκεν ἂν τὴν παῤῥησίαν ὁ Ἀγαμέμνων. Καὶ ἄλλως ἐν οἴνῳ ῥᾷον (ἀνάγν. ῥάονες, ἢ ῥάους) ἑαυτῶν ἐσμὲν, ἥ τε ὁμοτράπεζος κοινωνία πάντας φίλους ποιεῖ. Διὸ καὶ Πέρσαι (Ἡροδ. I, 133.) μεθύοντες συμβουλεύονται, νήφοντες δὲ ἐπικρίνουσι. Καὶ ὁ Ῥοδίων δὲ νόμος κελεύει ταῖς μεγίσταις ἀρχαῖς συσσιτεῖσθαι τοὺς ἀρίστους περὶ τῶν ἔωθεν πρακτέων βουλευομένους (βουλευσομένους. Εὐστάθ.) Σ. Β.

Σ. 72. Ἠμάτιαι] Ἤγουν καθ' ἑκάστην ἡμέραν. — Θρήκηθεν] Ὅ ἐστιν ἐκ τῆς ἀντιπέραν Θρᾴκης, καθ' ἣν καὶ ἐγεώργουν μέρη τινὰ οἱ Ἀχαιοὶ, καθὰ περὶ Χεῤῥόνησον, ὡς ἡ ἱστορία φησίν· ἧς Θρᾴκης μέρος καὶ ἡ Θρᾳκία Σάμος, καὶ αἱ περὶ αὐτὴν νῆσοι, ὧν μία, ὡς εἰκὸς, καὶ ἡ Λῆμνος, καὶ ἔοικε πολύοινος εἶναι καὶ τότε ἡ Θρᾴκη. Ε.

Σ. 73. Ὑποδεξίη] Πάρεστί σοι ἀφθόνως ἡ πρὸς ὑποδοχὴν δαψίλεια. Σ. — Σημείωσαι δὲ, ὅτι τὸ ὑποδεξίη διὰ τὸ μέτρον ἔκτασιν τῆς παραληγούσης ἔπαθεν. Ε. — ἀγνοίᾳ μέντοι τῆς ἀκριβοῦς, διὰ τῆς ει διφθόγγου τὴν γραφὴν ποιοῦνται· καὶ οὕτως ἔχει ἡ τοῦ Ἀντιφάνους (ἀνάγν. Ἀριστοφάνους) παράδοσις. Σ. Β. — Ὑπεροπλίῃσι. Ἰλ. Α, 205.

Σ. 74. Τῷ πείσεαι, ὅς κεν] Μετρίως οὐκ ἀποδίδωσιν ἑαυτῷ. Σ. Β.

Σ. 77. Γηθήσειεν] Οὐ λείπει τὸ ὁρῶν, ἀλλ' ἐστὶ παλαιὰ συνήθεια· ἢ ἐξ ἀντικειμένου, οἷον, τίς οὐκ ἂν κλαύσειε; καὶ ἐν Πανόπταις ὁ Κρατῖνος, γέγηθα τὸν ἄνδρα. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 78. Διαῤῥαίσει] Διαφθερεῖ. Σ. — Ἐν τῷ πεῖσαι Ἀχιλλέα τὴν σωτηρίαν τίθεται. Σ. Β.

Σ. 81. Ἀμφί τε Νεστορίδην κ. τ. λ.] Εὖ τοῦ περὶ φυλακῆς εἰσηγησαμένου πρῶτος ἀριθμεῖται ὁ υἱός. Σ. Β.

Σ. 88. Πῦρ κήαντο] Ταύτην τὴν πυρκαϊὰν πρὸς τὸ ποιῆσαι δεῖπνον εὐτρεπίζουσι. Σ. Β.

Σ. 91. Ὀνείατα] Βρώματα, τὴν ὄνησιν παρέχοντα. Σ.

Σ. 94. Ἀρίστη φαίνετο βουλή] Τὸ δὲ φαίνετο ἀρίστη βουλὴ ἀντὶ τοῦ ἀπεφαίνετο, ἢ ἔφαινεν, ἔλαμπεν· οὐ γὰρ δήπουθεν ἐνομίζετο. Ε.

Σ. 97. Λήξω] Ἤγουν σὲ ἀρχὴν καὶ τέλος τοῦ λόγου ποιήσομαι, ὡς περὶ πλείονος σὲ τῶν ἄλλων τιθέμενος. Ε. — Πρὸς τὸ μὴ δοκεῖν ἐπιτάσσειν, κύριον αὐτὸν τῆς ἁπάντων ἀποφαίνει γνώμης, προσεκτικόν τε αὐτὸν ἀπεργάζεται, ὡς ὅλου τοῦ πράγματος ἐπ᾽ αὐτῷ κειμένου, ἢ ἐπεὶ τότε εἰς αὐτὸν ἔληξε λέγων, Λίσσομ᾽ Ἀχιλλῆϊ μεθέμεν χόλον, (Α, 283.) ἐκείνην τὴν λῆξιν ἀρχὴν ποιεῖται τοῦ νῦν διαλόγου. Σ. Β.

Σ. 99. Σκῆπτρόν τ᾽ ἠδὲ θέμιστας] Σκῆπτρον διὰ τὸ κράτος, θέμιστας διὰ τὸ δίκαιον· οὔπω γὰρ εἶχον γραπτοὺς νόμους, ἀλλὰ τὸ πᾶν ἦν ἐν τοῖς κρατοῦσιν, ὅθεν καὶ δικασπόλοι. Σ. Β.

Σ. 102. Σέο δ᾽ ἕξεται] Ἤτοι ἐν τῇ σῇ ἐξουσίᾳ ἔσται τοῦτο τὸ ἔργον δοκιμάσαι· ἤτοι τὸ τῶν λόγων κατόρθωμα σὸν ἔσται· εἰς σὲ γὰρ ἀνενεχθήσεται. — Ὅττι κεν ἄρχῃ] Ὅ,τι ἂν κρατῇ καὶ συμφέρῃ. Σ. (Ἴδ. Ὀδυσσ. Λ, 345. καὶ Ζ, 197.)

Σ. 104. Οὐ γάρ τις νόον] Ἐπὶ διαλλαγὰς τὸν βασιλέα φέρων, οὐχ ἐν ἐπιτιμήσεως μέρει τὴν Ἀχιλλέως ἔχθραν προφέρει, ἀλλὰ μόνον ἄριστα συνεωρακέναι ἑαυτόν. Σ. Β.

Σ. 106. Διογενές] Ἰστέον δὲ, ὅτι τὸ, ὅτε Διογενὲς καὶ ἑξῆς, γράφεται καὶ, ὅτε Διογενεῦς· ὁμοίως τῷ, Ὀδυσσέος Ὀδυσσεῦς· ἵνα λέγῃ, τὴν κόρην τοῦ διογενοῦς Ἀχιλλέως. Ε.

Σ. 108. Νόον] Εὐμάθειαν ἐργάζεται· ὁμολογῶν γὰρ, ὅτε οὐκ ἠρέσκετο τῇ εἰς τὸν Ἀχιλλέα ἀτιμίᾳ, δῆλός ἐστι τὸν λόγον ὑπὲρ τοῦ τιμῆσαι τοῦτον συνιστάς. Οὐκ ὀνειδίσαι δὲ τὴν ἁμαρτίαν θέλει, ἀλλὰ παρακελεύσαι μὴ δεύτερον ἐξαμαρτάνειν. Σ. Β.

Σ. 109. Ἀπεμυθεόμην] Ἀπηγόρευον, ἐκώλυον· γράφεται δὲ καὶ ἀπεμυθευόμην, ἵν᾽ ᾖ, ἀπελογιζόμην. Σ. — Μεγαλήτορι θυμῷ] Δεξιῶς ὑπήλλαξε τὰ ὀνόματα, τὴν αὐθάδειαν μεγαλοφροσύνην καλῶν, καὶ τὸ προπετὲς εἶξαι λέγων. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ 110. Εἶξας] Νικηθεὶς ὑπὸ τῆς ὀργῆς. Σ.

Σ. 112. Φραζώμεσθα] Προσποιεῖται τὴν παράκλησιν, ὅπως μὴ αἰσχυνθῇ ὁ βασιλεύς· τὸ γὰρ φράζου, πικρότερον ἦν καὶ προστάξεως ἐχόμενον. Καλαὶ αἱ λιταὶ διὰ τὸ ὁμοειδὲς, καὶ ἵνα προμαλαχθῇ Ἀχιλλεύς. Σ. Β. — Ἀρέσασθαι δὲ καὶ νῦν, τὸ εἰς φιλίαν ἁρμόσασθαι. Ε.

Σ. 116. Ἀασάμην] Ἐβλάβην. Σ. — Τὸ δὲ ἀασάμην ῥῆμά ἐστιν ἐξ οὗ ἡ ἄτη γίνεται, ἀεὶ ἐκτείνουσα ὡς ἀπὸ κράσεως τὸ ἐν ἀρχῇ δίχρονον. — Ὅρα δὲ ὅτι τὸ ἀασάμην ἐκτείνει μὲν τὴν ἄρχουσαν ἐν διαφόροις τόποις διὰ δακτύλου ἀπαρτισμόν, συστέλλει δὲ τὴν μετ᾽ αὐτήν· ἐφεξῆς δὲ ἐν τῷ, οὐκ ἐνόησε, ἀάσατο δὲ (Ἴδ. στ. 737.) ἀνάπαλιν· βραχύνει μὲν, ὡς ἐν μεταθέσει χρόνου, τὸ κατάρχον δίχρονον, ἐκτείνει δὲ τὸ μετ᾽ αὐτό. Ε.

Σ. 119. Λευγαλέῃσι] Οἱονεὶ λοιγαλέῃσιν, ἀπὸ τοῦ λοιγός· λέγει δὲ, τῇ ὀργῇ πεισθείς· ὀλεθρεύειν γὰρ ὁ θυμὸς τὰς φρένας, εἴωθεν. Σ. Β. — δειναῖς, ὀλεθρίαις. Σ.

Σ. 120. Ἀπερείσι᾽ ἄποινα] Ἵνα μὴ σμικροψυχίας ἕνεκεν δοκῇ τὸν στρατὸν ἀποστερεῖν συμμαχίας Ἀχιλλέως. Σ. Β.

Σ. 121. Ὑμῖν δ᾽ ἐν πάντεσσι κ. τ. λ.] Ἴδ. Α, 361.

Σ. 122. Τρίποδας] Ὅτι τῶν τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἳ καὶ αἴθωνες ἴσως λέγοιντο ἂν, ὡς πυρὶ αἰθόμενοι καὶ οὕτω χρήσιμοι· οἱ δὲ ἀναθεματικοὶ, πρὸς κάλλος ἀνατιθέμενοι ἐν οἴκοις, ἢ ναοῖς, ἄχραντοι πυρὶ φυλαττόμενοι· οὓς ἀπύρους ἐνταῦθά φησιν ὁ ποιητὴς, πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν. Λέβητες δὲ ἕτεροι ὄντες τριπόδων, ὡς δηλοῖ σαφῶς καὶ ἡ Ὀδύσσεια, λέγονται ἄλλως αἴθωνες, διὰ τὸ ἐκ τοῦ γεγανῶσθαι λαμπρὸν, ὡς ἀπὸ τοῦ αἴθω, τὸ λάμπω. Ὅτι δὲ ἐντιμότεροι λεβήτων οἱ τρίποδες, δηλοῖ κἀνταῦθα ὁ ποιητὴς, ἑπτὰ μὲν ἀπύρους τρίποδας, αἴθωνας δὲ λέβητας εἴκοσι πρὸς τοῦ βασιλέως ὑπεσχῆσθαι λέγων τῷ Ἀχιλλεῖ. — Ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται, ὅτι τε ἄπυροι τρίποδες, εἰς οὓς οἶνος ἐξεκεράννυτο· λοετροχόοι δὲ, ἐν οἷς ὕδωρ ἐθερμαίνετο, οἳ καὶ ἐμπυριβῆται· ὧν ἔνιοι ὠτώεντες· τρίποδες καλούμενοι, διὰ τὸ τρίποδα τὴν ὑπόβασιν ἔχειν· καὶ ὅτι τὸ ἀρχαῖον, δύο γένη τῶν τριπόδων ἦσαν, οἳ καὶ λέβητες ἐκαλοῦντο. Ε. — Ἀπύρους] Τοὺς μὴ εἰς πῦρ χρησίμους, ἀλλ᾽ ἀναθεματικοὺς, καινουργεῖς, τοὺς κόσμου χάριν τιθεμένους ἐν τῷ οἴκῳ. Σ. Β. — Δέκα δὲ χρυσοῖο τάλαντα] Ἰστέον δὲ ὅτι ἀόριστον τὸ τάλαντον παρὰ τοῖς παλαιοῖς· ἐπεὶ καὶ παρ᾽ Ἀττικοῖς μὲν ὕστερον εἰς

ἑξακισχιλίους στατῆρας αὐτὸ περιέστη. Τὸ δὲ μακεδονικὸν τάλαντον τρεῖς ἦσαν χρύσινοι. Δίφιλος δέ που φησὶν, ἀργυρίου βραχύ τι τάλαντον· παρ᾽ ἄλλοις δὲ τάλαντον, αἱ ἑκατὸν εἰκοσιτέσσαρες δραχμαί· οὕτως ἀνίσως εἶχε. Κἀνταῦθα γοῦν τὰ τῷ Ἀχιλλεῖ δοθησόμενα δέκα τάλαντα οὐ μέγα τι δοκοῦσιν εἶναι· ὥσπερ τὰ δύο τὰ ἐν τῷ ἐπιταφίῳ τοῦ Πατρόκλου τῷ τετάρτῳ ἀθλητῇ κείμενα, βραχύ τι φανήσεται στάθμιον. Ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φαίνεται, ὅτι τὸ τάλαντον ἦν ὅτε χιλιάδες ἦν κερμάτων ἕξ· ἱστορῶν γὰρ, ὡς ἑκατὸν μνᾶς ὁ μέγας Ἀλέξανδρος εἰς δεῖπνον ἀνήλισκε, λέγει καὶ ὅτι τὰ τετρακόσια τάλαντα γίνεται Ἰταλικοῦ νομίσματος μυριάδες διακόσιαι τεσσαράκοντα· καὶ ἦν ταῦτα βασιλικὸν ἀνάλωμα εἰς δεῖπνον. (Βιβλ. Δ, σελ. 146.) Σειμείωσαι (ἀνάγν. Σημείωσαι Β.) δὲ καὶ ὅτι νῦν μὲν τάλαντα παρὰ τῷ ποιητῇ, τὰ ταλαντευόμενα· λέγεται δέ ποτε κυρίως τάλαντον καὶ αὐτὸ τὸ ὄργανον τοῦ σταθμοῦ. Ε. — Ἦν καὶ βραχύ τι παρὰ τοῖς ἀρχαίοις· καὶ ὁ ποιητὴς δῆλον ἡμῖν τοῦτο ποιεῖ ἐν τῷ ἐπιταφίῳ τοῦ Πατρόκλου, λέγων — τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα· (Ψ, 269.) εἰ γὰρ περὶ τοῦ ταλάντου τῶν Ἑλλήνων ἐστί, βραχύ τι τὸ τάλαντον τοῦ χρυσίου ἦν παρ᾽ αὐτοῖς· ὡς καὶ Δίφιλος ἐν Ἀναγύρῳ, βραχύ τι ἐστὶ τὸ τάλαντόν φησι· τάλαντον δὲ, οὐ τάλαντα· ταῦτα δὲ ἐστὶ χρυσίου τάλαντον. Σ.

Σ. 124. Πηγούς] Εὐτραφεῖς, εὐπαγεῖς, ἀφ᾽ οὗ γενναίους. Σ. — Μέλανας· τούτους γὰρ ἀρίστους φασὶν οἱ περὶ ἵππων γράψαντες. Ὁμοίως καὶ Κύματι πηγῷ. εἴγε ἀλλαχοῦ φησι Μέλαν τέ ἑ κῦμ᾽ ἐκάλυψεν· (Ψ, 6[illegible].) Τινὲς δὲ μεγάλους, εὐτραφεῖς, ὑψαύχενας. Διὰ δὲ ποικιλίας τῶν δώρων θηρεύειν οἴεται Ἀχιλλέα, εἴτε φιλότιμος διὰ τῶν ἵππων, εἴτε φιλοχρήματος, πολὺν χρυσὸν καὶ χαλκὸν διδοὺς, εἴτε φιλογύνης εἴη, θυγατέρα πρὸς γάμον. Σ. Β. — Ἀέθλια — ἄραντο] Οὐκ ἐν Πελοποννήσῳ εἰσὶν οἱ ἵπποι ἠγωνισμένοι· εἶεν γὰρ ἂν ἤδη γέροντες· ἀλλ᾽ ἐν Ἠλίδι νενικήκασιν ἐπιταφίους ἀγῶνας ἀγωνιζόμενοι. Σ. Β. — Ἰστέον δὲ, ὅτι σπουδαῖον πάλαι κριθὲν τὸ ἐναγωνίως καὶ χάριν ἐπάθλων γυμνάζεσθαι φίλον ἦν καὶ τοῖς περὶ Τροίαν Ἀχαιοῖς, τά τε ἄλλα, καὶ διότι φιλοτιμίαν τε εἶχε τὸ πρᾶγμα, καὶ εἰς μάχην ἠρέθιζε τὴν ἀναγκαιοτάτην· ἧς ἕνεκεν Ἀθηναῖοι Πέρσας νικήσαντες, ὕστερον ἐπενοήσαντο ἀστεῖόν τι καὶ ἀκίνδυνον γυμνάσιον, ἀλεκτρυόνας νομοθετήσαντες ἀγωνίζεσθαι ἐπ-

μοσίᾳ μιᾶς ἡμέρας τοῦ ἔτους· ἐπεὶ καὶ Θεμιστοκλῆς, ὅτε κατὰ Περσῶν ἐξῆγε στρατόν· ἀλεκτρυόνας ἰδὼν μαχομένους ὑπὲρ τοῦ μὴ ἡττηθῆναι ἐκεῖθέν φασι τοὺς Ἀθηναίους ἐπέῤῥωσεν εἰς μάχην. Ὅμοιον δὲ καὶ Ῥωμαῖοι ἐποίουν δι' ὀρτύγων μονομαχίας, κήρυκος προφωνοῦντος τὸ, ποῦλλοι ποῦγναντ, ἤγουν, τὰ τὰ πωλία μάχονται, καὶ οὕτω τοὺς θεατὰς ἀθροίζοντας. Ε.

Σ. 125. Ἀλήϊος] Ὁ ἄνευ λείας, ἐλλιπὴς βοσκημάτων· λεία γὰρ κυρίως ἡ τῶν τετραπόδων κτῆσις. Σ.

Σ. 129. Λεσβίδας] Παρὰ Λεσβίοις ἀγὼν ἄγεται κάλλους γυναικῶν ἐν τῷ τῆς Ἥρας τεμένει, λεγόμενος Καλλιστεῖα. Ἡ δὲ Λέσβος νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει, πόλεις ἔχουσα πέντε, Ἄντισσαν, Ἐρεσσὸν, Μήθυμναν, Πύῤῥαν, Μιτυλήνην. Σ.— Ἃς, ὅτε Λέσβον] Πιθανῶς ἔπαινον Ἀχιλλέως παρέμιξεν, καὶ μονονουχὶ παραχωρήσειν φησὶν αὐτῷ τῶν αὐτοῦ σκύλων. (στ. 328). Ἅμα δὲ καὶ ὑπ' ὄψιν αὐτοῦ τὴν δωρεὰν ἄγει, ἐμφαίνων, ὅτι ἃ οἶδεν ἐκεῖνος, δίδωσιν. Ἁπλοῦν δὲ τὸ ἦθος καὶ πάντα πρὸς πειθώ. Σ. Β. — Λέσβος δὲ, ἡ νῦν Μιτυλήνη, ἀπὸ μέρους, ἤτοι ἀπὸ Λέσβου, μιᾶς τῶν ἐν τῇ νήσῳ πόλεων· ὥσπερ καὶ ὕστερον ἡ αὐτὴ ὅλη νῆσος, Μιτυλήνη καλεῖται, ὡσαύτως ἀπὸ ἑτέρας μιᾶς τινος τῶν ἐν αὐτῇ ποτε πέντε πόλεων. Ἰστέον δὲ καὶ ὅτι δοκεῖ οὐκ ἀγαθοὺς ἀνθρώπους ἡ Λέσβος ἐνεγκεῖν, ὅθεν καὶ λεσβιάσαι τὸ αἰσχρῶς μολῦναι τὸ στόμα κατὰ Αἴλιον Διονύσιον, ὃς καὶ τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν, τὸν Τέρπανδρόν φησι, δηλοῦν. Ἐκαλοῦντο δέ φασι καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν, πρῶτον μὲν, ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος· εἶθ' οὕτως οἱ λοιποὶ, μετὰ Λέσβιον ᾠδὸν, τὸν ἁπλῶς δηλαδὴ Λέσβιον. Ε. — Εἰσὶ βλασφημίαι καὶ ἀπὸ ἐθνῶν καὶ πόλεων καὶ δήμων πολλαὶ, ῥηματικῶς πεποιημέναι. Ἐθνῶν μὲν, οἷον Κιλικίζειν καὶ Αἰγυπτιάζειν, τὸ πονηρεύεσθαι· καὶ Κρητίζειν, τὸ ψεύδεσθαι. Ἐκ πόλεων δὲ, οἷον Λεσβιάζειν, τὸ αἰσχροποιεῖν· εἶτα παραγαγόντες Φερεκράτους χρῆσιν ἐν ἰάμβῳ τὸ, δώσει δέ σοι γυναῖκας ἑπτὰ Λεσβίας, ἐπάγουσιν ἀμοιβαῖον τὸ, καλόν γε δῶρον ἑπτ' ἔχειν λαικαστρίας· ὡς τοιούτων οὐσῶν τῶν Λεσβίων γυναικῶν. Ἐκ δήμων δὲ βλασφημία, τὸ Αἰξωνεύεσθαι, ἤγουν κακολογεῖν. Αἰξωνεῖς γὰρ δημόται Ἀττικοὶ σκωπτόμενοι ὡς κακολόγοι· καθὰ καὶ οἱ Σφήττιοι ἐπὶ ἀγριότητι. Ε.

Σ. 132. Ὅρκον ὀμοῦμαι] Διὰ τοῦ ὅρκου τὸν ζῆλον τοῦ

ἔρωτος τοῦ Ἀχιλλέως θεραπεύει, καὶ τὸ σῶφρον ἑαυτοῦ ἐνδείκνυται, διὰ τὴν φιλοτιμίαν, οὐκ ἀκρασίας ἕνεκεν, ἀφελόμενος Βρισηΐδα. Σ. Β.

Σ. 134. Ἡ θέμις] Φύσεως νόμῳ. Θαυμασίως τὴν αἰσχρὰν λέξιν ἐκάλυψε, τὰ τῆς συμπλοκῆς ταπεινὰ καὶ ἀνθρώπινα τιμιωτάταις προσηγορίαις ἐπισκιάζων. Σ. Β.

Σ. 137. Νηησάσθω] Ἤτοι σωρευσάτω· κοινῶς δέ γε νήσασθαι ὤφειλεν εἶναι, ὡς ἀπὸ τοῦ νῶ νήσω, τὸ σωρεύω. Ε.

Σ. 139. Αὐτὸς ἑλέσθω] Τὴν δωρεὰν ἡ ἐκλογὴ ποιεῖ μείζω, μακρὰν δὲ αὐτὸν τίθησι τοῦ γυναικείου πόθου. Σ. Β.

Σ. 140. Ἀργείην Ἑλένην] Ὅρα δὲ ἐν τούτοις καὶ ὅτι τὴν Ἑλένην πασῶν τῶν ἐν Τροίᾳ περικαλλεστέραν ἱστορεῖ. Ε. — Οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ὡς πρεσβεύουσαν ἁπασῶν ἐμβάλλει. Σ. Β.

Σ. 141. Ἄργος — Ἀχαιϊκόν] Ὅτι τὴν Πελοπόννησον Ἀχαιϊκὸν Ἄργος λέγει. Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν. Σ. Β. (Ἴδ. Β, 684.) — Οὖθαρ ἀρούρης] Τὸ γονιμώτατον καὶ κάλλιστον τῆς γῆς καὶ κάρπιμον. Σ.

Σ. 143. Τηλύγετος] Ἴδ. Γ, 175. — Ἀγαπητὸς, μονογενής· μόνος γὰρ Ὀρέστης ἄρσην ἐγένετο τῷ Ἀγαμέμνονι ἐκ Κλυταιμνήστρας. Σ. — Θαλίῃ ἔνι πολλῇ] Ἐν πολλῇ εὐωχίᾳ, ἐν πολλοῖς ἀγαθοῖς. Σ. Β.

Σ. 145. Λαοδίκη] Μία τῶν Ἀγαμέμνονος θυγατρῶν, ἣν οἱ τραγικοὶ Ἠλέκτραν εἶπον, ὡς καὶ τὴν Ἰφιάνασσαν, Ἰφιγένειάν φησιν ὁ Εὐριπίδης. Σ.

Σ. 146. Φίλην] Διὰ τῆς ἐπιγαμίας πιστοῦται τὴν φιλίαν, ὅπως μὴ δοκῇ πρὸς τὴν χρείαν κολακεύειν ὕπουλως ἔχων. Σ. Β. — Ἀνάεδνον] Ἔδνα κυρίως τὰ ἐκ τοῦ ἀνδρὸς διδόμενα τῇ γυναικί. Φησὶ γοῦν Ἀγαμέμνων, ὅτι ἣν ἂν Ἀχιλλεὺς αἱροῖτο τῶν βασιλίδων, λαβέτω ἀνάεδνον, ἤτοι μὴ λαβοῦσαν ἀπ' αὐτοῦ ἕδνα, ὅ ἐστι, φερνήν· φερνὴ γὰρ ἡ τῆς γυναικὸς προΐξ· οἷον, προθεὶς φερνὰς πατὴρ, ἣν Ὅμηρος καὶ μείλια ἢ ἐπιμείλια λέγει, διὰ τὸ τὸν ἄνδρα μειλίσσειν. Ἰστέον δὲ, ὅτι ἐν ῥητορικῷ λεξικῷ φέρεται καὶ ταῦτα· φερνὴ, δωρεὰ γυναικὶ διδομένη. — Ἔτι ἰστέον καὶ, ὅτι ἕδνα ἔστιν ὅτε καὶ τὰ τοῖς ἀνδράσιν διδόμενα λέγεται, ὡς πολλαχοῦ φανεῖται· οὕτω δὲ καὶ φερνὴ οὐ μόνον ἡ τῆς γυναικὸς ἐκ πατέρων, ἀλλὰ καὶ

НБ ОНУ імені І.І. Мечникова

ἢ τοῦ ἀνδρός· ὡς δηλοῖ καὶ αὐτὸ Εὐριπίδης ἐν τῷ, γάμων φερνὰς ἔπλους Αἵμονι. Ε.

Σ. 147. Ἐπὶ μείλια] Ἰστέον καὶ ὅτι Ἀρίσταρχος μὲν ἓν μέρος λόγου λαμβάνει τὸ ἐπιμείλια, ὡς τὸ ἐπιφέρνια. Ἀπολλόδωρος δὲ διαλύει. Ε.

Σ. 150. Καρδαμύλην] Μεσσηνηΐδες αὗται πόλεις· ἡ δὲ Μεσσήνη εἰς τὸν Λακεδαιμονίων νόμον πάλαι συνετέλει. —Ἰρήν] Ἀπὸ Ἴρου· τοῦτο δὲ ψιλοῦσθαι δηλοῖ ὁ τὰ ἐθνικὰ συγγράψας τὴν ἄρχουσαν τῆς τοιαύτης πόλεως, ὡς μὴ ἀπὸ ἱεροῦ τινος, ἀλλὰ ἀπὸ Ἴρου παρονομασθεῖσαν. (ἴδ. Στράβ. Η, σελ. 550.) Β. —Τὴν δὲ Ἄνθειαν πλησίον Ἄργους εἶναί φησιν, ἱστορῶν καὶ Πόντου πόλιν Ἄνθειαν, καὶ κώμην Λιβύης, καὶ Ἰταλίας. Αἴπειαν δὲ, πόλιν Λακωνικήν· ἔστι δέ φησι καὶ ἑτέρα Κύπρου, καὶ ἄλλη Κρήτης. Περὶ δὲ Φηρῶν ἑτέρωθι γέγραπται (Ε, 543.), ὥσπερ δὴ καὶ περὶ Πηδάσου, ἧς ὅτι διαφέρει τὰ Πήδασα πόλις Καρική, καὶ αὐτὸ ἀλλαχοῦ εἴρηται (ἴδ. Ζ, 21. 25. καὶ Φ, 87.). —Ὁ δὲ Γεωγράφος περὶ τούτων φησίν, ὡς τῶν βασιλικῶν πόλεων ἐπὶ πέτρας μὲν ὀρεινῆς ἵδρυται ἡ Καρδαμύλη· εἶτα Φηραὶ, ὅμοροι Φηρίᾳ καὶ Γερηνίᾳ· ἡ δὲ Ἰρὴ κατὰ τὸ ὄρος δείκνυται τὸ κατὰ μεγάλην πόλιν Ἀρκαδίας ἐπὶ Ἀνδανίαν ἰόντι· ἣν Οἰχαλίαν ὁ ποιητὴς καλεῖ· ἡ δὲ Αἴπεια, Θουρία ὕστερον ἐκλήθη ἱδρυμένη ἐπὶ λόφου ὑψηλοῦ, ὅθεν καὶ τοὔνομα. Τινὲς δέ φησιν, Αἴπειαν τὴν Μεθώνην, Ἄνθειαν δὲ οἱ μὲν αὐτὴν τὴν Θουρίαν, ἀφ' ἧς ὁ Θουριάτης κόλπος, οἱ δὲ τὴν μεταξὺ Ἀσίνης, οἰκειότατα βαθύλειμον λεχθεῖσαν (Η, σελ. 247. καὶ 248. ἴδ. καὶ Παυσαν. Γ, 25.)—Ζαθέας] Διά τινα σεσιγημένα σεμνά. Ε. μεγάλας, θείας. Σ. —Βαθύλειμον] Βαθεῖς λειμῶνας ἔχουσαν. Σ. — Δηλοῖ μὲν τὸ πολύχορτον, κἀντεῦθεν τὸ ποιὸν τῆς γῆς· ἐσχημάτισται δὲ καινότερον· ἐχρῆν γὰρ ὡς ἀπὸ τοῦ λειμῶνος, βαθυλείμωνα εἶναι. Ε.

Σ. 153. Νέαται] Ἤτοι ἔσχαται, ἢ κατῳκισμέναι εἰσί. Σ. — Ἀπολλόδωρος δὲ γράφει κέαται. Σ. Β.

Σ. 154. Πολύῤῥηνες] Ῥῆνες γὰρ αἱ ἄρνες (ἴδ. Ἐτυμολ. ἀρήν).

Σ. 155. Θεὸν ὥς, τιμήσουσιν] Ὡς θεῷ τὰς τῶν ὄντων προσάγοντες ἀπαρχάς. Σ. Β.

Σ. 156. Λιπαρὰς τελέουσι θέμιστας] Οὐ στασιαζόντων, ἀλλὰ πειθαρχούντων ἀνδρῶν ἄρξει. Τελέουσι δὲ ἀντὶ τοῦ τελέσουσι. —Λιπαρὰς δὲ τὰς θέμιστας καλῶν, τοῦτο δηλοῖ, ὅτι κρίνειν καλῶς εὐδαιμονίαν ἄγει. Σ. Β. — Ὅσα δεῖ βασιλέα λαμβάνειν

παρὰ τῶν ὑπηκόων, εὐκόλως δώσουσι· τοῦτ' ἔστι, καὶ ὑποταγέντες αὐτῷ κατὰ τὸ δίκαιον λαμπροὺς τελέσουσι φόρους. Σ.

Σ. 158. Δμηθήτω] Ὅτι μετὰ τὴν ἀπαρίθμησιν τῶν δώρων ὁ βασιλεὺς πάνυ ἐνδιαθέτως καὶ γοργῶς, κόμμασί τε κατατέμνων, καὶ ἀσυνδέτως προάγων τὸν λόγον φησί. — Δμηθήτω] Τουτέστιν εἰξάτω, πραϋνθήτω, ἐπιεικευσάσθω μοι ὁ Ἀχιλλεύς· — πωλοδαμνικὴ λέξις ἐθέλουσα τὸ ἀκάθεκτον ζῶον δάμνασθαι δι' εὐχρηστίαν. — Ἀμείλιχος ἠδ' ἀδάμαστος] Δύο γὰρ ταῦτά εἰσιν, οἷς ἐπαγόμεθά τινας, λόγος καὶ βία. Ε.

Σ. 159. Θεῶν ἔχθιστος] Εἰς δὲ τὸ εἶναι τὸν ᾅδην Θεῶν ἔχθιστον, συμβάλλεται καὶ Αἰσχύλου τὸ, μόνος θεῶν θάνατος οὐ δώρων ἐρᾷ, οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων λάβοις· οὐδ' ἔςι βωμὸς, οὐδὲ παιωνίζεται· (Ἴδ. Ἀριστοφ. Ὄρνιθ. στ. 1391). Ἐν οὐδεμιᾷ γὰρ πόλει βωμὸν ᾅδου εἶναί φασι. Θανάτου μέν τοι ἐν Γαδείροις ἱςοροῦσί τινες· ἄλλοι δέ γε, ὧν οἶμαι καὶ ὁ Γεωγράφος, καὶ τὸν ᾅδην παρά που τὴν Πελοπόννησον ἱκανῶς ἐκτετιμῆσθαί φασι. (Η, σελ. 237.). Ε.

Σ. 160. Ὑποστήτω] Τουτέστιν ὑπ' ἐμὲ ὡς ὑψηλότερον αὐτοῦ στήτω. Ε. — Παραχωρησάτω, ὑπειξάτω. Σ. — Ὡσανεὶ δέησιν προσάγει τὴν ἡλικίαν καὶ τὸ σκῆπτρον, οἷς εἴκουσι καὶ μεγαλόφρονες. Ἐξέφυγε δὲ τὸ ἐλεεινὸν, εἴκειν αὐτὸν ἀξιῶν τοῖς μείζουσιν ἀξιώμασιν. Σ. Β. — Τὸ δὲ βασιλεύτερος ταὐτόν ἐςι τῷ πλεόνεσσιν ἀνάσσων. Ε.

Σ. 161. Γενεῇ προγενέστερος] Ὅ ἐστι πολυχρονιώτερος, — γενεῇ μέν τοι τιμιώτερος, ὁ εὐγενέστερος. Ε.

Σ. 164. Ὀνοστά] Οὐ μεμπτά. Σ.

Σ. 165. Κλητούς] Κλητούς φησι, ἤγουν ἐξονομακλήδην ἐπιλέκτους· ἐπιλέγεται δὲ αὐτοὺς ὁ Νέστωρ, λέγων, ὅτι αὐτοὺς ἐγὼν ἐπιόψομαι, ἤγουν ἀκριβέστατα ἐπιτηρήσω, διακρινῶ, ἐπιλέξομαι. Ε.

Σ. 167. Εἰδ', ἄγε] Τουτέστιν, εἰ δὲ βούλεσθε, ἢ εἰ δὲ βούλει. Ε. — Ἐζήτηται δὲ, πῶς μᾶλλον ὁ Νέστωρ οὐ πρεσβεύει, ὡς συνετώτερος· ἔστι δὲ λέγειν, ὅτι κατ' οἰκονομίαν ὑπελείφθη, ἵν' ἂν ἀποτύχωσιν οἱ περὶ Ὀδυσσέα, αὐτὸς ὕστερον πείσῃ· ἄτοπον γὰρ ἦν, νῦν πρεσβεύειν τὸν Νέστορα, ὅτε ἔδει πάντως τὸν Ἀχιλλέα μὴ πεισθῆναι· ἀδοξία δὲ ἦν, Νέστορα μὴ δυνηθῆναι πεῖσαι. Σ. — Ταμιεύεται τὸν Νέστορα ὁ ποιητὴς, ὡς οἷά τινα τελευταίαν ἱερὰν ἄγκυραν τῷ ἐσχάτῳ κλύδωνι τῶν Ἀχαιῶν·

НБ ОНУ імені І.І.Мечникова

ὀκνῶν τὴν τοῦ γέροντος νῦν ἐλέγξαι ῥητορικὴν, ἣν ἐν τοῖς ἑξῆς προβαλεῖται· οὕτως ἐνεργὸν ἐκεῖ ἐσομένην, ὥστε τόν τε Πάτροκλον ἐρεθίσαι εἰς θάνατον, καὶ δι᾽ αὐτοῦ τὸν Ἀχιλλέα ἐξεγεῖραι ἀναγκαίως τότε εἰς πόλεμον. Ε.

Σ. 168. Φοῖνιξ — ἡγησάσθω] Ἰστέον δὲ, ὅτι τὸ Φοίνικα μὲν, ὡς παιδαγωγὸν πρώτιστα ἐπιλέγεται εἰς πρεσβείαν ὁ Νέστωρ, αἰδέσεται γὰρ Ἀχιλλεὺς τὸν διδάσκαλον ἱκετεύοντα. Ε. — Ἀπὸ τῆς Ἀχιλλέως σκηνῆς δεῖ νοεῖν ἥκειν τὸν Φοίνικα, ὡς ἐπὶ θέαν τῆς μάχης, ὅτι ἐδόκουν εἶναι ἐν δεινοῖς (ἐν ἐσχάτοις εἶναι κινδύνοις. Σ. Β.) συνελασθέντες εἰς τὸ τεῖχος, κἀνταῦθα γενόμενον κατασχεθῆναι ὑπὸ τῶν ἀρίστων εἰς τὴν εὐωχίαν· ἐθεράπευον γὰρ αὐτὸν ὡς τροφέα Ἀχιλλέως· ἴσως δὲ καὶ συμβιβάσαι αὐτοὺς θέλων, παρῆν, καὶ ἰάσασθαι τὴν ἀργίαν (ὀργὴν Σ. Β.) Ἀχιλλέως. Πέμπεται οὖν ὁ Φοῖνιξ οὐχ᾽ ὡς πρεσβευτής· δύο γὰρ ἦν ἔθος πρεσβεύειν· ἄνδρε δύω κρίνας (Ὀδυσσ. Ι, 89.) καὶ ἀγγελίην ἐλθόντα σὺν ἀρηϊφίλῳ (ἀντιθέῳ Σ. Β.) Μενελάῳ (Λ, 140.) (Ὀδυσῆϊ Σ. Β.), ἀλλ᾽ ἵνα τοῖς πρεσβευταῖς συλλάβηται· διό φησιν, ἡγησάσθω, ὡς ἐκεῖθεν ἥκοντος αὐτοῦ, καὶ πάλιν ἐπανελθεῖν ἀνάγκην ἔχοντος, ὅπου καὶ μὴ πρεσβεύσαντός φησιν, Ἀτρείδη ἥρωϊ φέρω χάριν (Ψ, 609.)· καὶ Φοῖνιξ δ᾽ αὖθι παρ᾽ ἄμμι μένων κατακοιμηθήτω, (Ν, 427.)· ὡς μέλλοντος αὐτοῦ ἐπανιέναι καὶ ἀπαγγεῖλαι, ἃ ἤκουσεν. Σ. Β.

Σ. 170. Κηρύκων] Καὶ κήρυκες συμπαραγίνονται, ἵνα δηλωθῇ, ὅτι δημοσία ἡ πρεσβεία ἐστί. Ταλθύβιος δὲ οὐδέποτε παραγίνεται, ὅτι Ἀγαμέμνονός ἐστιν ὑπηρέτης. Σ. Β.

Σ. 171. Εὐφημῆσαι] Οὐ τὸ ἐπαινέσαι, ἀλλὰ τὸ ὑμνῆσαι καὶ ἐνθεάσαι κατὰ εὐχήν. — Καὶ ὡς ἐκ τοῦ παρακολουθοῦντος δηλοῖ αὐτὸ δὴ τὸ εὔξασθαι. Ε.

Σ. 173. Ἑαδότα] Τοῦ δὲ ἑαδότα θέμα τὸ ἥδω· οὗ μέσος ἄῤῥητος παρακείμενος ἧδα· μετοχὴ δὲ αὐτοῦ ἡδώς· καὶ διαλύσει, ἑαδώς. Ε. — Ἀρέσκοντα. Σ.

Σ. 175. Ἐπεστέψαντο] Ἴδ. Α, 470. 71.

Σ. 180. Δενδίλλων] Τοῖς ὄμμασι διανεύων, ἢ περιβλέπων. Σ. — Τὸ δενδίλλειν Ἰωνικὴ λέξις, δηλοῦσα τὸ περιβλέπεσθαι καὶ δινεῖν τοὺς ἴλλους ὧδε καὶ ἐκεῖ· ἐξ ὧν ἴλλοὶ παρὰ τῷ κωμικῷ οἱ στραβοί. Ε. — Οἷον τῇ ὄψει ἱκετεύων, ὡς ἐπὶ σωτηρίᾳ τοῦ παντὸς στελλομένους. Σ. Β.

НБ ОНУ imeni I.I. Мечникова

Σ. 182. Βάτην] Αἴας καὶ Ὀδυσσεύς, Φοίνικος προεληλυθότος· — καὶ διὰ τοῦτο ὁ ποιητὴς δυϊκῶς κέχρηται, τὸ χαίρετον, ὦ φίλοι (στ. 197.). Σ. Β.

Σ. 183. Εὐχομένῳ γαιηόχῳ] Ἐπεὶ παρὰ θάλασσαν ἐβάδιζον, διὰ τοῦτο τῷ Ποσειδῶνι εὔχονται. — Τὸ γὰρ παρὸν εἰς μνήμην ἔστοιμον, καὶ Εὔμαιος θύει ταῖς νύμφαις, καὶ Ἕλληνες ἐπικαλοῦνται τὸν Ἰδαῖον Δία, καὶ νῦν δὲ Ποσειδῶνα, ὅτι ἐπίκουρος τῶν Ἀχαιῶν· ἢ ὅτι Νηρηΐδος παῖς ἐστιν Ἀχιλλεύς· τῶν δὲ ἐναλίων θεῶν οὗτός ἐστι βασιλεύς. Σ. Β. — Γαιηόχῳ] Γαιήοχος, ὁ ἔχων, συνέχων, περιλαβὼν τὴν γῆν. Σ. — Ἐννοσιγαίῳ] Ἐννοσίγαιος (ἴδ. Ἡρόδοτ. Ζ, 129).

Σ. 187. Ζυγός] Ὁ πῆχυς τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κόλλαβοι· οὕτω δὲ λέγονται οἱ πάσσαλοι, ὧν ἐξάπτονται αἱ χορδαί, παρὰ τὸ κεκολλῆσθαι. Σ.

Σ. 188. Ἐνάρων] Ἵππον διὰ πόλεμον, δίσκον καὶ κιθάραν, πρὸς σωματικὴν καὶ ψυχικὴν γυμνασίαν. Σ. Β.

Σ. 192. Προτέρω] Ἤγουν προσωτέρω, ἐνδοτέρω. Σ.

Σ. 193. Στάν] Ἤγουν ἔστησαν· καθὰ καὶ τὸ φθὰν ἐν τοῖς ἑξῆς, ἀντὶ τοῦ ἔφθασαν, καὶ τὸ φὰν ἀντὶ τοῦ ἔφησαν. Ε. — Ταφών] Ἐκπλαγείς, θαυμάσας. Σ. Β. — Διὰ τὸ φίλον, ἢ διὰ τὸ χαίρειν ἐπὶ τῇ προσδοκωμένῃ πρεσβείᾳ, ἢ διὰ τὸ νυκτὸς αὐτοὺς ἤδη οὔσης μέσης παρεῖναι. Σ. — Ἰωνικῶς λέγεται κατὰ τροπὴν τοῦ θ εἰς τὸ τ. Σ. Β.

Σ. 194. Σὺν φόρμιγγι] Ὧδε στικτέον. Ὑπὲρ φιλοφροσύνης ἀπήντησεν αὐτοῖς οὕτως, ὡς εἶχεν, σὺν τῇ κιθάρᾳ. Τινὲς δὲ ὑφ' ἑνί· αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος, καὶ τὴν φόρμιγγα λιπών, ὡς αἰδούμενος. Σ. Β. — Βέλτιον δὲ τὸ πρότερον, ὥστε τοῖς ἄνω συνάπτειν Σ. Β. — Θάασσεν] Ἤτοι ἐκάθητο· ἐξ οὗ θάκος, ὁ θρόνος λέγεται. Ε. (ἴδ. Ο, 124. καὶ Ὀδυσσ. Γ, 336).

Σ. 195. Ὣς αὔτως] Παραπλησίως δὲ, ὁμοίως. Σ.

Σ. 196. Δεικνύμενος] Ἀντὶ τοῦ δεξιούμενος, φιλοφρονούμενος, ξενοδοχῶν. Ε.

Σ. 197. Ἦ τι μάλα χρεώ] Τὸ δὲ ἢ μάλα χρεώ, ἀγχίνουν τὸν Ἀχιλλέα παριστᾷ, οὕτω ταχὺ νοήσαντα, ὡς οὐκ ἂν ὁ βασιλεὺς τῷ ἐχθίστῳ εἴασε τοὺς φιλτάτους ὁμιλῆσαι, εἰ μὴ ἀνάγκη μάλα ἤπειγε· περιττὸν δὲ συνήθως τὸ τι· καθὰ καὶ ἐν τῷ· οὔτι, καὶ μήτι ἐγώ· καὶ ἀλλ' εἴ τι χαίρεις, καὶ τοῖς ὁμοίοις. Ε. — Τὶ, ἀντὶ τοῦ τινός· οἱ δὲ, ἀντὶ τοῦ ὄντως. Σ. Β.

Σ. 198. Σκυζομένῳ] Ὅ ἐστι ὀργιζομένῳ. Ε.

Σ. 200. Ἐν κλισμοῖσι] Καθέδραις ἀνακλίσεις ἐχούσαις. Σ. — Τάπησι] Μαλλῷ, τοῖς ὑφάσμασι. Σ. — Τάπητες δὲ νῦν, τὰ προσκεφάλαια. Καὶ σημείωσαι, ὅτι ὁ τάπης ὑπόκειται, οὐ μὴν ὑπέρκειται οἷά τι σκέπασμα, καθά τινες ἐν ἄλλοις οἴονται. — Ἐοίκασι δὲ καὶ μαλλωτοὶ τάπητες εἶναι· ὅθεν Αἴλιος Διονύσιος ἀμφιτάπητάς φησι τοὺς μὴ ἑτερομάλλους, ἀλλ' ἐξ ἑκατέρων τῶν μερῶν δασεῖς· καὶ Παυσανίας δὲ λέγει, ὅτι ἀμφιτάπητες, οἱ ἀμφίμαλλοι· οἱ δὲ ἑτερόμαλλοι, τάπητες. Ε.

Σ. 203. Ζωρότερον] Ζωρότερον ἢ ἀντὶ τοῦ σπουδαιότερον, καὶ ζωηρότερον, ἢ ἀντὶ δὲ τοῦ ἀκρατότερον· καὶ αὐτὸ παρὰ τὸ ζῆν· αὐτὸς γὰρ ὁ Ἀχιλλεὺς ἔοικεν ὑδαρέστερον πίνειν· καὶ εἰκότως ὁ τῷ Ἀγαμέμνονι ὀνειδίσας οἰνοφλυγίαν. Ε. — Κέραιε] Κέραιρε· κίρνα. Σ. — Ἰστέον δὲ, ὅτι τῶν τινα ἀντιγράφων τὸ κέραιε, κέραιρε φασίν· ὀλίγα μέν τοι, καὶ οὐδὲ τὰ ἀκριβέστερα. Ε. — Δίχα τοῦ ρ Ἀριστοφάνης, κέραιε. Σ. Β. — Ἔντυνον] Ταὐτὸν τῷ ὅπλισον· ἐπεὶ καὶ ἔντεα δαιτὸς τὰ εἰς αὐτὴν σκεύη. Ε. — Παρασκεύαζον, εὐτρέπισον. Σ.

Σ. 206. Κρεῖον] Κρεωδόχον ἀγγεῖον. Σ. — Παυσανίας δὲ κανοῦν παραδίδωσι τὸ κρεῖον, ἢ ἄλλο τι, ἐφ' οὗ τὰ κρέα κόπτεται. Ε.

Σ. 208. Συὸς σιάλοιο] Ἴδ. Φ, 363. — Ῥάχιν] Νῶτον, ψόαν· ἐπεὶ κατὰ τοῦτο τὸ μέρος ῥαχίζονται. Σ. — Εἰς ταπεινὴν τάξιν μαγειρικῆς κατερχόμενος, οὐδὲν ἧττον τὴν ἡρωϊκὴν διαφυλάττει σεμνότητα· ἔμφασιν δὲ ἔχει καὶ ἡ ἐκλογὴ τῶν ὀνομάτων. Πρῶτον μὲν οὐκ εἶπε, κατέθηκεν, ἀλλὰ κάββαλεν, ἔμπειξιν ἐμφαίνων τοῦ διακονουμένου, ἔπειτα τροπικὸν εἰσήνεγκεν ὄνομα τὸ τεθαλυῖα. Σ. Β.

Σ. 209. Τῷ δ' ἔχεν] Τούτῳ δὲ, τῷ Ἀχιλλεῖ, ὑπηρέτει τὰ κρέα ὁ Αὐτομέδων, οἷον ὑπεῖχεν αὐτὰ, ἐκεῖνος δὲ διέτεμνε. Σ.

Σ. 212. Φλὸξ ἐμαράνθη] Εἰς ταπεινὴν ἀπαγγελίαν οὐδεὶς τοσαύτην ἐπέθηκε σεμνότητα. Σ. Β. — Ὅρα δὲ τὸ ἐμαράνθη, λεχθὲν ἐπὶ σβέσεως φλογός. Ε.

Σ. 214. Ἁλὸς θείοιο] Θεῖον τὸν ἅλα φησὶν, ἢ διότι συναγωγός ἐστι εἰς φιλίαν, καὶ εὐνοίας σύμβολον τοῖς ξένοις ἐν τῇ τραπέζῃ παρετίθετο, ἢ διότι τὰ ἁλίμαστα ἐπὶ πολὺ παραμένειν ποιεῖ. Ε. — Διὰ τὸ ἄσηπτα τηρεῖν τὰ πασσόμενα.

НБ ОНУ імені І.І. Мечникова

Σ. Β. — Κρατευτάων] Τῶν βάσεων, ὅ ἐστι τῶν λίθων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται, ὀπτωμένων τῶν κρεῶν· οἱ δὲ τῶν λαβῶν τῶν ὀβελίσκων εἶπον κακῶς. Σ. — Οἱ μὲν τῶν ἀλοθηκῶν, τουτέστι τῶν ἀγγείων ἐν οἷς οἱ ἅλες εἰσίν· οἱ δὲ τῶν ἐξοχῶν τῆς ἐσχάρας, αἷς ἐπιτίθενται οἱ ὄβελοι. Σ. Β. — Ἐπαείρας] Ἐκβάλλει γὰρ ἐκ τοῦ πυρὸς, ἵνα μὴ ἐκεῖσε πάττων ἐνοχλῇ Σ. Β.

Σ. 215. Εἰν ἐλεοῖσιν] Ἐπιμήκεσι τραπεζίοις ἐξ ἐλείων ῥάβδων πεπλεγμένοις· δασύνεται δὲ τὸ ἐλεοῖσι. Σ. Β. — Ἔχευε] Ἀπὸ τῶν ὀβελίσκων εἵλκυσεν. Σ.

Σ. 220. Θυηλάς] Τὰς ἀπαρχάς. Σ. — Ἀπόμοιραν δηλαδή τινα τῶν ὀπτηθέντων κρεῶν, κατά τινα λόγον ἀπαρχῆς. Ε. — Δεισιδαίμων δὲ ὁ Ἀχιλλεὺς, ὃς καὶ τροφῆς τοῖς θεοῖς ἀπάρχεται. Σ. Β.

Σ. 226. Ἠμὲν — Ἀτρείδαο] Καλῶς τὰ περὶ τὴν ἑστίασιν ὅμοια τῇ παρ' ἐκείνῳ λέγει, ἐν ᾗ οὐδεμίαν ἑώρα φιλοτιμίαν. Τὴν δὲ σωτηρίαν ἐν Ἀχιλλεῖ κεῖσθαι μόνῳ φησί. Τοῦτο γάρ φησιν, ἥκομεν αἰτοῦντες, ὃ ἐξ ἄλλου λαβεῖν οὐ δυνάμεθα. Σ. Β.

Σ. 228. Δαίνυσθ' κ.τ.λ.] Εἰς δύο στάσεις διεῖλε τὸν λόγον, τὴν παρορμητικὴν, τραγῳδήσας τὰς συμφορὰς, εἰς τὸ καλὸν καὶ ἀναγκαῖον καὶ συνετὸν ποιήσας τὴν παρόρμησιν· καὶ εἰς τὴν ἀλλοιωτικὴν, ἧς μέρος τὸ ὑπαλλακτικόν· ἀντὶ γὰρ Ἀγαμέμνονος τὴν στρατιὰν ἔλαβεν. Σ. Β.

Σ. 230. Ἐν δοιῇ] Ἐν δισταγμῷ, ἐν διχοστασίᾳ. Σ.

Σ. 231. Δύσεαι ἀλκήν] Ὡς νῦν ἐκδεδυμένον αὐτὴν δυσωπεῖ· — τὴν δὲ πάντων σωτηρίαν εἰς αὐτὸν ἀνάγει, ἣν μᾶλλον ἁπάντων φιλότιμος ἕλοιτο. Σ. Β.

Σ. 232. Αὖλιν ἔθεντο] Τὸν αὐλισμὸν ἐποιήσαντο, ἐστρατοπέδευσαν. Σ.

Σ. 235. Σχήσεσθαι] Τουτέστιν, οὔ φασιν ἡμᾶς ὑπομεῖναι καὶ ἀντιστῆναι, ἀλλὰ φεύγοντας ἐμπεσεῖν ταῖς ναυσίν· ἢ καὶ ἑτέρως, οὔ φασι σχήσεσθαι μάχης, ἤγουν ἐφέξειν ἑαυτοὺς, ἀλλὰ διώκοντας ἐμπεσεῖσθαι ταῖς ναυσί. Ε.

Σ. 239. Λύσσα] Μανία. Σ. — παρὰ τὸ λύειν τὸν νοῦν. Σ. Β. (ἴδ. Χ, 70.) ἐρεθισμὸς ἱκανὸς, ὁ τῶν ἐχθρῶν ἔπαινος. Σ. Β.

Σ. 241. Στεῦται] Διαβεβαιοῦται, ὑπισχνεῖται. (ἴδ. Γ, 83. καὶ Ὀδυσσ. Μ. 583.). Σ. — Ἄκρα κόρυμβα] Τὰ τῶν νεῶν ἀκροστόλια· διατί δέ φησι, πρῶτον ἀποκόπτει, εἶθ' οὕτως τὸ πῦρ ἐμβάλλει; ἐπειδὴ ἐπὶ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ εἰκόνες τῶν Θεῶν ἐκκλίνων οὖν τὴν τῶν Θεῶν ὀργὴν, τοῦτο



НБ ОНУ імені І.І.Мечникова

ποιεῖ. Σ. — Οὐκ ἀγαπᾷν φησιν αὐτὸν μόνον ἐμπρῆσαι τὰς ναῦς, ἀλλὰ καὶ τὰ κόρυμβα ἀποκόψαι θέλειν, ὥσπερ τρόπαια τῆς κατὰ τῶν Ἑλλήνων νίκης ἀναθεῖναι σπεύδοντα· ταῦτα δὲ πάντα κινητικά. Σ. Β.

Σ. 242. Μαλεροῦ] Μαραντικοῦ, φθαρτικοῦ. Σ.

Σ. 243. Ἀτυζομένους] Ἐκπεπληγμένους. Σ. (ἴδ. Ζ, 38. καὶ Χ, 474.).

Σ. 247. Εἰ μέμονάς γε] Εἰ προθυμῇ. Σ.

Σ. 249. Μῆχος] Μηχάνημα, τέχνασμα· — ἀμήχανον δὲ λοιπὸν μετὰ τὸ πραχθῆναι τὸ κακὸν θεραπείαν εὑρεῖν αὐτοῦ. Σ.

Σ. 252. Τοῦτο δεύτερον κεφάλαιον, εἰς ἐπιείκειαν καὶ πραότητα προκαλούμενον. Τὸ δὲ στασιαστικὸν θέλων ὀνειδίζειν, οὐδὲ τοῖς ῥήμασιν ἀποκεκαλυμμένοις χρῆται, οὔτε ἐξ ἰδίου προσώπου τὴν ἐπιτίμησιν ποιεῖ, ἀλλ' ἐν ἠθοποιΐᾳ ἐξ ἁπάντων προσώπων ταύτην εἰσήγαγε, ἔστιν οὖν ἀνεπαχθής· ὡς οὐκ ἰδίας ὑποθήκας εἰσάγων, ἀλλ' ὑπομιμνήσκων τοῦ πατρός. Σ. Β.

Σ. 257. Ἔριδος κακομηχάνου] Πρὸς τὴν ἀγαθὴν διέστειλεν, ἐπείπερ οἱ ἐρίζοντες κακὰ τοῖς πλησίον μηχανῶνται. Δείκνυσι δὲ, ὅτι οὐ τοσοῦτον ὀνίνησιν ἰσχὺς, ὅσον ἡ πρὸς φίλους ἔρις βλάπτει. Σ. Β.

Σ. 259. Λήθεαι] Πρᾴως καθήψατο· οὐκ ἀμελεῖν αὐτὸν φήσας, ἀλλ' ἐπιλελῆσθαι. Ὄνομα οὖν ἐξελέξατο συγγνώμης ἀξιούμενον. Σ. Β.

Σ. 260. Παύε] Καλῶς νῦν, ἵνα δηλώσῃ τὸν ἱκέτην· ἅμα δὲ καὶ ὑποφαίνει, ὡς οὗτος αὐτῷ ὑποτάσσεται, ᾧ ὁ πατὴρ αὐτὸν ὑπέταξε. Μετὰ δὲ τὸ τοὺς τοῦ πατρὸς λόγους πεπτᾶναι (ἴσ. πεπάναι) αὐτὸν προσφέρει τὰ δῶρα· αἰσχροκερδὴς γὰρ ἦν ἀπ' ἀρχῆς. Σ. Β. — τρίτον δὲ κεφάλαιον τὸ περὶ τῶν δώρων. Σ. Β.

Σ. 300. Ἀπήχθετο] Τέταρτον κεφάλαιον, δεητικὸν ὑπὲρ τῶν Ἑλλήνων· ὑποφορᾷ δὲ χρῆται λαμβάνων αὐτοῦ τὴν ἀντίῤῥησιν, καὶ τῇ Ἀγαμέμνονος ἔχθρᾳ ἀντιτιθεὶς τῶν ἁπάντων ἔλεον, καὶ μονονουχὶ πᾶσαν ἱκετεύουσαν παράγων Ἑλλάδα. Σ. Β. — Κηρόθι μέν ἐστι, τὸ μὴ λόγοις μόνοις, καὶ, ὡς εἰπεῖν, ἐπιπολῆς, ἀλλ' ἐν βάθει ψυχῆς. Ε.

Σ. 304. Ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθῃ] Καλῶς δὲ εἶπεν, νῦν, ὡς πρώην αὐτοῦ πτήσσοντος ἐν τῷ τείχει, ὥστε μὴ ἀπολέσῃ τὸν καιρὸν, ἐν ᾧ μεγάλα δύναται ἐπιδείξασθαι κατὰ τῶν πολεμίων. Σ. Β.

Σ. 307. Τὸν δ' ἀπαμειβόμενος κ. τ. λ.] Ἀχιλλέα παραδίδωσι φιλότιμον ἁπλοῦν, φιλαλήθην, βαρύθυμον, εἴρωνα. Καὶ ὅσα μὲν φθέγγεται συνετὰ ταῦτα αὐτῷ ἡ παιδεία δέδωκεν· ὅσα δὲ αὐθάδη καὶ μεγαλόφρονα, ταῦτα ὑπὸ τῆς φύσεως λέγειν προάγεται. Σ. Β.

Σ. 308. Πολυμήχαν' Ὀδυσσεῦ] Φησὶ τὸν Ὀδυσσέα Ὅμηρος σοφὸν ὄντα πολύτροπον εἶναι, ὅτι δὴ τοῖς ἀνθρώποις ἠπίστατο πολλοῖς τρόποις συνεῖναι· οὕτω καὶ Πυθαγόρας λέγεται πρὸς παῖδας ἀξιωθεὶς ποιήσασθαι λόγους, διαθεῖναι πρὸς αὐτοὺς λόγους παιδικούς· καὶ πρὸς γυναῖκας, γυναιξὶν ἁρμοδίους· καὶ πρὸς τοὺς ἄρχοντας, ἀρχοντικούς· καὶ πρὸς ἐφήβους, ἐφηβικούς· τὸν γὰρ ἑκάστοις πρόσφορον τρόπον τῆς σοφίας ἐξευρίσκειν· ἀμαθίας δὲ εἶναι, τὸ πρὸς τοὺς ἀνομοίους ἐντυγχάνοντα τοῦ λόγου τὸ μονότροπον. Σ.

Σ. 309. Ἀπηλεγέως] Ἀπαγορευτικῶς, διαῤῥήδην ἢ συντόμως· φιλοσύντομος γὰρ ὁ θυμός. — Ὅρα, ὡς πρὸς μὲν Ὀδυσσέα ἀπιέναι φησὶ, πρὸς Φοίνικα δὲ μένειν, μὴ μέν τοι πολεμήσειν, πρὸς Αἴαντα δὲ πολεμήσειν, ἀλλ' ὅταν ἀνάγκη, καλῶς· (πρὸς Αἴαντα, ὅτε ἀνάγκη καλεῖ·) τοῦτο δὲ θυμώδους ἀνδρὸς καὶ πρὸς τὸ μὴ καταφρονηθῆναι, ἀγωνιζομένου. Σ. Β.

Σ. 310. Φρονέω τε] Γράφεται καὶ κρανέω, ἵν' ᾖ ἀντὶ τοῦ τελειώσω. Σ. Β.

Σ. 311. Τρύζητε] Ἔστι δὲ τρύζειν τὸ πολυλογεῖν ἢ πολυφωνεῖν. Ε. (ἴδ. Β, 314.). — Αὐθαδῶς ἐπισκώπτει τὴν ἐπιτέχνησιν τῶν λόγων Ὀδυσσέως. Καὶ Φοίνικα προανακόπτει, ὃν ὑποπτεύει παρακεκλῆσθαι ὑπὸ τοῦ Ἀγαμέμνονος. Σ. Β.

Σ. 312. Ἀΐδαο πύλησιν] Τῷ θανάτῳ, περιφραστικῶς. (Ὀδυσσ. Ξ, 156. Σ.).

Σ. 318. Μένοντι] Τὸ δὲ μένοντι πολὺν ἔχει νοῦν· δηλοῖ γὰρ καὶ ἡλικίαν ἄχρηστον, καὶ γεωργοὺς, καὶ βαναυσοεργοὺς, καὶ ὅλως πάντας ἀπολέμους· ἤδη δὲ εὐφήμως καὶ λειποτάκτας, καὶ ἄλλους δειλούς· οὗτοι γὰρ πάντες μένουσιν οὐ πολεμοῦντες· ὅτε δὲ ἐν τοῖς μένουσι τάττει καὶ τὸν βασιλέα, δηλοῖ ἐν οἷς προϊὼν ἐρεῖ, ὅτι ὁ Ἀτρείδης μένων παρὰ νηυσὶ παῦρα μὲν δασάσκετο, πολλὰ δ' ἔχεσκε. (στ. 333.). Ε.

Σ. 321. Περίκειται] Περισσὸν τῶν ἄλλων ἀπόκειται. Σ. Β.

Σ. 322. Παραβαλλόμενος] Τῆς ἐμῆς ψυχῆς ἐν τοῖς κιν-

НБ ОНУ імені І.І. Мечникова

δύνοις καταφρονῶν. Σ. — παραβάλλεσθαι δὲ τὸ παρατιθέναι καὶ παραῤῥίπτειν, ἐξ οὗ καὶ τὸ ἰδιωτικὸν παράβλημα. Ε.

Σ. 323. Ἀπτῆσι] Ἵπτασθαι μὴ δυναμένοις, μικροῖς. Σ.

Σ. 324. Μάσταχ] Μάσταξ δὲ νῦν μὲν τὸ μάσημα, ἤγουν ἡ μεμασημένη τροφή· (ἴδ. Ἀπολλών. σελ. 445.) ἐν Ὀδυσσείᾳ δὲ καὶ τὸ στόμα οὕτω λέγεται, ὡς αἴτιον μασήσεως· (Ὀδυσσ. Δ, 287.) Ε. — Εἰς τὸ ἐπιδεικτικὸν ἐρχόμενος διὰ τῆς κηδεμονίας, αὔξει τὴν ῥώμην, τοσοῦτον προὔχειν φάσκων Ἑλλήνων, ὅσον μήτηρ νεοσσῶν· εὖ δὲ τὸ μηδὲν τῶν τετραπόδων λαβεῖν εἰς τὴν τέκνου φιλοστοργίαν· ταῦτα γὰρ τρέφοντα τῷ γάλακτι, οὐδὲν ἧττον ὠφελεῖται τῶν τρεφομένων· (εἰ γὰρ μὴ ἀμελχθείη, ἀνιᾶται·) οὔθατα γάρ, φησι, σφαραγεῦντο· (Ὀδυσσ. Ι, 440.) ἡ δὲ ὄρνις τὴν ἑαυτῆς τροφὴν εἰς τοὺς νεοττοὺς ἀναλίσκει· ὅθεν καὶ πιθανοῖς ἐπήνεγκε τό, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ· εὖ δὲ καὶ τὸ ἀπτῆσιν· οἱ γὰρ πετόμενοι, κἂν ὀλίγον, προσπορίζονται· καὶ διὰ τὸ περιέναι, καὶ ληϊζόμενον πάντα φέρειν. Σ. — Κακῶς — πέλει] Ἵνα ἡ εὐεργεσία μὴ ἐξ ἀκινδύνου περιουσίας προσεῖναι δοκῇ. Σ. Β.

Σ. 326. Ἤματα δ' αἱματόεντα] Διὰ φόνον ἦν ὁ βίος, οὐ δι' ἐμὴν ἡδονήν. Οὐ γὰρ ἐγὼ Τρώων ἕνεκα ἦλθον, ἀλλὰ διὰ τὸ γύναιον Ἀγαμέμνονος· — διαπρήσσειν δὲ κυρίως μὲν ἐπὶ περάματος θαλάσσης· καταχρηστικῶς δὲ καὶ ἐπὶ γῆς· οἷον, διέπρησσον πεδίοιο. Ἐνταῦθα δὲ διαπρήσσειν λέγει τὸ ἁπλῶς διανύειν καὶ οἷον διεξοδεύειν. Ε.

Σ. 328. Σὺν νηυσί] Ἐντέχνως τὰς πράξεις ἐπάγει πίστιν τοῖς προειρημένοις. Σ. Β.

Σ. 332. Ὄπισθε μένων] Ἐμοῦ ἀποδημοῦντος· τὴν δειλίαν δὲ Ἀγαμέμνονος ἐμφαίνει τὸ ὄπισθεν. Σ. Β.

Σ. 333. Ἔχεσκεν] Τεχνικῶς ἐνδείκνυται, ὅτι καὶ τὰ νῦν αὐτῷ διδόμενα δῶρα μέρος ἐστὶν, ὧν Ἀγαμέμνων παρ' αὐτοῦ λαμβάνων ἀδίκως ἐσφετερίσατο. Σ. Β. — Ὅτι τὰ μὲν ἀριστεῦσι καὶ βασιλεῦσι διδόμενα δῶρα ἦν· τὰ δὲ εἰς τὸ κοινὸν, δασμός· διὸ δασάσκετο εἰπὼν, ἐπάγει· ἄλλα δὲ τοῖς προέχουσι ἐδίδου δῶρα· (Εὐστάθ. γέρα) ἴδ. Α, 167.

Σ. 335. Ἐμεῦ δ' ἀπὸ μούνου] Κακὰ τὰ μετὰ τὴν καταρίθμησιν τῶν κατορθωμάτων. Σ. Β.

Σ. 336. Ἄλοχον θυμαρέα] Ηὔξησε τὴν ὕβριν, ἄλοχον αὐτὴν εἰπὼν, καὶ θυμαρέα, ἤγουν ἀρέσκουσαν τῷ θυμῷ· (Ψ, 232.)

НБ ОНУ імені І.І.Мечникова

Ε. — Παριαύων] Οὐ συνιαύων διὰ τὸ βίαιον. Φησὶ γοῦν τὸ, δμωῇσι δὲ γυναιξὶ παρευνάζεσθαι ἀνάγκη. Σ. Β. (βιαίως Ὀδυσσ. Χ, 37.).

Σ. 337. Τί δὲ δεῖ πολεμιζέμεναι κ. τ. λ.] Πρακτικὸς ὁ λόγος, δεικνὺς τὸν Ἀγαμέμνονα ἢ ἀσύνετον, ἢ ἄδικον. Εἰ μὲν γὰρ μικρὸν ἡγεῖται τὸ ἀδικηθῆναι περὶ γυναῖκα, πολεμεῖν οὐκ ἔδει περὶ Ἑλένης, ἀσύνετος οὖν ἐστὶ περὶ μικρᾶς αἰτίας πολεμῶν. Εἰ δὲ χαλεπὸν καὶ μέγα, πῶς ἅπερ παθὼν ὑπ᾽ ἀλλοφύλων ἀγανακτεῖ, ταῦτα εἰς τοὺς φίλους ποιῶν οὐκ ἀδικεῖν νομίζει. Σ. Β.

Σ. 338. Ἀνήγαγεν] Ἰστέον δὲ ὅτι καὶ νῦν τὸ ἀνήγαγε λέξις ἐστὶ ναυτικὴ, καὶ δηλοῖ τὸ ἀναπλέειν πεποίηκε. Ε. — ὅτι οὕτως εἴωθε λέγειν ἀναγωγὴν καὶ ἀναπλοῦν τὸν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν πλοῦν, διὰ τὸ τὰ πρὸς ἄρκτον ὑψηλότερα εἶναι. Σ. Β.

Σ. 343. Ἐκ θυμοῦ] Ἀντὶ τοῦ ἐκ ψυχῆς μέσης, ὃ καὶ ἐκθύμως λέγεται. Τὸ μέν τοι ἀπὸ θυμοῦ ἐναντίον τούτῳ ἐςὶν, ἀντὶ τοῦ πόῤῥω ψυχῆς· ὡς τὸ ἀπὸ θυμοῦ ἐμοὶ ἔσσεαι (Α, 562.) Ε.

Σ. 345. Εὖ εἰδότος] Καλῶς ἐπισταμένου μου, ὅτι ἀπατέων ἐστί. Σ. Β.

Σ. 347. Φραζέσθω] Τοῦτο δὲ διὰ τὸ, παρ᾽ ἐμοί γε καὶ ἄλλοι (Α, 175.) Σ. Β.

Σ. 348. Ἦ μὲν δὴ μάλα κ. τ. λ.] Εἰρωνικὸς ὁ λόγος ὧν γὰρ καταφρονοῦμεν, ταῦτα αὔξομεν· ἔοικε δὲ τὴν βουλὴν Νέστορος εὐτελίζειν. Σ. Β.

Σ. 353. Οὐκ ἐθέλεσκε] Εὐφήμως καὶ κατὰ εἰρωνείαν δὲ εἴρηται, ἀντὶ τοῦ, οὐκ ἠδύνατο. Ε.

Σ. 354. Φηγόν] Δύο εἰσὶ φηγοὶ, ὑφ᾽ ᾗ μὲν, ἱερὸν Διὸς, ὑφ᾽ ᾗ δὲ Ἴλου τάφος. Σ. Β.

Σ. 356. Οὐκ ἐθέλω] Τινὲς εἰρωνικῶς, οὐ δύναμαι· διὰ τὸν Ἀγαμέμνονα. Σ. Β. — διὰ τὸν Ἀγαμέμνονος λόγον. Σ. Β.

Σ. 357. Αὔριον ἱρὰ Διὶ κ. τ. λ.] Ἵνα μὴ λάθρα δοκῇ ὑποχωρεῖν, προλέγει αὐτοῖς, καὶ τῶν ἐλπίδων ἀποτειχίζει πασῶν. Σ. Β.

Σ. 360. Ἦρι μάλ᾽ κ. τ. λ.] Πιθανῶς προσέθηκε καὶ τοῦτο, ἵνα ἀπελπίσωσι καὶ τὴν παρὰ τῶν Μυρμιδόνων ἐπικουρίαν, ὡς συναχθομένων αὐτῶν τῇ ἀτιμίᾳ. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 364. Ἔστι δέ μοι μάλα πολλά] Ἀντίθεσιν ποιεῖται τῶν δώρων Ἀγαμέμνονος, ὅτι μοί φησιν, οὐ χρεία αὐτῶν, ἔχοντι πολλά· τοῦτο μὲν, τὰ τοῦ Πηλέως· τοῦτο δὲ, ἅπερ ἐκ τῶν Τρωϊκῶν λαφύρων ἐδέξατο. — Ὅτι τὸ ἔῤῥων οὐ λέγει ψιλῶς παραγινόμενος, ἀλλὰ δυσαρεστῶν τῇ παρουσίᾳ φησὶν, ἐνθάδε μετὰ φθορᾶς παραγινόμενος. Σ. Β.

Σ. 365. Ἄλλον δ' ἐνθένδε χρυσὸν κ. τ. λ.] Ταῦτα ἀντιτίθησι πρὸς τὸ, νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω, καὶ πρὸς τὸ, Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν. Σ. Β.

Σ. 366. Πολιόν] Λαμπρόν· ὀξυνθεὶς γὰρ ὁ σίδηρος, λευκότερος γίνεται. Σ. (ἴδ. Ψ, 261.).

Σ. 369. Ἀγορευέμεν] Πιθανῶς, ἵνα μὴ τὸν Ἀγαμέμνονα εὐφράνωσιν ἀφελόντες τὶ τῶν τραχυτέρων (ἴσ. τραχύτερον. Σ. Β.) εἰρημένων, αὐτὸν δὲ ταπεινὸν ἀποφήνωσι πρᾳότερον τῆς ἀπειλῆς ἀποπρεσβεύσαντες. Ἔστι δὲ καὶ χαρακτηριστικὸν τῶν ὀργιζομένων τὸ ἀξιοῦν αὐτὰς τὰς φωνὰς τοῖς ἐχθροῖς διακομίζειν, καὶ τὸ ἐπὶ πολλῶν ταῦτα λέγειν· οὐ γὰρ μόνον τὸ κακόν τι τὸν ἐχθρὸν εἰπεῖν τοῖς ὀργιζομένοις ἡδὺ, ἀλλὰ καὶ τὸ παρόντων πολλῶν μαρτύρων. Ἴσως δὲ καὶ τῆς παρὰ τοῖς Ἕλλησιν αἰτίας ἀπολυθῆναι θέλει, ἵνα μὴ αὐτῷ δυσχεραίνωσι τὴν συμμαχίαν ἐγκαταλιπόντι, ἀλλὰ τῷ τὸν ἄριστον τῶν Δαναῶν ἀτιμήσαντι. Ἅμα δὲ καὶ ὡς δίκαια λέγων, ἐπὶ πλειόνων αὐτὰ βούλεται ἐξετάζεσθαι. Σ. Β. — Ἀμφαδόν] Ἤγουν φανερῶς καὶ ἐν ἐπηκόῳ. Ε.

Σ. 370. Ἐπισκύζωνται] Ὀργίζωνται. Σ.

Σ. 371. Ἐξαπατήσειν] Εἴγε οἴεται περὶ ἐμοῦ λέγων ἀπατήσειν τοὺς Ἀχαιούς· ἐμὲ γὰρ οὐ πείθειν, ἀλλ' οὐδὲ ὁρᾷν, διὰ τὴν συνείδησιν τῶν μεγίστων ἀδικημάτων ἐκείνων δυνήσεται. Σ. Β.

Σ. 374. Συμφράσσομαι] Ἐμφατικώτεροι γίνονται οἱ λόγοι θᾶττον δὴ κοπτόμενοι· ἐν γοῦν τέτρασι στίχοις ὀκτὼ εἰσὶ αὐτοτελεῖς στιγμαὶ, ἀπὸ τοῦ, ἐκ γὰρ δή μ' ἀπάτησε καὶ ἤλιτεν, ἕως τοῦ, ἐν καιρὸς αἴσῃ. Σ. Β.

Σ. 376. Ἐξαπάφοιτο] Ἐστὶ δὲ κυρίως ἀπάφεσθαι τὸ δι' ἀφῆς ἀπατᾶσθαι. Ε. — Ἀπὸ τῶν ταῖς ἀφαῖς φιλοφρονουμένων· εὐηθείας γάρ ἐστι τὸ ἅπαξ ἀπατηθῆναι ὑπὸ φίλου, τὸ δὲ δὶς, μωρίας. Σ. Β. — Ἐξαπατήσοι. Σ.

Σ. 377. Ἐῤῥέτω] Ἱκανὴν οἴεται τιμωρίαν παρὰ τοῦ ἐχθροῦ

λαμβάνειν τὸ ἀπαλλάσσεσθαι τῆς φιλίας αὐτοῦ, ὡς εἰώθαμεν λέγειν, ἑαυτὸν ἐχέτω. Σ. Β.

Σ. 378. Δῶρα] Πρὸς τὸ β' κεφάλαιον, τὴν παραίνεσιν τὴν τοῦ Πηλέως, οὐδὲν ἀντειπεῖν ἔχων, παρῆλθεν αὐτό. Σ. Β. — Ἐν καρὸς αἴσῃ] Ἐν μοίρᾳ θανάτου, ὡς θάνατον, περιφραστικῶς· τινὲς μετατρέπουσι τὸ α εἰς η, ἵν' ᾖ, κατὰ κηρὸς, ἀκούοντες κατὰ θανάτου· ἢ ὡς ἔνιοι, ἐν τάξει μισθοφόρου· πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ, καὶ ἔδοξαν εἶναι ἀτιμότατοι. Σ. — Ὅμοιόν ἐστι τῷ· Ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ (Γ, 454.) Σ. Β.— ὅτι συνέσταλται Ἰακῶς ἐν καρὸς, ἀντὶ τοῦ, ἐν κηρός. Σ. Β.

Σ. 379. Οὐδ' εἴ μοι δεκάκις] Πλείσταις, ὑπερβολαῖς λόγων εἰώθασιν οἱ ὀργιζόμενοι χρῆσθαι. Σ. Β.

Σ. 381. Ἐς Ὀρχομενόν] Τὸν τῆς Βοιωτίας φησί· (ἴδ. Β, 511.) — πολλὰ δὲ καὶ ταῖς Χάρισι ταῖς αὐτόθι τιμωμέναις δῶρα πέμπεται. — Δύο πόλεις συνήγαγεν ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κομώσας πλούτῳ. Σ. Β. (ἴδ. Πίνδ. Ὀλυμπ. ΙΔ.). — Προτινίσσεται] Προσοδεύεται, προσέρχεται, ὅ ἐστιν ἀνάκειται. Σ.

Σ. 383. Αἵ θ' ἑκατόμπυλοί εἰσι] Ὅτι μέγεθος πόλεως δηλοῖ, καὶ δυνάμεως μέγεθος, οὐκέτι δὲ πυλῶν· ἦν δὲ τὸ παλαιὸν Αἰγύπτου βασίλεια, καὶ πολλοὺς εἰς αὐτὴν ἀνῆγον φόρους Αἰγύπτιοι, Λίβυες, Αἰθίοπες καὶ ἄλλα ἔθνη· νῦν δὲ Διόςπολις καλοῦνται αἱ τὸ παλαιὸν Θῆβαι· — ταύτην ἐτείχισε βασιλεὺς Ὄσιρις· — Θῆβαι δὲ ὀνομάζονται ὑπὸ Ἑλλήνων, ἀπὸ Θήβης τῆς Νείλου θυγατρός· οἱ δὲ Ἐπάφου εἶπον αὐτήν· οἱ δὲ Πρωτέως τοῦ Ποσειδῶνος· οἱ δὲ Λίβυος τοῦ Ἠπείρου. Σ. Β.

Σ. 385. Ψάμαθός τε] Οὐδὲ ἐπὶ τοῖς προειρημένοις ἔστησε τὸ τίμημα τῆς ὕβρεως. Καλῶς δὲ ἀμφοτέρας ἐμπεριέλαβε τῷ λόγῳ· τήν τε ἐφάλιον καὶ τὴν πεδιάδα. Σ. Β. (ἴδ. Ἀριστοτ. Γ', 12.).

Σ. 386. Οὐδέ κεν ὧς ἔτι] Ἤγουν οὐδ' ἂν οὕτω. Ε.

Σ. 387. Λώβην] Ὕβριν. Σ. — Ἀποδοῦναι λώβην] Ἤτοι ἀντιλωβηθῆναι. Ε.

Σ. 389. Οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κ. τ. λ.] Μεγίστῃ χρῆται τῇ ὑπερβολῇ· δύο δὲ οἶδεν ἀρετὰς γυναικὸς, κάλλος καὶ ἔργα φρονήσεως· ἀνδρὸς δὲ, μύθων τε ῥητῆρ' εἶναι, πρηκτῆρά τε ἔργων· (στ. 443.) Σ. Β.

Σ. 394. Γαμέσσεται] Πρὸς γάμον λήψεται. Σ. — Τὸ δὲ

НБОНУ імені І.І. Мечникова

γαμέσσεται, πᾶσαι εἶχον, μάσσεται, ἀντὶ τοῦ ζητήσει. Σ. Β. — Ἀρίσταρχος, γυναῖκά γε μάσσεται. Σ. Β.

Σ. 395. Ἑλλάδα τε Φθίην τε] Ἴδ. Α, 2. καὶ Β, 684.

Σ. 396. Ῥύονται] Φυλάττουσι, σώζουσι. Σ.

Σ. 397. Ἥν κ' ἐθέλοιμι] Τοῦτό φησιν ὡς πολλῶν ἐπιδικασομένων γαμβρεύσειν αὐτῷ διὰ τὴν ἀρετήν. Σ. Β.

Σ. 398. Ἐπέσσυτο] Ἐφορμᾶν θέλει. Σ.

Σ. 399. Μνηστήν] Εἰς μνηστείαν δοθεῖσαν, νόμιμον. Σ. — Εἰκυῖαν] Ἐμοὶ πρέπουσαν γαμετήν. Σ.

Σ. 401. Ψυχῆς ἀντάξιον] Ἐμφαίνει τι τοῖς παροῦσιν, εἴ γε δώρων προήσεται τὴν ψυχήν, αὐτῶν δῶρα διδόντων ὑπὲρ σωτηρίας τῆς ψυχῆς ἑαυτῶν, καὶ ὅτι πρώην καταφρόνει αὐτῆς, ἀχαρίστῳ χαριζόμενος ἀνδρί· ὅτι δὲ οὐ φιλοψυχεῖ, πρὸς τὴν μητέρα φησὶν, αὐτίκα τεθναίην (Σ, 98.) Σ. Β.

Σ. 404. Ἀφήτορος] Ἀφήτωρ δὲ Ἀπόλλων, ἢ ὁ τοξότης ἐκ τοῦ ἀφίημι ἀφήσω, ἐξ οὗ καὶ ἧμων, ὁ ἀκοντιστής, ἢ ἐκ τοῦ α, ὃ δηλοῖ τὸ ὁμοῦ, καὶ τοῦ φῶ, τὸ λέγω, οἱονεὶ ὁμοφήτωρ, ὁ πᾶσι διδοὺς τὰς ὀμφάς· ἐν δὲ τοῖς τοῦ Γεωγράφου φέρεται (Θ', σελ. 290, 12. ἴδ. καὶ Διόδωρ. Ις', 56.), ὅτι ἀφήτορά τινες δέχονται θησαυρόν· ὅθεν ἀφήτορος οὐδὲν τὸν κατὰ γῆς θησαυρὸν, ὡς ἐν τῷ ναῷ κατορωρυγμένου πλούτου. Καὶ δοκεῖ κατὰ τὸν τοιοῦτον λόγον γλώσσης τινὸς εἶναι τὴν τοιαύτην λέξιν. Ὁ δ' αὐτός φησι Ὀνόμαρχον ἐπιχειρῆσαι ἀνασκάπτειν νύκτωρ τὸν ῥηθέντα πλοῦτον, σεισμῶν δὲ γενομένων μεγάλων, ἔξω φυγεῖν, καὶ παύσασθαι τῆς ἀνασκαφῆς. Ε. — Πυθοῖ] Πυθώ, πόλις Φωκίδος· ἧς οἱ οἰκήτορες Δελφοί. Σ.

Σ. 406. Ληϊστοί] Ἔστι δὲ παθητικῆς μὲν διαθέσεως ὁ ληϊστὸς, ἐνεργητικῆς δὲ ὁ ληϊστὴρ καὶ ὁ ληϊστὴς, καὶ ἐν συναιρέσει, ληστής Ε. (ἴδ. Σουΐδ. λεία.).

Σ. 408. Ληϊστή] Ἔστι δὲ λεϊστὴ μὲν, ἡ ἀκουσίως ἑλκομένη· ἑλετὴ δὲ, ἑκουσίως ἐπανερχομένη. Ε.

Σ. 417. Παραμυθησαίμην] Παραμυθήσασθαι τὸ παρηγορῆσαι καὶ παραινέσαι λέγει Ἀχιλλεύς. Ε. — Τοσοῦτον ἀπέχει πειθοῦς. Τεχνικῶς δὲ καὶ τοὺς ἄλλους ἀφίστησι, τὸ ἀδύνατον τῆς ἁλώσεως προβαλλόμενος. Σ. Β.

Σ. 418. Δήετε] Ὃ ἐστιν εὑρήσεται τέκμωρ Ἰλίου· τέκμωρ εἰπὼν, τὸ ἐν Ἀχαιοῖς σκοπιμώτατον τέλος, τὴν ἅλωσιν. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 420. Χεῖρα ἑὴν ὑπερέσχε] Ὑπερασπίζει· ἐν χερσὶ γὰρ αἱ ἀσπίδες. Μεγάλη ἡ φαντασία, ὡς οὐ μόνον συλλαμβάνοντος τοῦ Διὸς, ἀλλὰ καὶ τὴν χεῖρα ὑπερέχοντος. Σ. Β. (ἴδ. Δ, 249).

Σ. 421. Ἀριστήεσσιν — ἀπόφασθε] Ἔνθα καὶ ὅρα, ὅτι οὐκ εἶπεν, ἀπόφασθε τῷ βασιλεῖ, ἀλλὰ τοῖς τῶν Ἀχαιῶν ἀριστεῦσιν, ἢ διότι ὀκνεῖ ὅλως ὀνομάζειν ἐκεῖνον, ἢ καὶ ἵνα τοὺς ἀριστέας ἐπεγείρῃ τῷ βασιλεῖ, ἀκούσαντες, ὡς δι' αὐτὸν κινδυνεύουσι καὶ αὐτοὶ, ὅπερ ἀνεκάλυψε φθάσας ὁ Ἀχιλλεύς. (στ. 369. 70.). Ε.

Σ. 422. Γέρας ἐστὶ γερόντων] Τὸ τὰ ἀγγελθέντα δηλαδὴ μηνύειν. Ε.

Σ. 425. Ἑτοίμη] Εὔληπτος, φανερά· λέγει δὲ τοῦτο ὅτι ματαία ἐστὶν αὕτη ἡ γνώμη, ἣν ἐποίησαν οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις, ὡς δυναμένους με πεῖσαι. Σ. Β. — Ἀπομηνίσαντος] Ὅτι καὶ ἐνταῦθα ἐν τῷ, ἐμεῦ ἀπομηνίσαντος πλεονάζει ἡ ἀπὸ πρόθεσις, ὥσπερ καὶ ἡ κατὰ πρόθεσις εὐθὺς ἐν τῷ, Φοῖνιξ. — Κατακοιμηθήτω] Εὕρηται δὲ καὶ ἐπὶ τοῦ ἀποθέσθαι μῆνιν καὶ πραϋνθῆναι, καὶ οὕτως ἀπὸ μήνιδος γενέσθαι, πρὸς ὁμοιότητα τοῦ, ἀπόμαχος γέρων. Ε. — Σφόδρα ὀργισθέντος. Σ.

Σ. 431. Κρατερῶς] Τὸ δὲ κρατερῶς ὅμοιον τῷ ἀπηλεγέως, ὃ ἐν προοιμίοις (στ. 309) εἴρηκεν ὁ Ἀχιλλεύς. — Ὅτι στρυφνοτέρα μὲν ἡ ῥηθεῖσα τοῦ Ὀδυσσέως δημηγορία καὶ σεμνοτέρα, καὶ τὸ ὅλον εἰπεῖν, πρέπουσα πρέσβει βασιλικῷ· ἡ δὲ ἐφεξῆς τοῦ Φοίνικος πειστικωτέρα, ὡς οἰκείου, καί πως ἐλέου ἔοικεν εἰσβολῇ ἐπὶ προϋπαρξάσῃ ἑτέρᾳ πρεσβείᾳ. Δακρύοις οὖν ὁ γέρων κιρνᾷ τὸ προοίμιον, παῤῥησιάζεταί τε ἐπὶ πλέον, καὶ ἐντρέπει, ὀνειδίζων· καὶ ἀφελῶς δὲ λαλεῖ, τῆς βρεφικῆς τοῦ Ἀχιλλέως μεμνημένος ἡλικίας· ἔτι δὲ καὶ ἱστορικήν τινα ὁμοιότητα παραφέρει· καὶ ὅλως, πολυειδῶς ποικίλλεται πρὸς πλείω πιθανότητα· — οὐχ ὅτι ῥητορικώτερος Ὀδυσσέως ἐστίν, ἀλλ' ὅτι οὐδὲν τῶν τοιούτων ἔπρεπε τῷ Ὀδυσσεῖ, ἀλλ' αὐτῷ, καὶ μόνῳ οἷα καὶ διδασκάλῳ τοῦ Ἀχιλλέως, καὶ πατρὶ κατὰ θέσιν. Ε. (ἴδ. Διονύσ. Ἀλικαρν. κεφ. Η, 11. καὶ Θ, 14).

Σ. 432. Ὀψὲ δὲ δὴ μετέειπεν] Φρονίμως τὸ μὴ εὐθέως τοῖς Ὀδυσσέως λόγοις τοὺς ἑαυτοῦ ἐπιβάλλειν, ἀλλ' ἀντειπεῖν πρῶτον ἐᾶσαι τὸν Ἀχιλλέα καὶ ἐκχέαι τὸν θυμόν. Ἀλλ' οὐδὲ παυσαμένου Ἀχιλλέως εὐθὺς ἄρχεται, οὐδὲ ἀρξάμενος εὐθὺς τὴν

συμβουλὴν προσάγει, ἀλλὰ δακρύσας προσοχὴν καὶ ἔλεον ἐπισπᾶται· οἴκτῳ γὰρ τὸ πλέον ἀγωνίζεται καὶ διηγήμασιν οἰκείων ἀτυχημάτων. Τὸν δὲ λόγον οὐκ ἐπὶ ἱκετείαν ἀνάγει, ἀλλ' ἐπὶ τὸ συμφέρον Ἀχιλλεῖ. Τὸ ὀψὲ δὲ, ὡς πάντων ἀπορησάντων ἀντειπεῖν. Σ. Β.

Σ. 433. Ἀναπρήσας] Ἀναφυσήσας, ἢ ἀθρόον ἀναβαλών. Σ. (ἴδ. Α, 481.).

Σ. 434. Εἰ μὲν δὴ νόστον γε] Καὶ οὗτος ἀπὸ τοῦ καιροῦ τὸ προοίμιον δέχεται· οὐ γὰρ ὡς συμβουλεύσων παρελήλυθεν, ἀλλ' ὡς διδοὺς ἀπόκρισιν πρὸς τὸ — Φοῖνιξ δ' αὖθι παρ' ἄμμι (στ. 427.). — Τὸ δὲ, εἰ μὲν δὴ, ὡς παραδέξου τῆς κρίσεως (ἀνάγνωθ. ἀποκρίσεως) οὔσης· προσεδόκων γὰρ ὡς παρακληθεὶς μενεῖς. Σ. Β.

Σ. 435. Νηυσί] Τὸ ἀνεπίφθονον τῶν ὀνομάτων καὶ τὸ ἔσχατον τῶν κινδύνων ἐδήλωσεν, τὸ τοῦ Ἀγαμέμνονος πρόσωπον σιωπήσας, ὡς καὶ Ὀδυσσεύς. Σ. Β. — Ἀΐδηλον] Ἴδ. Ε, 880.

Σ. 436. Χόλος ἔμπεσε] Δείκνυσιν, ὅτι διὰ θυμὸν οὐ κρατεῖ τοῦ δικαίου, οὗ δεῖ τὸν πεπαιδευμένον κρατεῖν. Σ. Β.

Σ. 437. Πῶς ἂν — λιποίμην] Ὅτι εἰρωνεύεται κατὰ ἤθους βαρύτητα, ἐν οἷς φησι· πῶς ἂν ἀπολιποίμην σοῦ, τὸν γὰρ Ἀχιλλέα μᾶλλον ἐχρῆν εἰπεῖν, πῶς ἂν σοῦ λιποίμην, ᾧ με συνέστησεν ὁ πατήρ· οὐ γὰρ κελεύειν ἐχρῆν, ἀλλὰ κελεύεσθαι ὑπὸ τοῦ διδασκάλου· οὐδὲ ἡγεῖσθαι τοῦ ἀπόπλου, ἀλλ' ἕπεσθαι. Ε.

Σ. 438. Σοὶ δέ μ' ἔπεμπε] Ἔδει εἰπεῖν διδάσκαλον, ἀλλ' ἵνα μὴ ἀγριάνῃ ὡς διδασκάλου δεόμενος, σιωπᾷ. Τῇ δὲ νεότητι προσῆψε τὴν διδασκαλίαν. Σοὶ δέ μ' ἔπεμπεν· ὡς ὀπάων οὖν οὐκ ὀφείλω ἀπολείπεσθαι. Διὰ τούτου δὲ δυσωπεῖ αὐτόν· τὸν γὰρ διδάσκαλον δεῖ κελεύειν. Σ. Β.

Σ. 440. Νήπιον] Φασὶ γάρ τινες, νεώτατον τὸν Ἀχιλλέα εἰς τὸν Τρωϊκὸν ἐλθεῖν πόλεμον, ὡσεὶ δώδεκα ὄντα ἐτῶν. Ε. — Ὁμοιΐου] Τοῦ ὁμοίως πᾶσι χαλεποῦ. Σ. (ἴδ. Δ, 315).

Σ. 441. Ἀριπρεπέες] Διαπρέποντες ἔκδηλοι. Σ.

Σ. 443. Πρηκτῆρά τε ἔργων] Δείκνυσιν, ὅτι διδακτὸν ἡ ἀρετή· — τί παρὰ Χείρωνι δεδίδακται; δηλονότι δικαιοσύνην καὶ ἰατρικήν. Σ. Β.

Σ. 446. Γῆρας ἀποξύσας] Καὶ ὅρα τὸ ἀποξύσας προσφυῶς ῥηθὲν τῇ τοῦ γεροντικοῦ δέρματος παχύτητι (ἀνάγνωθ. τρα-

НБ ОНУ імені І.І.Мечникова

χύτητι Β.). — Ξύεται γὰρ τὸ τραχὺ, ὡς ἂν εὐθετισθῇ πρὸς λειότητα. Ε. — Γῆρας] Τὸ μάλιστα νῦν μοι ἐνοχλοῦν. Σ. Β.

Σ. 447. Ἑλλάδα] Ὅτι πάλιν τὴν Θετταλικὴν πόλιν οὕτως εἶπεν. Σ. Β. — Μυθολόγοι οἱ γέροντες, καὶ παραδείγμασι παραμυθούμενοι· ἄλλως τε ψυχαγωγεῖ τὴν ὀργὴν ὁ μῦθος· εἰπεῖν δὲ θέλει τὰς εὐεργεσίας Πηλέως, εἴπως πείσειεν, ὡς εὔνους τῷ οἴκῳ. Σ. Β.

Σ. 448. Ὀρμενίδαο] Ὁ δὲ Γεωγράφος (Θ, σελ. 302, 18.) ἐκ τοῦ Θετταλικοῦ Ὀρμενίου, τοῦ ἐν τῇ Βοιωτίᾳ γραφέντος (Β, 734.)· ἱστορεῖ δοκεῖν τισι τὸν Φοίνικα φυγεῖν εἰς Φθίαν· διό φησι, τινὲς ἀντὶ τοῦ, οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα, γράφουσιν, οἷον ὅτε πρῶτον λίπον Ὀρμένιον πολύμηλον· φασὶ γὰρ, τὸ χωρίον ὑπὸ Ὀρμένου κτισθῆναι υἱοῦ Κερκάφου, παιδὸς Αἰόλου· Ὀρμένου δὲ γενέσθαι Ἀμύντορα· οὗ Φοῖνιξ, καὶ Εὐαίμων· οὗ Εὐρύπυλος· ὅθεν φυλαχθῆναι τὴν διαδοχὴν Εὐρυπύλῳ, ὡς ἀπελθόντος τοῦ Φοίνικος. Τινὲς δέ φησι, Φωκέα ποιοῦσι τὸν Φοίνικα, νοοῦντες τὸν ἐν Ἐλεῶνι Ὀρμενίδην Ἀμύντορα, οὗ τὸν δόμον Αὐτόλυκος ἀντετόρησε, πατέρα τοῦ Φοίνικος ὄντα ἐξ Ἐλεῶνος τῆς περὶ Παρνασόν. Ε. — Φοῖνιξ, ὁ Ἀμύντορος, ἐξέπεσε τῆς οἰκείας γῆς, δι' αἰτίαν τοιαύτην. Τοῦ πατρὸς αὐτοῦ παλλακίδα μὲν ὀνόματι Κλυτίαν ἀγαπῶντος, Ἱπποδάμειαν δὲ, ἐξ ἧς, τὸν Φοίνικα ἔτεκε, στυγοῦντος, δεηθείσης τῆς μητρὸς, τῇ παλλακίδι τοῦ πατρὸς Κλυτίᾳ ἐμίγη. Γνοὺς δὲ ὁ Ἀμύντωρ ἐπηράσατο τῷ παιδὶ τέκνων ἀγονίαν (δυστυχίαν περὶ τέκνων γονήν. Σ.). Δείσας δὲ Φοῖνιξ τόν τε πατέρα, καὶ τὰς ὑπ' αὐτοῦ γενομένας ἀρὰς, φεύγει πρὸς Πηλέα, ὅστις ὑποδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν, δίδωσιν αὐτῷ τὴν Δολόπειαν χῶραν, καὶ Ἀχιλλέα, τὸν υἱὸν μικρὸν ὄντα εἰς ἀνατροφὴν παραδίδωσιν· ἡ ἱστορία παρὰ τῷ Ποιητῇ· παρὰ γὰρ τοῖς Τραγικοῖς παραλλάσσει. Σ. Β. — Οἰκείως ταῦτα πρὸς τὸν ἕνεκα Βρισηίδος χαλεπαίνοντα· ὅτι συγγνωστέος ἁμαρτήσας περὶ κόρην Ἀγαμέμνων, εἰ καὶ αὐτὸς συγγνώμης ἠξίωται παρὰ Πηλέως. Σ. Β.

Σ. 451. Λισσέσκετο γούνων] Τὸ δὲ λισσ. γούνων ἔλλειψιν ἔχει ἢ προθέσεως, ἵνα ᾖ λίσσετο ὑπὲρ γούνων, ἢ διὰ γούνων ἢ μάλιστα μετοχῆς, ἵνα λέγῃ, ὅτι ἐλίσσετο ἁπτομένη γονάτων. Ε.

Σ. 452. προμιγῆναι] Οὐ τῆς ἤδη μιγείσης (τῷ πατρὶ), ἀλλὰ τῆς εἰς τοῦτο τρεφομένης· φησὶ γοῦν προμιγῆναι. Τοῦτο οὖν ἐποίησεν εἰς ὁμόνοιαν τῶν γονέων. Σ. Β. — Ἐχθήρειε γέροντα] Τινὲς γέροντι γράφουσιν, ἵνα μισηθῇ τῷ γέροντι. Σ. Β.

Σ. 453. Πιθόμην] Ἀριστόδημος ὁ Νυσαεὺς, ῥήτωρ τε ἀλλὰ καὶ Γραμματικὸς, φεύγων τὸ ἔγκλημα, ἐπενόησε γραφὴν τὴν, τῇ οὐ πιθόμην, οὐδὲ ἔρεξα· καὶ οὐ μόνον γε ηὐδοκίμησεν, ἀλλὰ καὶ ἐτιμήθη, ὡς εὐσεβῆ τηρήσας τὸν ἥρωα· πρὸ δὲ αὐτοῦ Σωσιφάνης (Σωσιγένης) τὴν τοιαύτην εὗρε γραφήν· καὶ Εὐριπίδης δὲ ἀναμάρτητον εἰσάγει τὸν ἥρωα ἐν τῷ Φοίνικι· ταῦτα ἱστορεῖ Ἁρποκρατίων, ὁ Δίου διδάσκαλος· — ἐν ἤθει δεῖ ἀναγινώσκειν, ὡς μετανοοῦντος αὐτοῦ· διὸ καὶ ἐμπεπίστευται Ἀχιλλέα· ὁ γάρ τι πταίσας, πάντως καὶ φυλάττεται. Σ. Β. — Ἄριστον δὲ τὸ τῆς μητρὸς ἐπεισόδιον· ἔοικε γὰρ λέγειν ὁ Φοῖνιξ, ὅτι οὐδὲ ἐμοὶ τότε συνήνεγκε πεισθέντι τῇ μητρί· οὔκουν οὐδὲ σὲ ὀνήσει μήτηρ ἡ Θέτις, συμβουλεύσασα τῆς τῶν Ἑλλήνων ἀποσχέσθαι συμμαχίας, καὶ εἰποῦσα, ἀλλὰ σὺ μὲν μήνιε καὶ τὰ ἑξῆς (Α, 422.) Ε.

Σ. 454. Ἐρινῦς] Δαιμόνια δὲ τιμωρητικὰ αἱ Ἐριννύες, μάλιστα μὲν ἐκδικοῦσαι τὰ εἰς γονεῖς ἁμαρτήματα, δοκοῦσαι δὲ καὶ λοιποῖς ἐπεξιέναι ἀδικήμασιν· — ὅτι δὲ πτερωταὶ πλάττονται διὰ τὸ κατ' ἀλληγορίαν πάνυ ταχὺ τῆς θεόθεν δίκης καὶ ἄφυκτον· — καὶ ὅτι μέλαιναι διὰ τὸ ἀφανῶς ἐπιέναι τοῖς κακοῖς, καὶ ὅτι τανύποδες, διὰ τὸ οἷον μακροσκελὲς καὶ οὕτω πλατὺ τῆς διαβάσεως καὶ ταχὺ καὶ ἐκκίνητον (ἀνάγν. εὐκίνητον)· — καὶ ὅσαι ἄλλαι τούτων ἐτυμολογίαι, ζητητέον ἐν τοῖς παλαιοῖς, παρ' οἷς καὶ ἀεὶ παρθένοι λογοποιοῦνται· — καὶ μνήμονες αἱ αὐταί· — καὶ σεμναὶ, καὶ δειναὶ καὶ δεινῶπες καὶ ἔμφοβοι, ἔστι δὲ καὶ ποίνιμοι, διὰ τὸ κατ' αὐτὰς φοβερόν· εἰ δὲ καὶ Εὐμενίδες ἀττικῶς· — ἀλλὰ τοῦτο ἀντίφρασις εὐφημιστικὴ ἐκθυομένη τὴν κατὰ τὰς Ἐριννῦς φρίκην· (ἴδ. Εὐμενίδες εἰς τὸν Σοφοκλ. Οἰδιπ. ἐπὶ Κολον.) αἳ καὶ χαλκόποδες λέγονται, διὰ τὸ ἀκάματον, ἔτι δὲ καὶ βαρὺ τῆς ἐπεμβάσεως· καὶ μετάδρομοι κακῶν ἔργων· ἔτι δὲ καὶ λωβητῆρες ὑστεροφθόροι (ἴδ. Σοφοκλ. Ἀντιγ. στ. 1074.), ὡς μετὰ τὸ πραχθῆναί τι κακὸν, ἐπάγουσαι λώβην αὐταί· καὶ ἄφυκτοι δὲ κύνες, διὰ τὸ οἷον ἰχνηλατεῖν, εἶτα καὶ δάκνειν τοὺς κακούργους· καὶ ἄοιναι δὲ, διὰ τὸ ἀσφάλιον καὶ ἀνύστακτον ἐπὶ τοῖς ἁμαρτάνουσι, καὶ μάλιστα

НБ ОНУ імені І.І.Мечникова

τοῖς φονεύουσι· διὸ καὶ μίαν τούτων Τισιφόνην καλοῦσι, ἐπεὶ δίκας αὐτῇ τίνουσιν οἱ φονεῖς. Ε.

Σ. 457. Ἐπαινή] Ἡ αἰνή, τουτέστι δεινή· πλεονάζει γὰρ ἡ πρόθεσις. Ε.—Πῶς ὁ μὲν εὔχεται ταῖς Ἐριννῦσι, τὰς δὲ εὐχὰς αὐτῷ ἐκτελεῖ Αΐδης καὶ Περσεφόνη; ὅτι αὐτοκράτορες τῶν τιμωριῶν ὄντες τὴν τοῦ κολάζειν ἐξουσίαν τοῖς ἄλλοις δαίμοσι παρέχονται. Σ. Β.

Σ. 564. Ἔται] Ἑταῖροι, πολῖται. — Ἀνεψιοί] Ἀδελφῶν υἱοί, ὡς Ἀχιλλεὺς καὶ Αἴας· ἀδελφιδοὶ δὲ, οἱ ἀδελφῶν παῖδες, ὡς Ὀρέστης Μενελάου. Σ.

Σ. 468. Εὑόμενοι] Φλογιζόμενοι, ὀπτώμενοι. Σ.

Σ. 471. Ἀμειβόμενοι] Ἐξ ἀμοιβῆς φυλάσσοντες, ὅ ἐστιν ἐκ διαδοχῆς. Σ.

Σ. 472. Πῦρ ἕτερον] Ἄλλο παρὰ τὸ τοῦ θαλάμου, ὅπου αὐτὸς ἦν· τρίτον δὲ τὸ ἐν τῇ στοᾷ καιόμενον. Σ. Β.—Ὑπ' αἰθούσῃ] Τὸ δὲ ὑπ' αἰθούσῃ δοκεῖ ταὐτὸν εἶναι τῷ ἐν αἰθούσῃ. Αἴθουσα δὲ στοὰ περίστυλος ἡλίῳ αἰθομένη, ὅ ἐστι λαμπομένη· ἧς τὸ μὲν ἐνδοτέρω, πρόδομος· τὸ δὲ ἐνδοτάτω, θάλαμος· — κατὰ δὲ τοὺς ἀκριβεστέρους ἡ τάξις οὕτως· ἕρκος, περὶ ὃ πύλαι· μετὰ δὲ τὸ ἕρκιον, αὐλὴ, μεθ' ἣν αἴθουσα· εἶτα πρόδομος, δόμος καὶ θάλαμος. Ε.

Σ. 476. Καὶ ὑπέρθορον] Τὸ ὑπέρθορον συναπτέον τῷ ῥεῖα· λαθεῖν γὰρ ῥαδίως ἀδύνατον ἦν, οὕτω φυλαττόμενον. Ῥεῖα δὲ διὰ τὴν νεότητα. Σ. Β.

Σ. 480. Πρόῤῥων ὑπέδεκτο] Ἐν δὲ τούτοις ὅρα δεινότητα ῥήτορος, ὃς μονονουχὶ λέγει, ὡς ἄτοπον, ἐὰν, ὃν ἔτι νέον ὄντα ὁ Πηλεὺς ᾐδέσθη, τοῦτον ὁ μαθητὴς Ἀχιλλεὺς ἐν τοιαύτῃ πολιᾷ παρ' οὐδὲν θήσει. Ε.

Σ. 484. Δολόπεσσιν] Δόλοπες δὲ ἔθνος Θετταλικὸν ἐν ἐσχατιᾷ τῆς Φθίας. Καὶ οὗτοι μὲν Δόλοπες ἀπό τινος ἐθνάρχου Δόλοπος. Δολίονες μέν τοι οἱ περὶ Κύζικον· ὧν καὶ ὁ Γεωγράφος μεμνημένος, Δόλοπας μὲν περί που τὴν Δωδώνην τοῖς Σελλοῖς φησι συγκεῖσθαι· λέγων, ὡς εἰ καὶ μὴ ἔχει Βοιωτία Δόλοπας, ἀλλ' ἄτοπον, τοὺς ὑπηκόους τῷ Φοίνικι μὴ συμπαρεῖναι. Δολίονας δὲ λέγει μάλιστα τοὺς περὶ Κύζικον ἀπὸ Αἰσήπου ἕως Ῥυνδακοῦ καὶ Δασκυλίτιδος λίμνης. Μυγδόνας δὲ τοὺς ἐφεξῆς μέχρι Μυρλεανῆς χώρας. (Στράβ. Θ, 297, 5.) Ε. —Ἡ τῶν Δολόπων μέρος τῆς Φθιώτιδος χώρας· διὸ καὶ πα-

НБ ОНУ імені І.І. Мечникова

ραλέλοιπεν αὐτοὺς ἐν τῷ καταλόγῳ. Σ. Β. (Ἴδ. Ἀπολλόδ. Β, σελ. 317.).

Σ. 486. Οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ] Οὐκ οἶδεν, παρὰ Χείρωνι τραφέντα αὐτόν. Σ. Β.

Σ. 489. Προταμών] Ἐπὶ τὰ εὐτελέστερα δὲ καταβὰς, ἔδειξε τὴν ἰσχὺν τοῦ λόγου διὰ τοῦ προταμών· πρῶτον γὰρ τέμνοντες παρέχουσι· καὶ ἐπισχὼν, ὡς λαθικηδέα μαζὸν ἐπέσχον· (Χ, 83.) οὐκ ἂν δὲ διὰ κοινοῦ ὀνόματος ἑτέρως αὐτὸ φράσειας. Σ. Β.

Σ. 490. Κατέδευσας] Διάβροχον ἐποίησας, κατέβρεξας. Σ.

Σ. 491. Ἀποβλύζων] Ὠνοματοπεποίηται, καὶ δηλοῖ τὸ ἀποστάζειν διὰ τὴν βρεφικὴν βραχυστομίαν. Ε. — Ἀπεμῶν, ἐκβάλλων. Σ.

Σ. 493. Ἐξετέλειον] Τὸ δὲ ἐξετέλεσαν δόξοι ἂν δηλοῦν ὡς ἐτεκνογόνει μὲν ὁ Φοῖνιξ, οὐκ ἐξετελοῦντο δὲ αὐτῷ τὰ γεννήματα. Ε.

Σ. 495. Ἀμύνῃς] Ἰδιούμενος τὴν σωτηρίαν τῶν Ἑλλήνων. Σ. Β.

Σ. 496. Δάμασον] Ἅπερ Ὀδυσσεὺς εἰπεῖν ἐφυλάξατο· (πικρὸν γὰρ ἦν) ἐπὶ δὲ τὸν Πηλέα ἀνήνεγκεν, ταῦτα Φοίνικι δίδωσιν ἡ τῆς ἀνατροφῆς παῤῥησία. Ἐμφατικῶς δὲ τὸ ἀδάμαστον ἐνέφηνεν τοῦ θυμοῦ· καὶ ὁ Ἀγαμέμνων φησὶ, δμηθήτω. Σ. Β.

Σ. 497. Στρεπτοὶ — θεοί] Εὐμετάστρεπτοι, εὐμετάβλητοι, εὔπειστοι. Σ. (Ἴδ. Πλάτ. πολιτ. βιβλ. Β, κεφ. 8. σελ. 406).— Ἐπίφθονος δὲ ὁ λόγος· ὡς θεοῦ γὰρ ἧκον δεησόμενοι· καὶ λεληθότως διδάσκει, ὅτι μὴ πειθόμενος λιταῖς, αἷς καὶ Θεοὶ πείθονται, ἀσεβεῖ καὶ εἰς Θεοὺς, καὶ εἰς τὴν ἑαυτοῦ μητέρα. Σ. Β.

Σ. 498. Μείζων ἀρετή] Ὅ ἐστιν ἀνδρία, ἢ καὶ πᾶσα ἕξις ἀγαθή· μονονουχὶ γάρ φησιν ὁ ῥήτωρ, ὡς ἐὰν στρεπτοὶ οἱ μείζονες, πολλῷ πλέον σὺ ὁ ἐλάττων. Ε.

Σ. 499. Θυέεσσι] Θυμιάμασι, θυσίαις. Σ.

Σ. 502. Καὶ γάρ τε λιταί εἰσι] Ὅτι γραφικῶς οἷον ἐκτίθεται ὁ ποιητὴς εἰδωλοποιῶν τὰ περὶ τὰς λιτὰς καὶ τὴν ἄτην, καὶ τὰ τῶν πασχόντων ἴδια, ἤγουν τὰ τῶν ἀτωμένων, ταὐτὸν δ' εἰπεῖν, ἀτυζομένων, καὶ τὰ τῶν λιταζομένων μετατιθεὶς, ὡς ἔν τινι ζωγραφίᾳ, εἰς τὴν ἄτην καὶ εἰς τὰς λιτὰς, καὶ χαρακτηρίζων κατὰ συνήθειαν γραφικήν τε καὶ ποιητικὴν τὰ πάθη, ἐκ τῶν ἐχόντων αὐτά. Ε. — Διὸς κοῦραι] Διὸς δὲ

θυγατέρας γενεαλογεῖ, ὥστε σεβασμιωτέρας φαίνεσθαι. Σ. — ἢ διὰ τὸ Ζεὺς ἐπιτιμήτωρ ἱκετάων· (Ὀδυσσ. Ι, 270.) Σ. Β.

Σ. 503. Χωλαί τε — παραβλῶπες τ'] Χωλαὶ δὲ, διὰ τὸ μόγις εἰς δεήσεις ἔρχεσθαι· ῥυσσαὶ δὲ, διὰ τὸ σκυθρωπάζειν· παραβλῶπες δὲ, ὅτι παριδόντες τι τῶν ἀναγκαίων παρακαλοῦμεν ὕστερον. — Ἀπὸ τῶν συμβαινόντων περὶ τοὺς ἱκετεύοντας παθημάτων τὰς λιτὰς διετύπωσεν. Σ. Β. — Ῥυσσαί] Ῥυτίδας ἔχουσαι· ῥυτίδες δὲ καλοῦνται αἱ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφαί. Σ.

Σ. 504. Μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι] Ἁμαρτόντες καὶ βλαβέντες ὕστερον παρακαλοῦμεν· φροντίζομεν οὖν τῶν ὑπὸ τῆς Ἄτης πεπραγμένων· ἕπονται οὖν αὐτῇ αἱ λιταί. Σ. Β. — Ἀλέγουσι] Τῶν ἀνθρώπων δηλονότι ἀλέγουσι φροντίζουσαι, ἵνα ἰάσονται τὰ ὑπὸ τῆς Ἄτης γινόμενα. Σ. Β.

Σ. 505. Σθεναρή τε καὶ ἀρτίπος] Εἰκότως· διὰ τὸ ἐξ ὑπεροχῆς καὶ ἰσχύος τὰς βλάβας γίνεσθαι. Οὐκ ἔστι δὲ ἐναντίον τῷ ἑτέρωθι λεγομένῳ, ὅτι τῆς Ἄτης ἁπαλὼ τὼ πόδε, (Τ, 92). Ἐκεῖ γὰρ ὡς λεληθότως αὐτῆς ἐπιούσης τοῖς ἀνθρώποις, ἀκούσιον θέλει δεῖξαι τὸ πταῖσμα. Σ. Β. — Ἀρτίπος] Ἄρτιος καὶ ὑγιὴς τοῖς ποσίν· ὁλόκληρος. Σ.

Σ. 506. Ὑπεκπροθέει] Τουτέστιν ἡ μὲν Ἄτη ταχυδρομοῦσα προθέει κατὰ πολὺ καὶ φθάνει πανταχοῦ, ὡς δηλαδὴ μηδενὸς ὄντος ἔξω κακοῦ, βλάπτουσα· αἱ δὲ λιταὶ ἐξακέονται ὀπίσω, εἴπου ἔπαθόν τινα συντριβὴν οἱ βλαφθέντες. Ε.

Σ. 510. Ἀνήνηται] Ταὐτόν δ' εἰπεῖν ἀπηλεγέως ἀποφήσει. Ε.

Σ. 512. Ἀποτίσῃ] Καὶ αὐτὸς ἐν Ἄτῃ γεγονὼς ἐπὶ τὰς λιτὰς καταφύγῃ. Σ. Β.

Σ. 515. Εἰ μὲν γὰρ κ.τ.λ.] Τὸ μὲν ὀργίζεσθαι δικαίως, συγχωρεῖ· τὸ δὲ ἀτιμάζειν τὰ διδόμενα καὶ τοὺς ἥκοντας ἀνάξιον Ἀχιλλέως φησί. Σ.

Σ. 516. Ἐπιζαφελῶς] Ἐπιμόνως, ηὐξημένως. Σ.

Σ. 518. Χατέουσί περ ἔμπης] Ὅτι καὶ δώρων ἄνευ ἐχρῆν βοηθεῖν διὰ τὴν ἀνάγκην. Σ. Β.

Σ. 522. Φίλτατοι] Ὡς καὶ δίχα Ἀγαμέμνονος ὀφείλοντος αὐτοῖς πείθεσθαι. Τοῦτο δὲ ἐλεγκτικῶς, ὅτι εἰπών· οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ (στ. 204.), νῦν ἀπειθεῖ τοῖς φιλτάτοις. Σ. Β. — Μῦθον ἐλέγξῃς, μηδὲ πόδας] Ὀνειδίσῃς· τὰ δ' ἐλέγχεα πάντα λέλειπται· ὡς τῆς αἰσχύνης, τοῦ μὴ πεί-



НБ ОНУ імені І.І. Мечникова

θειν ἀνατρεχούσης εἰς αὐτούς Σ. Β. — Ἐλέγξεις] Διό φησι, μὴ ἀτιμάσῃς ἡμῶν τὸν ὑπὲρ τῆς ἀξιώσεως λόγον καὶ πρεσβείας. — Μηδὲ πόδας] Μηδὲ τὴν ἐνθάδε ἄφιξιν. Σ.

Σ. 523. Οὔτι νεμεσσητόν] Τὸ πρώην μηνίειν ἀνεμέσητον εἰπών, ἐκ τοῦ ἐναντίου τὸ νῦν νεμεσητόν φησι. Σ. Β.

Σ. 526. Δωρητοί] Τουτέστι δώροις τε ὑπήγοντο, καὶ λόγοις ἐμειλίσσοντο παραμυθούμενοι. — Παραῤῥητοὶ γὰρ οἱ παρηγορητοί. Ε. — δώροις πειθόμενοι. Σ.

Σ. 527. Μέμνημαι — νέον γε] Ὁμοίαν μῆνιν παραγράφει. Ἀχιλλεὺς οὐκ ἐπαμύνει τοῖς Ἕλλησι διὰ τὸν Ἀγαμέμνονα, καὶ ὁ Μελέαγρος Αἰτωλοῖς διὰ τὴν μητέρα. Ἀρχὴ μήνιδος Ἀχιλλεῖ χόλος Ἀπόλλωνος καὶ τῷ Μελεάγρῳ Ἀρτέμιδος ὀργή· Ἀχιλλεῖ Βρισηΐδος ὕβρις, Μελεάγρῳ δ' Ἀταλάντης· Πρὸς ἑκάτερον πρεσβεύουσι, δῶρα δώσειν ὑπισχνούμενοι. Τὰ λοιπὰ ὁ Φοῖνιξ εὔχεται ὅμοια μὴ γενέσθαι· ὅμως γεγόνασι· οὐδέτερος αὐτῶν εἶξε τοῖς δεομένοις. Τὸν Μελέαγρον ἐποίησεν ἡ γυνὴ ἐξελθεῖν, τοῦ πολέμου ἐπὶ θύραις ὄντος, καὶ ὁ Πάτροκλος, πλησίον τῶν πολεμίων ὄντων, δεηθεὶς προελθεῖν ἔπειτα ἀποθανὼν ἔπεισε τῆς ἔχθρας παύσασθαι τὸν Ἀχιλλέα, ὅπερ καὶ Μελέαγρος πέπονθεν. Σ. Β.

Σ. 529. Κουρῆτες] Ἀκαρνᾶνες, οἱ ἐν Πλευρῶνι πόλει τῆς Αἰτωλίας οἰκοῦντες· ὠνομάσθησαν δὲ οὕτως, παρὰ τὸ μὴ κείρεσθαι τὰς κάρας. — Αἰτωλοί] Οἱ Καλυδώνιοι· ἐπεὶ καὶ οἱ Κουρῆτες Αἰτωλοὶ ὑπῆρχον, ἐμφυλίου ὄντος τοῦ πολέμου· ἡ οὖν Καλυδὼν πρώτη πόλις τῆς Αἰτωλίας. — Οἰνεὺς Αἰτωλίας δυνάστης, τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν τοῖς θεοῖς θύων, Ἄρτεμιν μόνην κατέλιπεν. Ἡ δὲ θεὸς ὀργισθεῖσα, μέγα τοῖς Αἰτωλοῖς συὸς χρῆμα ἔπεμψεν· ὃς οὐ μόνον τὴν χῶραν, ἀλλὰ καὶ τοὺς ἐνοικοῦντας διέφθειρε. Καλυδώνιοι δὲ καὶ Πλευρώνιοι προῆλθον ἐπὶ τοῦτον. Μελέαγρος δὲ ὁ Οἰνέως πρῶτος ἐπιτυχών, γέρας δὲ τοῦ συὸς ἀκροθίνια λαβών, τὴν κεφαλὴν καὶ τὸ δέρας Ἀταλάντῃ δι' ἔρωτα δωρεῖται· καὶ αὐτὴ γὰρ συνεξῆλθεν αὐτοῖς ἐπὶ κυνηγίαν. Οἱ δὲ Θεστίου μὲν παῖδες, ἀδελφοὶ δὲ τῆς Μελεάγρου μητρὸς, Ἀλθαίας, ὀργίλως ἐπὶ τούτῳ διατεθέντες, ἐπεβούλευον τῷ Μελεάγρῳ. Ὁ δὲ προγνοὺς, οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ εἰς φυγὴν τραπῆναι ἐποίησε· διόπερ Πλευρώνιοι τοῖς Καλυδωνίοις ἐπεστράτευον. Μελέαγρος δὲ κατ' ἀρχὰς τῇ μητρὶ μηνιῶν, οὐκ ἐβοήθει τῇ πατρίδι. Πορθουμέ,

НБ ОНУ імені І.І. Мечникова

νης δὲ ἤδη τῆς πόλεως, πεισθεὶς ὑπὸ Κλεοπάτρας τῆς γυναικὸς, προσελθὼν, οὓς μὲν ἀνεῖλεν, οὓς δὲ ἠνάγκασε διώκων κατὰ κρημνῶν ἐνεχθῆναι. Ἀλθαία δὲ μηνιῶσα τῷ παιδὶ, τὴν ὑπὸ μοιρῶν δεδομένην δᾷδα κατέφλεξεν. Ἦν δὲ πεπρωμένον, ἐκείνης κατακαείσης, καὶ τὸν Μελέαγρον ἀποθανεῖν. Φθαρέντος δὲ τοῦ παιδὸς, Ἀλθαία μετανοήσασα, ἑαυτὴν ἀναιρεῖ. Σ. — Διχῇ δὲ διῄρηται ἡ Αἰτωλία, καὶ τῆς μὲν Καλυδωνίας ἦρχεν Οἰνεὺς, τῆς Πλευρωνίας ὁ Θέστιος. Κουρῆτες οἱ τὴν Πλευρῶνα οἰκοῦντες, ἄποικοι τῶν Εὐβοέων. Οὕτως δὲ ἐκαλοῦντο, ἢ ἀπὸ Κουρίου ὄρους, ἢ Κουρέως, ἢ ἐπεὶ στολὰς καὶ κόμας κουρῶν εἶχον. Στράβων δὲ οὕτως· Ἀρχέμαχος ὁ Εὐβοεύς φησι, τοὺς Κουρῆτας ἐν Χαλκίδι οἰκῆσαι, συνεχῶς δὲ πολεμοῦντας περὶ τοῦ Ληλαντος πεδίου, ἐπειδὴ οἱ πολέμιοι κομῶν δραττόμενοι κατέσπων, αὐτοὺς ὀπισθοκόμους γενέσθαι, τὰ δὲ ἔμπροσθεν κείρεσθαι· διὸ Κουρῆτας ἀπὸ τῆς κουρᾶς κληθῆναι. Κατοικοῦντας δὲ εἰς Αἰτωλίαν, τοὺς πέραν οἰκοῦντας, διὰ τὸ ἀκούρους φυλάσσειν τὰς κεφαλὰς Ἀκαρνᾶνας ὠνόμαζον. (ἴδ. Ἀπολλόδ. Α, 7. 6.) Σ. Β. — Μενεχάρμαι] Ὑπομονητικοὶ ἐν μάχαις, πολεμικοί. Σ.

Σ. 530. Καλυδῶνα] Καλυδὼν δὲ, ἀπὸ Καλυδῶνός φασιν υἱοῦ Ἐνδυμίωνος, ἢ παιδὸς Αἰτωλοῦ, ἐξ οὗ ἡ Αἰτωλία. Ε.

Σ. 534. Θαλύσια] Θαλύσια δὲ, αἱ ἀπαρχαὶ, ἤγουν αἱ μετὰ συλλογὴν τῶν καρπῶν διδόμεναι θεῷ, ὑπὲρ τοῦ καὶ εἰσέπειτα θάλλειν τὰς ἀρούρας. Τινὲς δὲ τῶν ῥητόρων καὶ συγκομιστήρια ταῦτα καλοῦσιν· ἅπαξ δ' ἐνταῦθα κεῖται παρ' Ὁμήρῳ ἡ λέξις· γίνεται δὲ ἀπὸ τοῦ θάλλω θαλύω θαλύσω, ἐξ οὗ καὶ Θαλύσιος κύριον ὄνομα· — ἔτι δὲ καὶ θαλύσιος ἄρτος, ὁ ἐκ τῆς τῶν καρπῶν φασι συγκομιδῆς πρῶτος γινόμενος. Ἰστέον δὲ, ὅτι ἐπὶ συγκομιδῇ καρπῶν, ἐφ' ᾗ καὶ τὰ Θαλύσια ἐθύετο, ἑορτὴ ἤγετο Δήμητρος καὶ Διονύσου κατὰ Παυσανίαν, ἁλῶα (ἁλῷα, τὰ,) καλουμένη, διὰ τὸ ταῖς ἀπαρχαῖς καὶ μάλιστα ἐν Ἀθήναις, ἀπὸ τῆς ἅλω τότε καταχρᾶσθαι φέροντας εἰς Ἐλευσῖνα· ἢ ἐπὶ, καθὰ καὶ Ὅμηρος ἐμφαίνει, ἐν ἅλωσιν ἔπαιζον κατὰ τὴν ἑορτὴν, ἐν ᾗ καὶ Ποσειδῶνος ἦν πομπή. Ε. — Γουνῷ ἀλωῆς] Ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς. Σ. (ἴδ. Ε, 499. καὶ Φ, 36.).

Σ. 537. Ἦ λάθετ'] Τὸ δὲ ἢ λάθετο, ἢ οὐκ ἐνόησεν, οἱ μὲν οὕτω φασίν· ἢ ἑκὼν ἠμέλησεν, ἢ οὐδόλως ἔγνω θεὸν εἶναι



НБ ОНУ імені І.І. Мечникова

τὴν Ἄρτεμιν, διὸ καὶ ἐβλάβη· οἱ δὲ, ὅτι ἢ ἐνθυμηθεὶς τὴν Ἄρτεμιν, αὖθις ἐξελάθετο, ἢ οὐδόλως ἐπὶ νοῦν αὐτὴν ἔλαβεν. — Ἰστέον δὲ, ὅτι ἐν τῷ, ἢ οὐκ ἐνόησε, τὸ η καὶ τὸ ου, ἀντὶ μιᾶς λογίζονται μακρᾶς· ὡς καὶ ἐν τῷ, ἢ οὐχ ἅλις (Ε, 349.) Ε. — Ζηνόδοτος γράφει, ἐκλάθετ' οὐδ' ἐνόησεν, ὥστε τὸ αὐτὸ δεῖ λογίζεσθαι, οὐκ ἐνόησε δὲ, ὅτι διαφέρει· τὸ μὲν γὰρ ἐλάθετο, ἑκὼν παρέπεμψεν· τὸ δὲ οὐκ ἐνόησεν, οὐδὲ τὴν ἀρχὴν κατὰ νοῦν ἔσχε. Σ. Β. — Ἀάσατο δὲ μέγα θυμῷ] Τὸ δὲ ἀάσατο μέγα θυμῷ, βλαψίφρονα ἤτοι φρενοβλαβῆ τὸν Οἰνέα δηλοῖ, ἐπεὶ καὶ ταὐτὸν ἆσαι καὶ βλάψαι εἰπεῖν, καὶ θυμὸν καὶ φρένας. Ε. (ἴδ. στ. 116.).

Σ. 539. Χλούνην] Οἱ μὲν τὸν ἐντομίαν· κνώμενοι γὰρ πρὸς τὰ φυτὰ παραδιατρίβονται, καὶ ἀγριώτεροι γίνονται· οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα, τὸν γὰρ οἰκοτραφῆ σίαλόν φησι. Σ. Β. — Χλούνην] Χλούνης δὲ ὁ ἐν χλόῃ εὐναζόμενος καὶ ἄνετος, καὶ διὰ τοῦτο κατὰ τὸν ποιητὴν, ἄγριος· ἵνα ᾖ ἐν ἁπλότητι, χλόευνος· — κατὰ δέ τινας, χλούνης, ὁ ἀφριστὴς ἢ εὐμεγέθης· μάλιστα δὲ ὁ ἐντομίας. Ε. — ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων Γαμβοποιῶν τινά φαναι· ἀνὴρ δδ' ἑσπέρης καθεύδοντα ἄπουν ἔδησε χλούνην· Ξενοφῶντα δὲ γένος τι Ἰνδῶν φαναι τὸν χλούνην εἶναι. — Τινὲς δὲ τῶν τὰ Αἰολικὰ ἀναγεγραφότων Χλούνην τόπον τινά φασι καλεῖσθαι περὶ Καλυδῶνα, ἐν ᾧ τὸν κάπρον διατρίβειν, καὶ διὰ τοῦτο Χλούνην προσαγορευθῆναι. Σ. Β. — Ἀργιόδοντα] Λευκοὺς ὀδόντας ἔχοντα. Σ.

Σ. 540. Ἔθων] Ἐξ ἔθους κατατρέχων καὶ βλάπτων. Σ.

Σ. 541. Προθέλυμνα] Τὰ ἄλλα ἐπ' ἄλλοις προτιθέμενα, ὅ ἐστι συνεχῆ. Φησὶ γοῦν καὶ σάκος σάκεϊ προθελύμνῳ. Σ. Β. — Προθέλυμνα] Προθέλυμνα νῦν μὲν, τὰ πρόῤῥιζα καὶ ἐξ αὐτῆς θέσεως ἀνασπώμενα, καὶ, ὡς εἰπεῖν, ἐκ θεμέθλων· —δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὸ συνεχὲς — ἢ ἁπλῶς τὸ πυκνόν· — ὡς τετραθέλυμνον, τὸ τετράθετον. Ε.

Σ. 542. Ἄνθεσι μήλων] Τοῖς καρποῖς. Σ. — Μῆλα δὲ ἀκρόδρυα λέγει ἐκ μέρους, ἤτοι ἐξ ἑνὸς καρποῦ τοῦ μήλου τοῦ καλοῦ καὶ κατὰ τὸν ποιητὴν ἀγλαοῦ. Ε. (ἴδ. Θεοκρ. Γ', 13.).

Σ. 544. Πολλέων ἐκ πολίων] Τὸ δὲ πολλέων ἐκ πολίων κ. τ. λ. τὴν βίαν ἐμφαίνει τοῦ συὸς, αὖξον τοῦ θηρίου τὴν ἰσχύν. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 546. Πυρῆς ἐπέβησεν] Ὅτι ἐκ τοῦ παρακολουθοῦντος σημαίνει ἀνεῖλεν. Σ. Β.

Σ. 548. Κεφαλῇ καὶ δέρματι] Ὡς καὶ τῆς κεφαλῆς τῷ δέρματι προσεχομένης. Ταῦτα δὲ συνέκειτο δοθῆναι ἀριστεῖα τῷ πρώτως βαλόντι τὸν σῦν· λαβὼν δὲ αὐτὰ ὁ Μελέαγρος, ἐδωρήσατο Ἀταλάντῃ τῇ Ἰάσου, Ἀρκάδι τὸ γένος. Σ. — ἐσιώπησε τὴν Ἀταλάντην, αἰδούμενος τὸν Ἀχιλλέα. Σ. Β.

Σ. 551. Κακῶς ἦν] Σημειωτέον διὰ τοὺς φιλονείκους. — Ἴσως δὲ κατ' ἔλλειψιν εἴρηται, ἵνα λέγῃ ὁ Φοῖνιξ, ὅτι τοῖς Κουρήτεσσι κακῶς ἦν συγκυρῶν ὁ πόλεμος, ἢ κακῶς νῦν ἔχοντα τὰ τῆς μάχης· ἢ τοιοῦτόν τι. Ε.

Σ. 554. Οἰδάνει] Εἰς ὕψος αἴρεσθαι ποιεῖ, ἐμπίπρησι. Σ.

Σ. 556. Κεῖτο] Ἀργὸς διετέλει. Σ.

Σ. 557. Κούρῃ Μαρπίσσης] Εὔηνος, Ἄρεος παῖς, βασιλεὺς Αἰτωλίας, ἔχων θυγατέρα εὐπρεπεστάτην Μάρπισσαν τοὔνομα, τοὺς μνηστευομένους αὐτὴν προεκαλεῖτο εἰς ἁρματηλασίας ἀγῶνα, λέγων ἐκδώσειν τῷ διαφυγόντι αὐτὸν διώκοντα· τοὺς λειφθέντας δὲ καρατομῶν, ἐπετίθει τὰς κεφαλὰς ἐπὶ τοῦ τείχους τῆς οἰκίας, εἰς κατάπληξιν τῶν λοιπῶν. Πολλῶν τοίνυν ἤδη ἀνῃρημένων, Ἴδας, λόγῳ μὲν Ἀφαρέως υἱὸς, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος, τελευταῖος λαβὼν παρὰ τοῦ πατρὸς ἵππους ποδωκεστάτους, ἥρπασε τὴν κόρην, χορεύουσαν ἐν Ἀρτέμιδος. Εὔηνος δὲ ὡς οὐκ ἠδύνατο καταλαβεῖν, ἀποσφάξας τοὺς ἵππους, οὓς εἶχεν, ἑαυτὸν ἔρριψεν εἰς τὸν Λυκόρμαν ποταμὸν, ὃς ἀπ' αὐτοῦ Εὔηνος προσηγορεύθη. Διαπεφευγότι δὲ τῷ Ἴδᾳ τὸν κίνδυνον, Ἀπόλλων ἐναντιοῦτο περὶ τῆς κόρης, βουλόμενος ἀφαρπάζειν αὐτήν. Προϊόντων δὲ αὐτῶν εἰς μάχην, Ζεὺς δὲ πέμψας Ἑρμῆν, ἐπέτρεψε τῇ κόρῃ ἑλέσθαι ὃν ἂν βούληται. Ἡ δὲ εἵλετο τὸν Ἴδαν, εὐλαβηθεῖσα μὴ γηράσασαν αὐτὴν ἀπολίπῃ Ἀπόλλων. Σ.

Σ. 562. Ἀλκυόνην καλέεσκον] Κήυξ ὁ Φωσφόρου, τοῦ ἀστέρος, γήμας Ἀλκυόνην τὴν Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ, θεὸς ἐβούλετο νομίζεσθαι· διόπερ ἥτε γαμετὴ διαπαντὸς αὐτὸν ἐκάλει Δία, κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας, μετέβαλεν αὐτοὺς εἰς ὄρνεα, χωρὶς ἀλλήλων βιοῦντα. Ἐκλήθη δὲ ἡ μὲν Ἀλκυόνη, ὁ δὲ Κήυξ. Παρὰ δὲ τοῖς αἰγιαλοῖς τῆς Ἀλκυόνης τικτούσης, συμβαίνει ἐπελθόντα τὰ κύματα τὰ ἔγγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτὴν κλαίου-

НБ ОНУ імені І.І. Мечникова

σιν, κατηλεήσας, ἐπέταξε τοῖς ἀνέμοις, καθ' ὃν ἂν καιρὸν ἡ Ἀλκυόνη τίκτῃ, μὴ πνεῖν, μέχρι τεσσαρεσκαίδεκα ἡμερῶν τοῦ χειμῶνος αὐξανομένου. Εἴρηται δὲ Ἀλκυὼν (ἀναγν. Ἀλκυόνη Β.), παρὰ τὸ ἐν ἁλὶ κύειν· — ἔκλαιεν οὖν τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτὴν ἥρπασεν Ἀπόλλων. Σ.

Σ. 568. Ἀλοία] Τοῖς χερσὶν ἔπληττεν· ὅθεν καὶ πατραλοίας, τὸν πατέρα τύπτων. Εὔχονται δὲ οἱ ἥρωες τοῖς μὲν οὐρανίοις θεοῖς ἄνω τὰς χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστος (Θ, 347.) τοῖς δὲ θαλασσίοις, πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο, χεῖρας ὀρεγνὺς, (Α, 351.) εἰς θάλατταν δηλονότι· τοῖς καταχθονίοις δὲ, κόπτοντες τὴν γῆν, ὡς ἐνθάδε φησίν. Ε.

Σ. 570. Πρόχνυ καθεζομένη] Παντελῶς καθημένη, ὅλη παρημένη, ἵνα πλέον ᾖ τὸ πάθος· οἱ γλωσσογράφοι, ἐπὶ γόνυ. Σ. Β.

Σ. 571. Ἠεροφοῖτις] Ἡ ἐν τῷ σκότῳ φοιτῶσα· αἱ ποιναὶ γὰρ ἀπροοράτως ἔρχονται. Πῶς δὲ Ἅδην ἐπικαλεῖται, ἡ δὲ Ἐρινὺς ἔρχεται; δηλονότι ὡς ὑπηρέτις. Σ. Β.

Σ. 579. Πεντηκοντόγυον] Πεντήκοντα πλέθρων· γύη γὰρ μέτρον γῆς· οἱ δὲ, πεντήκοντα ζυγῶν. Σ. Β.

Σ. 580. Ψιλὴν ἄροσιν] Τὴν ἄδενδρον χώραν, τὴν πρὸς τὸ σπείρεσθαι ἐπιτηδείαν. Σ. — λείπει δὲ ἡ εἰς· εἰς ἄροσιν. Σ. Β.

Σ. 583. Σείων] Σείων δὲ πρᾴως κινῶν διὰ τὸ γῆρας. Σ. Β. Κολλητὰς δὲ σανίδας, περιφραστικῶς τὰς θύρας, ἀπὸ τοῦ καλῶς συνηρμόσθαι. Σ. Β.

Σ. 593. Ἀμαθύνει] Κατὰ μικρὸν δαπανᾷ· ὅ ἐστιν ἄμαθον καὶ κόνιν ποιεῖ. Σ.

Σ. 398. Εἴξας ᾧ θυμῷ] Νικηθεὶς ὑπὸ ἰδίας ἐπιθυμίας. Σ. — Ὅτι οὐ τῷ θυμικῷ πάθει λέγει, ἀλλὰ τῇ ἐπιθυμίᾳ ὑποχωρήσας, ἀντὶ τοῦ οὐκ ἀντιταξάμενος· — ἢ θυμὸν τὸν ἐπιλογισμόν φησι. Σ. Β. — Ἐτέλεσσαν] Τοὺς γὰρ ἀναγκαίους παρεὶς, πέπεισται γυναικί. Σ. Β.

Σ. 601. Κάκιον δέ κεν εἴη] Ἐλέγχει, ὅτι καὶ ἄκων ὕστερον αὐτόκλητος ἐπικουρήσει. Σ. Β.

Σ. 602. Ἐπὶ δώροις] Ἀντὶ δώρων, λαβὼν τὰ δῶρα. Σ. Β.

Σ. 605. Τιμῆς ἔσεαι] Τὸ δὲ τιμῆς ἔσεαι, δηλοῖ μὲν τὸ τιμήεις, ἐξ οὗ καὶ ἐκράθη· ἔχει δὲ προσγεγραμμένον ἰῶτα, καθὰ καὶ τὸ αἰγλήεις αἰγλῆς· καὶ ἀπ' αὐτοῦ τὸ χρυσὸν τιμῆντα (Σ, 574.), ὁμοίως τῷ αἰγλῆντα. Ε. — Ἀρίσταρχος δὲ τῆς τιμῆς, διὸ ὑπάγει· χρεὼ τιμῆς (στ. 604.) τοῖς γὰρ

НБ ОНУ імені І.І.Мечникова

ἔμπροσθεν ἀντειπεῖν οὐκ ἔχων, ἐκ τοῦ ἐσχάτου ἄρχεται. Σ. Β.

Σ. 607. Ἄττα] Τροφέ· Θετταλῶν ἡ φωνή· καὶ ἔστι προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον. Σ. — Ὅτι τὸ ἄττα προσφώνησίς ἐστι πρὸς τροφέα ἀμετάφραστος. Σ. Β.

Σ. 608. Διὸς αἴσῃ] Πιθανῶς τῇ παρὰ τοῦ Ἀγαμέμνονος τιμῇ ἀντέθηκε τὴν παρὰ τοῦ Διός. Σ. Β. — Ἵνα νοῇ, ὡς οὐ τοσοῦτον ἐθέλω νῦν ἐνταῦθα τιμᾶσθαι, ὅσον διὰ παντὸς βίου. Ε.

Σ. 612. Σύγχει θυμόν] Ὁμολογεῖ μὲν ἡττῆσθαι τῷ ἐλέῳ, τὴν δὲ ἀφορμὴν διαβάλλει. Σ. Β. — Τάραττε, λύπει. Σ. — Καὶ ὑπόσχεσιν προφέρει χρηστοτέραν· οὐ γὰρ αὔριον πλευσεῖσθαί φησιν, ὃ φθάσας εἶπεν, ἀλλὰ φράσεσθαι, εἴτε μενεῖ, εἴτε νοστήσει εἰς τὰ οἰκεῖα. Ε.

Σ. 613. Φέρων χάριν] Ἤγουν χαριζόμενος. Ε.

Σ. 615. Κήδειν] Λυπεῖν, βλάπτειν. Σ. — Ἔνθα καὶ ὅρα, ὡς κήδειν μὲν, συνήθως τὸ (ἴσ. τῷ) βλάπτειν, μετὰ αἰτιατικῆς κατὰ ἐνεργητικὴν διάθεσιν· κήδεσθαι δὲ τὸ φροντίζειν παθητικῶς καὶ μετὰ γενικῆς, ὡς δηλοῖ καὶ τό· κήδετο γὰρ Δαναῶν. Ε. (ἴδ. Ε, 400.).

Σ. 621. Πυκινὸν λέχος] Καὶ μαλακὴν εὐνὴν ἀνωτέρω Ἀχιλλεὺς ἔφη. Ε. — Πυκνόν] Ἱμάτιον. Σ. (ἴδ. Ἀπολλόν. σελ. 579.) Τὸ ἐπιμελῶς ἠσκημένον· ὁ δὲ Ἀπίων, διὰ τὸ ἐκ πολλῶν ἱματίων τὰ στρώματα συντίθεσθαι. Ε.

Σ. 622. Μεδοίατο] Πρόνοιαν ποιήσαιντο, φροντίσαιεν. Σ.

Σ. 625. Ἴομεν] Εὖ τὸ μὴ ἀπὸ δεήσεως ἄρξασθαι, ἀλλὰ ἀγανακτοῦντα· πολλὴν δὲ ἐμφαίνει τὴν μεγαλοφροσύνην κελεύων ἀπαλλάσσεσθαι. Σ. Β. (Διονυσ. Ἁλικαρ. κεφ. Θ', 15, σελ. 365.).

Σ. 632. Νηλής] Ἀνηλεής, σκληρός. Σ.

Σ. 633. Ποινήν] Ἰστέον δὲ, ὅτι ἔθος παλαιὸν ἦν, φονευθέντος τινὸς, ποινὴν ὑπὲρ τοῦ φόνου δίδοσθαι τοῖς συγγενέσιν, εἴπερ ἐθέλοιεν· καὶ τὸν φονέα οὕτω μένειν αὐτοῦ ἐν τῷ δήμῳ, χρημάτων τὸ μὴ φυγεῖν εὐνησάμενον. Ἄλλως δέ τοι, ἔφευγεν ὁ φονεὺς οὐ πλεῖον, ὡς τὰ πολλὰ, ἐνιαυτοῦ. Ε. — Λέγει οὖν, μὴ λαβὼν ἐκεῖνος, οὐκ ἐᾷ μόνον ἐνιαυτὸν φεύγειν. Σ. Β.

Σ. 636. Ποινὴν δεξαμένου] Ἐντέχνως ἡ μετάβασις ἐκ τοῦ περὶ αὐτὸν λόγου εἰς τὸν πρὸς αὐτὸν ἐγένετο. Χρῆται δὲ παῤῥησίᾳ, ὡς ἀνδρεῖος, ἢ ὡς συγγενής. Σ. Β.

Σ. 639. Σὺ δ' ἵλαον] Μεγαλοφυῶς· θωπείας μετέχει ὁ λόγος· θεοποιεῖ γὰρ αὐτὸν διὰ τοῦ ἵλαον. Σ. Β.

Σ. 640. Αἴδεσσαι δὲ μέλαθρον] Ἀξιολόγῳ ὀνόματι ἱκετεύει· τὸ γὰρ αἴδεσσαι μέλαθρον, τοὺς πρόσφυγας τῆς ἑστίας αἴδεσαι· τὸ δὲ ὁμοτράπεζον καὶ ὁμόστεγον προτείνας καὶ πολέμιον ἂν ἐκίνησεν, ὡς καὶ τοῦ οἴκου συμπρεσβεύοντος. Σ. Β. — Αἴδεσσαι τοὺς ὑπὸ τὸ αὐτό σοι μέλαθρον ἱκέτας, διὰ τὸν καὶ ἑρκεῖον καὶ ἐφέστιον καὶ ἱκέσιον. Ε.

Σ. 642. Κήδιστοί τ' ἔμεναι καὶ φίλτατοι] Ἐκ τοῦ πλήθους φήσας τοὺς εὐνουστάτους καὶ συγγενικωτάτους ἥκειν, πολλὰ δι' ὀλίγων ἐσήμανεν· ὑπεροψίας ἐπιτίμησιν, μετριότητος ὑπόμνησιν, αἰδῶ τῶν ἀνθρωπίνων παθῶν, ἔλεον ἱκεσίας, ἐντροπὴν συγγενείας. Σ. Β. — Κήδιστοι] Οἰκειότατοι, φροντιστικώτατοι. Σ.

Σ. 646. Οἰδάνεται] Πληροῦται ὑπὸ ὀργῆς· ἐκ μεταφορᾶς τῆς φλεγμονῆς, ἣ καλεῖται οἴδημα. Σ.

Σ. 647. Ἀσύφηλον] Ἀδόκιμον, ἀμαθῆ. Σ. — Ἀσύφηλος, ὁ ἀδόκιμος καὶ εἰς μηδὲν σοφός. Ε. (ἴδ. Ω, 767.).

Σ. 648. Ἀτίμητον μετανάστην] Ἀτίμητον δὲ μετανάστην λέγει τὸν ἄτιμον μέτοικον· οἷα τῶν μετοίκων, ὡς τὰ πολλά, οὐκ ἐντίμων ὄντων, ὡς νόθων πολιτῶν, καθὰ καὶ ἡ Ἀττικὴ πολιτεία ἐδήλου· ἐν ᾗ ξένοι μὲν τὸ μηδὲν σχεδὸν ἦσαν· πεπολιτογραφημένοι δὲ ὅμως τῶν ἰθαγενῶν ἐδευτέρευον. Ε. — Ἀτίμητον] Ἄτιμον, ἢ τὸν ἐν τιμήματι πολιτείας οὐ συναριθμούμενον· τιμητικοὶ γὰρ ἐκαλοῦντο οἱ ἐν ταῖς πολιτείαις. Σ. (Θεοκρ. Εἰδ. Γ', σελ. 230.). — Μετανάστην] Μέτοικον, φυγάδα. Σ.

Σ. 649. Ἔρχεσθε] Σκληρὸν ἦν τὸ μετὰ τῆς προθέσεως εἰπεῖν ἀπέρχεσθε. Σ. Β.

Σ. 650. Οὐ γὰρ πρὶν — υἱὸν Πριάμοιο] Οὔτε ἀνέλπιστον τὴν συμμαχίαν τοῖς Ἕλλησι καταστῆσαι θέλει, οὔτε ἕτοιμον, ἵνα μὴ μέτρια δοκῇ πεπονθέναι. Σ. Β.

Σ. 653. Κατασμύξαι] Κατακαῦσαι. Σ. — Ἦν ὀρθὸν εἰπεῖν, κατά τε σμύξαντα· — ἤγουν νοητέον ἀπὸ κοινοῦ τὸ πρὶν καὶ τὸ Ἀργείων· — ἔστι δὲ σμύξαι τὸ καῦσαι, ἢ καπνὸν ἐκ πυρὸς ἀναδοῦναι, ὃ καὶ τύφεσθαι λέγεται. Ε.

Σ. 655. Σχήσεσθαι] Ἀποσχεθῆναι. Σ.

Σ. 656. Ὣς ἔφαθ'] Πάτροκλος οὐ λαλεῖ, ἵνα μὴ νῦν προσκρούσας Ἀχιλλεῖ, ὕστερον μὴ πείσῃ. Σ. Β.

Σ. 661. Κώεά τε κ. τ. λ.] Καὶ ὅρα τὴν τῶν ἡρωϊκῶν στρωμάτων

εὐτέλειαν· εἰσὶ δὲ κώεα μὲν δέρματα εὐθετηθέντα εἰς τὸ κεῖσθαι· οὐ εὐθεῖα, οὐ μόνον κῶας, ἀλλὰ καὶ κῶος, ἐξ οὗ κώεα. Ε. — Κώδια, ὅ ἐστι προβάτων δέρματα· καὶ εἴρηται ἀπὸ τοῦ ἐγκεῖσθαι, ὅ ἐστιν ἐγκοιμᾶσθαι. Σ. — Ῥῆγός τε] Ῥῆξαι, τὸ βάψαι· βαπτὸν οὖν περιβόλαιόν φησιν· οἱ δὲ τάπητα. Σ. Β. — Τὸ βεβαμμένον ἱμάτιον· καὶ ῥηγεῖς· οἱ βαφεῖς. Σ. — Λίνου δὲ λεπτὸν ἄωτον] Σκέπασμά τι σινδονοειδές· ἔστι δὲ ἄωτον, τὸ οἱονεὶ ἀπάνθισμα καὶ κάλλιστον· ὥσπερ καὶ οἰὸς ἄωτον, ὅσον τοῦ ἐρίου ἔκκριτον. Ε.

Σ. 663. Μυχῷ] Ἐν τῷ ἐνδοτάτῳ τόπῳ τῆς σκηνῆς. Σ.

Σ. 668. Σκῦρον ἑλών] Ὁμώνυμος δὲ τῇ ὅλῃ νήσῳ ἡ πόλις· Ταύτην τὴν νῆσον πρὸ τῆς ἁρπαγῆς τῆς Ἑλένης κατά τινας, ἢ καὶ μετ᾽ αὐτήν, ἐπιχειρήσασαν ἀποστῆναι τῆς τοῦ Πηλέως ἀρχῆς, ἢ μὴ βουλομένην συμμαχίαν παρασχεῖν, ἐπιστρατεύσας εἷλεν Ἀχιλλεύς· ἔνθα καὶ Δηϊδαμείᾳ τῇ τοῦ Λυκομήδους συνελθών, ἐγκύμονα πεποίηκεν· ἐξ ἧς ὁ Νεοπτόλεμος. Εἰ δὲ ἀληθῆ ταῦτα, λέγεται δὲ καὶ ὅτι δέκα ἔτη διήγαγον Ἕλληνες τὸ στράτευμα συναγείροντες, ὡς εἶναι εἴκοσιν ἔτη ἀπὸ τῆς Ἑλένης ἁρπαγῆς ἕως ἁλώσεως Τροίας, ἀπορεῖν ἐστιν εὐλόγως, πῶς νεώτατος ἐστράτευσεν εἰς Τροίαν ὁ Ἀχιλλεύς, καὶ νήπιος· πῶς δὲ καὶ πρὶν Ἑλένην ἁρπαγῆναι ἀριστεύειν εἶχε, καὶ σὺν τῷ Πατρόκλῳ τὴν ἀποστατήσασαν Σκῦρον πολιορκεῖν. Ἕτεροι δέ φασι τὸν Ἀχιλλέα εἰρηνικῶς τε καταδραμεῖν τὴν Σκῦρον, καὶ λάφυρα ἐκεῖθεν λαβεῖν. Τὴν μέντοι ἐν Σκύρῳ κρύψιν τοῦ Ἀχιλλέως, καὶ τὴν θηλυστολίαν, καὶ τὴν ἐν τῇ γυναικωνίτιδι διαθαλάμευσιν, καὶ τὸν ἐκ τοῦ Ὀδυσσέως ἔλεγχον, παντελῶς ἀγνοεῖ, φασιν, ὁ ποιητής, οὔτε κατηναγκασμένως τὸν Ἀχιλλέα πλεύσαντα εἰδώς, ἀλλ᾽ ὑπὸ πρέσβευσιν ἐσταλμένον ὑπὸ τοῦ πατρός· οὐδὲ μὴν ὑπὸ τῷ τοῦ Ἀγαμέμνονος ὄντα σκήπτρῳ. — Ἕτεροι δὲ Σκῦρον οὐ νῆσον ἐνταῦθα νοοῦσιν, ἀλλά τινα πόλιν τῆς νῦν μὲν Φρυγίας, πάλαι δέ ποτε Κιλικίας ἣν πορθήσας ὡς καὶ ἄλλας ὁ Ἀχιλλεύς· ἐκεῖθεν τὴν Διομήδην ἔχει λαβών. Ε. — Οἱ μὲν νεώτεροι ἐκεῖ τὸν παρθενῶνά φασιν, ἔνθα τὸν Ἀχιλλέα ἐν παρθένου σχήματι τῇ Δηϊδαμείᾳ παρακλίνουσιν· ὁ δὲ ποιητὴς ἡρωϊκῶς πανοπλίαν αὐτὸν ἐνδύσας εἰς τὴν Σκῦρον ἀπεβίβασεν, οὐ παρθένων, ἀλλ᾽ ἀνδρῶν διαπραξάμενον ἔργα, ἐξ ὧν καὶ τὰ λάφυρα δωρεῖται τοῖς συμμάχοις. Εἷλε δὲ τὴν Σκῦρον, ὅτε εἰς Αὐλίδα ἐστρατολόγουν, διὰ τὸ

εἶναι ἐκεῖ Δόλοπας, ἀποστάντας τῆς Πηλέως ἀρχῆς, ἔπλεον εἰς Σκῦρον Δολοπηΐδα. Τότε δὲ καὶ τὸν Νεοπτόλεμον ἐπαιδοποιήσατο· κ' δὲ ἔτη ἐστὶ πάσης τῆς παρασκευῆς τοῦ πολέμου, ὥστε δύναται ὁ Νεοπτόλεμος ὀκτωκαίδεκα ἔτη (ἀναγν. ὀκτωκαιδεκαετὴς) στρατεύειν. Σ. Β. — Ἐνυῆος πτολίεθρον] Ἐνυεὺς, Διονύσου καὶ Ἀριάδνης, ὃς Κρῆτας ἀγαγὼν ἔκτισε τὴν πόλιν· οἱ δὲ ὁμωνύμως δύο Σκύρους φασὶν, ὅτι περὶ Αὐλίδα ἡ Σκῦρος. Σ. Β.

Σ. 674. Ἦ ῥ' ἐθέλει] Ἐμιμήσατο τὸν σπουδάζοντα τὸ καίριον μαθεῖν. Σ. Β.

Σ. 679. Σὲ δ' ἀναίνεται] Εὐσχημόνως οὐ κατήσχυνε τὴν κόρην. Διὰ γὰρ τοῦ σὲ τὴν συγγένειαν δηλοῖ. Σ. Β.

Σ. 682. Ἠπείλησεν] Καὶ μὴν οὐκ ἔφη ὁ ἥρως καὶ νῦν, ὡς ἀπειλήσω δέ τοι ὧδε· ἀλλ' ἡ τοῦ Ὀδυσσέως ῥητορικὴ οὕτως ἔγνω φράσαι, ὅπερ ἦν. Ε. — διωρίσατο, εἶπεν. Σ.

Σ. 685. Δήετε] Ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη· οὐ γὰρ εἶπε δήουσιν, ἀλλὰ δήετε. Σ. Β. — Εὑρήσετε· ἐξ οὗ τινες καὶ τὴν Δήμητρα Δηὼ λέγουσι, διὰ τὸ τοὺς ἐντυγχάνοντας αὐτῇ ζητούσῃ τὴν θυγατέρα λέγειν· δήεις· ὅ ἐστιν εὑρήσεις. Σ.

Σ. 689—697. Κήρυκε δύω] Θέλων τὸν Ἀγαμέμνονα σκέψασθαι περὶ τῶν πρακτέων, ἐνεχείρησε τὸν Αἴαντα σιωπᾷν. Σ.

Σ. 698. Μὴ ὄφελες λίσσεσθαι] Σημείωσαι δὲ, ὅτι ὁ Διομήδης ἐκ τοῦ ἀποτελέσματος αἰτιᾶται τὴν πρεσβείαν, καί τοι μηδὲν ἀντειπὼν, ὅτε ὁ Νέστωρ συμβουλεύων περὶ αὐτῆς, προεσημήνατο μὴ εἶναι νόον ἄλλον ἀμείνονα τοῦδε νοηθῆναι (στ. 104.) Ε. — Ἀεὶ δὲ ἀντιστασιώτης τοῦ Ἀχιλλέως ὁ Διομήδης εὑρίσκεται. Σ.

Σ. 700. Ἐνῆκας] Αὐθάδη νῦν ἐποίησας αὐτὸν πλέον, καὶ ὑπερήφανον. Σ.

Σ. 705. Τεταρπόμενοι] Κεκορεσμένοι. Σ.

Σ. 712. Σπείσαντες] Ἐνταῦθα δηλοῦται, ὡς κοιμηθησόμενοι ἔσπενδον οἱ παλαιοί. Ε.

НБ ОНУ імені І. І. Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Κ.

Σ. 1. Φασὶ δὲ οἱ παλαιοὶ, τὴν ῥαψῳδίαν ταύτην ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι, καὶ μὴ ἐγκαταλεγῆναι τοῖς μέρεσι τῆς Ἰλιάδος, ὑπὸ δὲ Πεισιστράτου τετάχθαι εἰς τὴν ποίησιν· Ε. — Ἀριστῆες] Οἱ γὰρ φύλακες ἔξω νεῶν ἦσαν κοιμώμενοι. Σ. Β.

Σ. 2. Παννύχιοι] Νῦν τὸ παννύχιοι οὐ σημαίνει τὸ δι' ὅλης νυκτὸς, ἀλλὰ τὸ πλεῖστον μέρος τῆς νυκτός. Σ.

Σ. 5. Ἀστράπτῃ — ὄμβρον] Καὶ σημείωσαι, ὅτι κατὰ παλαιὰν παρατήρησιν αἱ συχναὶ πολλάκις ἀστραπαὶ ὄμβρον ἐσήμαινον πολὺν, ἢ χάλαζαν, ἢ νιφετὸν, ἢ καὶ πόλεμον μέγαν. Ε.

Σ. 7. Ἐπάλυνεν] Τὸ δὲ παλύνειν δηλοῖ μὲν τὸ λευκαίνειν· κυρίως δὲ ἐπὶ ἀλεύρου λέγεται· ὅθεν καὶ ἡ παιπάλη· — καὶ ἔστι φασὶ πάλη, τὸ ἀποπαλλόμενον λεπτότατον τοῦ ἀλεύρου. Ε.

Σ. 8. Στόμα] Ἤτοι μεταφορικῶς τὴν ἀρχὴν τοῦ πολέμου, ἢ περιφραστικῶς ὅλον αὐτὸν, διότι πάντων δαπανητικός. Σ. — Πευκεδανοῖο] Πευκεδανὸν δὲ κἀνταῦθα, τὸ πικρὸν ὀξυτόνως πρὸς διαστολήν· πευκέδανον μὲν γὰρ προπαροξυτόνως βοτάνη τις οὐκ ἀγαθὴ γεύσασθαι. Ε. — Πικροῦ, ὀλεθρίου· ἀπὸ τῆς πεύκης ἡ μεταφορά· καὶ γὰρ ἡ πεύκη κοπεῖσα, οὐκ ἀνίησι βλαστοὺς, καὶ τὸ δάκρυον αὐτῆς πικρότερόν ἐστι ἢ πίσσα. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 10. Νειόθεν] Ἐκ βάθους κάτωθεν. Σ. — Συγκέκοπται δὲ τὸ νειόθεν, ἐκ πρωτοτύπου τοῦ νειατόθεν. Ε. — Τρομέοντο] Σημειωτέον, ὅτι οὐ τοσοῦτον πρὸς τοὺς βασιλικοὺς στεναγμοὺς εἴληπται ἡ παραβολὴ τῶν ἀστραπῶν, — ἀλλὰ μάλιστα πρὸς μόνον τὸ τοῦ στενάζειν πυκνόν. Ε.

Σ. 11. Ἀθρήσειε] Ἀπίδοι. Σ.

Σ. 13. Ἐνοπήν] Ἦχον, προςληπτέον, τὸ ἀκούων· ἐσημειώσατο δὲ διὰ τοῦ ἤχου, ὅτι παρὰ τοῖς βαρβάροις ἐγιγνώσκετο τὰ ὄργανα ταῦτα. Σ.

Σ. 15. Προθελύμνους] Ἐπ' ἀλλήλους, ἢ προῤῥίζους. Σ. (ἴδ. Ι, 537.).

Σ. 16. Διΐ] Λείπει τὸ, ἀποδυρόμενος. Σ.

Σ. 18. Νέστορ' ἐπὶ πρῶτον] Πάμφιλος δὲ τὴν ἐπὶ ἀναστρέφει· πιθανώτερον δέ ἐστι τὸ ἀκόλουθον φυλάττοντας ἀναγινώσκειν, ἐπὶ πρῶτον Νέστορα· οὕτως ὁ Ἀσκαλωνίτης. Σ. Β.

Σ. 23. Δαφοινόν] Ἴδ. Β, 308.

Σ. 24. Αἴθωνος] Ἴδ. Β, 839.

Σ. 26. Μή τι πάθοιεν] Ἐλλειπτικῶς ἔχει· λείπει γὰρ τὸ, δεδοικότι. Ε.

Σ. 27. Πουλὴν ἐφ' ὑγρήν] Ὡς γὰρ τὸ τραφερὴ (Ξ, 308.) καὶ τὸ ξηρὰ, ἐπὶ γῆς, οὕτως ἐπὶ θαλάσσης τὸ ὑγρή· τὸ δὲ πουλὺν, ἰωνικόν ἐστιν· ὡς γὰρ θῆλυς ἐέρση (Ὀδυσσ. Ε, 467.)· οὕτω καὶ πουλὺς ὑγρὰ, τουτέστι, πολλὴ θάλασσα. Ε.

Σ. 29. Παρδαλέη] Ἴδ. Γ, 17.

Σ. 30. Στεφάνην] Ἴδ. Η, 12.

Σ. 35. Ἀσπάσιος] Εὐκταῖος, ἡδύς. Σ.

Σ. 38. Ἐπίσκοπον] Ὅτι καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς δὲ, ἐπίσκοπον λέγει τὸν στελλόμενον εἰς πολεμίους κατάσκοπον· — λέγεται δὲ καὶ σκοπὸς ὁ αὐτός· — καὶ τὸ ἔργον αὐτοῦ ἐνταῦθα μὲν σκοπιάζειν ἄνδρας δυσμενεῖς, μετ' ὀλίγα δὲ διασκοπιᾶσθαι καὶ πυθέσθαι, ὑφ' οὗ ὁ πευθὴν παρωνόμασται. Ε.

Σ. 43. Χρειὼ βουλῆς ἐμὲ καὶ σέ] Ἔστι δὲ ἀντίπτωσις ἀντὶ τοῦ ἐμοὶ καὶ σοί. Ε.

Σ. 45. Ἐτράπετο φρήν] Ἐπεὶ ὁ Ζεὺς μετετέθη τῇ γνώμῃ, καὶ τοῖς Τρωσὶ βοηθεῖ· πλέον δὲ ταῖς τοῦ Ἕκτορος ἐθεραπεύθη θυσίαις. Σ.

Σ. 48. Ἐπ' ἤματι] Ἐν μιᾷ ἡμέρᾳ. — Μητίσασθαι] Ἐργάσασθαι νῦν. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 50. Οὔτε . . . θεοῖο] Ὅτι φανερῶς ἀποφάσκει ὁ ποιητὴς μὴ θεογενῆ τὸν Ἕκτορα εἶναι, εἰ καὶ ἕτεροι ἄλλα λογοποιοῦσιν, ἐν οἷς καὶ ὁ Λυκόφρων Πτώου πατρὸς μυθευσάμενος ἐκγενέσθαι τὸν Ἕκτορα. (στ. 266). Ε.

Σ. 56. Φυλάκων ἱερὸν τέλος] Ὅτι τὸ τῶν φυλάκων στέφος, τέλος ἱερὸν καλεῖ, ὅ ἐστι τάγμα θεῖον· ἐπειδὴ τοῖς ἄλλοις καθεύδουσιν ἄδειαν αὐτοὶ παρέχουσιν ἐγρηγορότες. Ὅλως γὰρ ἱερὸν εἶναι πᾶν δοκεῖ τὸ τῶν ἀνθρώπων φυλακτικόν· οὕτω καὶ πόλεων τείχη ἱερὰ λέγει· — οἱ μέν τοι γλωσσογράφοι ἱερὸν τὸ μέγα φασί· καὶ ἱερός φασιν ἰχθὺς, (Ἰλιάδ. Π, 407.) ὁ μέγας. Τὸ δε τέλος ἐξαχῶς εὕρηται παρὰ τοῖς παλαιοῖς. Σημαίνει γὰρ τὸ στρατιωτικὸν σύνταγμα, ὡς ἐνταῦθα καὶ τὸ τῶν πραγμάτων πέρας· καὶ τὴν ταῖς πόλεσι φοιτῶσαν πρόσοδον καὶ τὸ ἀξίωμα, ὡς παρὰ Θουκυδίδῃ καὶ Ξενοφῶντι· — δηλοῖ δὲ καὶ δαπάνημα, ὡς Εὐριπίδης μάτην δ' εἰκοστὸν τὸ δ' ἐκβαίῃ τέλος· καὶ τὴν μυστικὴν καὶ οὕτω τελειοποιὸν ἑορτὴν, ὅθεν καὶ ἡ τελετὴ λέγεται, καὶ τὸ τελεῖσθαι, τὸ μυεῖσθαι, καὶ τελούμενοι, οἱ τὰ μυστικὰ διδασκόμενοι· σύστοιχον δὲ τῇ τοιαύτῃ σημασίᾳ καὶ τὸ δηλοῦν τὴν θυσίαν τέλος, οὗ χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ, τέλη ἄκαρπα, ὃ ἀλλαχοῦ διαφῶν, ἔφη, θύματα πάγκαρπα. (Ἠλέκτρ. στ. 634.). Ε.

Σ. 58. Σημαίνει] Προστάσσει, ἄρχει. Σ.

Σ. 62. Αὖθι μένω] Ὅρα κἀνταῦθα τὸ μὲν αὖθι, ἀντὶ τοῦ αὐτόθι ληφθὲν, τὸ δὲ αὖτις, ἀντὶ τοῦ πάλιν, ὅ ἐστιν, ὄπισθεν. Ε. — Διαφέρει τὸ αὖθι τοῦ αὖθις· τὸ μὲν γαρ αὖθί ἐστι τοπικὸν, καὶ ἐπίῤῥημα, καὶ γίνεται ἀπὸ τοῦ αὐτόθι, τοῦτο ἐκ τοῦ αὐτοῦ· — καὶ ὥσπερ ἀπὸ τοῦ ἄγχου γίνεται ἀγχόθι, οὕτω καὶ ἀπὸ τοῦ αὐτοῦ, αὐτόθι, καὶ συγκοπῇ, αὖθι· τὸ δὲ αὖθις σημαίνει πάλιν καὶ μετὰ ταῦτα. Σ. Β.

Σ. 65. Ἀβροτάξομεν] Ἔστι δὲ ἀβροτάζειν ἢ τοῦ βροτοῦ ἀποτυγχάνειν ἐν ὁδῷ, ἢ τὸ ἐν ἀβρότῃ, τουτέστι νυκτὶ ἀποπλανᾶσθαι. Ἐν δὲ παλαιῷ κατὰ στοιχεῖον λεξικῷ γράφεται οὕτως· ἀβρόταξις, ἁμαρτία, διαμφόδησις, καὶ ἀβροτάξομεν, διαμφοδήσομεν, ἁμαρτήσομεν ἀλλήλων. Ε.

Σ. 67. Ἐγρήγορθαι] Ἰστέον δὲ, ὅτι τὸ ἐγρήγορθαι τὰ πλεῖω τῶν ἀντιγράφων προπαροξύνουσιν ὡς αἰολικόν· ἄλλως γὰρ παροξύνεσθαι ὀφείλει· — ἕτεροι δὲ ἐκ τοῦ ἐγρηγορῆσθαι παρακειμένου αὐτὸ συγκεκόφθαι φασίν. Ε.

НБОНУ імені І.І.Мечникова

Σ. 68. Πατρόθεν ἐκ γενεῆς] Πατρόθεν μὲν οὖν τινα προσφωνεῖ τις, ὡς τὸ Λαερτιάδη· ἐκ γενεῆς δὲ, ἤγουν ἐκ προγόνων, ὡς τὸ Διογενές· τὸν γὰρ ἀρχηγὸν τοῦ γένους Δία ἡ λέξις ἐκφαίνει. Ἔτι σώφρονος στρατηγοῦ καὶ τὸ πάντας ἐπαινεῖν· διὸ καί φησιν ὁ βασιλεὺς, πάντας κυδαίνων· ἔτι ἀγαθῆς στρατηγίας καὶ τὸ μὴ μεγαλοφρονεῖν· ὅθεν ἐπάγει· μὴ δὲ μεγαλίζεο θυμῷ· ἤγουν μὴ ἐπαίρου τῷ κατὰ σὲ μεγαλείῳ· ἀγαθοῦ δὲ ὁμοίως ἄρχοντος καὶ τὸ αὐτοδιακονεῖν· οὐκοῦν ἐπιφέρει· ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὅπερ δηλαδὴ ὁ μὴ ποιῶν μεγαλίζεται θυμῷ· δυσωπητικὸν γὰρ τῶν πολλῶν ἡ βασιλικὴ αὐτουργία· καὶ τοίνυν μυριαχοῦ παρὰ τῷ ποιητῇ αὐτουργοῦσιν οἱ βασιλεῖς.— Ἰστέον δὲ καὶ ὅτι δύναται καὶ ἄλλως τὸ πατρόθεν καὶ τὸ ἐκ γενεῆς ἐκ παραλλήλου δηλοῦν τὴν αὐτὴν ἔννοιαν. Ε.

Σ. 79. Ἐπέτρεπε] Ἤγουν οὐκ ἐξεδίδου ἑαυτὸν τῷ γήρᾳ, οὐδ᾽ ἐνικᾶτο ὑπ᾽ αὐτοῦ. Ε.

Σ. 80. Ὀρθωθεὶς —κεφαλὴν ἐπαείρας] Καὶ ὅρα οἷός ἐστι τὴν γραφικὴν ὁ ποιητής· εἴποις γὰρ ἂν ὁρᾷν ἄνδρα καμάτῳ τὰ γυῖα λελυμένον καὶ κεῖσθαι θέλοντα, καὶ ὀκνοῦντα μὲν τὴν ἐξ ὕπνου ἀνάστασιν, διὰ δὲ ἀνάγκην αἰρόμενον· καὶ τῷ μὲν λοιπῷ τοῦ σώματος, κείμενον, τῷ δὲ ἀγκῶνι ὀρθούμενον, καὶ τὴν κεφαλὴν αἴροντα, τυχὸν δὲ καὶ αὐτὴν ὑπανέχοντα καὶ ἐπαναπαύοντα τῇ χειρί. Ε.

Σ. 84. Οὐρήων] Ἡμιόνων· νῦν δὲ φυλάκων. Σ. —Ἀθετεῖται, ὅτι οὐρήων βούλεται λέγειν τῶν φυλάκων, καὶ οὐκ ἐκράτησε τοῦ σχήματος· οὖρον γὰρ λέγει ὡς κοῦρον, τὸν φύλακα· οὐρεα δὲ, τὸν ἡμίονον. Σ. Β.

Σ. 89. Ζεὺς ἐνέηκε] Ὁ Ζεὺς τῇ κακοπαθείᾳ ἐνέβαλε μέχρι τέλους. Σ.

Σ. 91. Πλάζομαι] Πλανῶμαι κατὰ τὴν γνώμην· οἱονεὶ, ἀπορῶ, ὅπως χρήσομαι τοῖς παροῦσι πράγμασιν. Σ. — Ὧδε μόνος, ὡς ὁρᾷς· περιέρχομαι. Σ. Β. — Ὧδ᾽] Τὸ δὲ ὧδε, ἀντὶ τοῦ οὕτως, καὶ νῦν, ὡς καὶ πανταχοῦ τῆς Ὁμηρικῆς ποιήσεως· οὐδέποτε γάρ φασιν ὁ ποιητὴς τοπικὸν οἶδε τὸ ὧδε. Ε.

Σ. 94. Ἔμπεδον] Τὸ δὲ ἔμπεδον καταχρηστικῶς νῦν εἴρηται· κυρίως γὰρ τὴν ἐν τῷ πέδῳ θέσιν ἡ λέξις δηλοῖ. —Ἀλαλύκτημαι] Τὸ δὲ ἀλαλύκτημαι, παθητικός ἐστι παρακείμενος ἀττικὸς, ἀπὸ τοῦ ἀλύσσω, ἔχων ἐνεστῶτα τὸ ἀλυκτῶ, καθ᾽ ὁμοιότητά τινα τοῦ τάσσω, ἄτακτος, ἀτακτῶ· καὶ ἔστι λέξις ποιηταῖς φίλη, οὐ

НБ ОНУ імені І.І. Мечникова

μὴν πεζολόγοις· καὶ ἄλλως δὲ εἰπεῖν, ἀπὸ τοῦ ἀλαλύκτημι ἐςὶ παθητικὸς ἐνεστώς. Σημαίνει δὲ τὸ δυσχεραίνειν καὶ ἀδημονεῖν. Ε. — Τεθορύβημαι, ἠπόρημαι. Σ.

Σ. 95. Στηθέων ἐκθρώσκει κ.τ.λ.] Τὸ δὲ ῥηθὲν ἐκπήδημα τῆς καρδίας ὑπερβολὴν ἔχει ἐναγωνίου πατάγου ἢ καρδιωγμοῦ. Ε.

Σ. 96. Δραίνεις] Ἐπινοεῖς, δρᾶσαι δύνασαι. Σ. — Ὅτι τὸ δραίνειν ἀντὶ τοῦ πράττειν ἐκ τοῦ δρῶ, καθ' ὁμοιότητα τοῦ ῥῶ ῥαίνω· — καὶ σημείωσαι, ὅτι ἐκ τούτου ἀδρανής, ὁ μὴ δραίνειν δυνάμενος, καὶ ἀδράνεια, ἡ ἀσθένεια τοῦ δρᾷν· οἱ δὲ παλαιοὶ δραίνειν λέγουσι τὸ ἀγρυπνεῖν· — διὸ ὁ ποιητὴς ἐπάγει· ἐπεὶ οὐ δέ σέ γ' ὕπνος ἱκάνει. Ε.

Σ. 98. Ἀδδηκότες] Ἔστι τὸ μὲν ἀδδηκότες ἀντὶ τοῦ κορεσθέντες, ἐπεὶ καὶ ἄδος ὁ κόρος κατὰ τοὺς παλαιούς· ἢ καὶ ἄλλως, ἀηδισθέντες. Ε. — Ὑπὸ τοῦ κόπου ἀηδῶς διακείμενοι, ὀκνήσαντες. Σ.

Σ. 99. Ἐπὶ πάγχυ] Παντελῶς ληθαργήσωσι. Σ.

Σ. 101. Μενοινήσωσι] Προθυμηθῶσιν· τοῦτο προσκαίρως εἴρηκεν ὁ Ἀγαμέμνων, ἕνεκα τοῦ ἐκπλῆξαι τὸν Νέστορα, ἐπεί τοι οὐκ ἦν ἔθος αὐτοῖς νυκτὸς πολεμεῖν. Σ.

Σ. 110. Αἴαντα ταχύν] Τὸν Ὀϊλέως· καὶ γὰρ ἐν ἄλλοις φησί. — Ὀϊλῆος ταχὺς Αἴας. Σ. — Φυλέος υἱόν] Τὸν Μέγητα. Σ.

Σ. 111. Ἀλλ' εἴ τις] Ὅτι καὶ ἐν τῷ, ἀλλ' εἴ τις καὶ τούς δε καλέσειεν, ἤγουν τὸν Αἴαντα καὶ τὸν Ἰδομενέα, ἢ παρακελευσματικόν ἐστι τὸ εἰ, οἷον, ἀλλ' ἄγε τις καὶ τούς δε καλεσάτω· ἢ ἔλλειψιν ἔπαθεν, ὡς εἴπερ ἔφη, ἤθελον εἴ τις καὶ τούτους ἐκάλεσεν. Ε.

Σ. 114. Φίλον περ ἐόντα] Χαρίεν τὸ τῆς ὑποθέσεως· ὅπερ γὰρ εὑρίσκεται ἤδη πεποιηκὼς Μενέλαος, περὶ αὐτοῦ μέμφεται. Σ. Β.

Σ. 120. Αἰτιάασθαι] Ὅτι Νέστορος αἰτιασαμένου τὸν Μενέλαον, ὡς ὑπνηλὸν καὶ μὴ ἐθέλοντα πονεῖσθαι, ὁ ἀδελφὸς βασιλεὺς οὔτε καθάπαξ ἐκείνου ὑπεραπολογεῖται, ἵνα μὴ ἀντιβαίνῃ τῷ καὶ φίλῳ καὶ λογιωτάτῳ Νέστορι, οὔτε αὖ ψέγει, φιλάδελφος γάρ ἐστιν, ὡς εἰκὸς, ἀλλὰ δεξιῶς τὸν λόγον κιρνᾷ, καὶ τὸ δοκοῦν ἁμάρτημα τοῦ ἀδελφοῦ, εἰς ἐγκώμιον πειθαρχίας ἀντιπεριϊστᾷ, λέγων, ὅτι ὁ δοκῶν ἐκείνου ὄκνος, εὐλάβειά ἐστι δι' ἐμέ. Ε. — Ἄλλοτε] Ἐν ἄλλῳ καιρῷ. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 121. Μεθίει] Ἀμελεῖ. Σ.

Σ. 122. Οὔτ' ὄκνῳ—οὔτ' ἀφραδίῃσι] Ἔνθα καὶ ὅρα, ὡς γνωματεύει ὁ ποιητής, ὅτι τὸ μὴ ἐθέλειν πονεῖσθαι, ἢ διὰ ὄκνον ἐγγίνεται, ἢ διὰ ἀφροσύνην, ὃ δηλοῦται διὰ τοῦ ἀφραδίῃσιν. Ε.

Σ. 127. Ἵνα γάρ σφιν] Ὅτι τὸ ἵνα οὐ μόνον αἰτιολογικὸν δηλοῖ σύνδεσμον, ἔτι δὲ καὶ ἐνδοιαστικὸν, ὡς ἐν τῷ, ἵνα μὴ ῥέξομεν ὧδε (Η, 353.), ἀντὶ τοῦ ἐὰν μὴ ῥέξωμεν οὕτως, ἀλλὰ καὶ ἐπίῤῥημα τόπου δηλωτικόν· τοῦτο δὲ διχῶς· οὐ γὰρ μόνον τὸ ὅπου κοινότερον, ἀλλὰ καὶ ἀσυνηθέστερον τὸ ἐκεῖ· φησὶ γοῦν ἐνταῦθα, ἵνα γάρ σφιν κ. τ. λ. ἀντὶ τοῦ ἐκεῖ αὐτοῖς εἶπον συναχθῆναι. Ε.

Σ. 133. Περονήσατο] Ὅ ἐστι περόναις ἤγουν κομβίοις συνέδησε. Ε. — Πόρπῃ συνέλαβεν, ἐνεπορπώσατο. Σ.

Σ. 134. Διπλῆν ἐκταδίην] Τὴν μεγάλην, ὥστε καὶ διπλῇ αὐτῇ χρώμενον ἔχειν ἐκτεταμένην. Σ. — Ἐκταδίην] Ἤτοι ὡς εἰπεῖν, ποδηνεκῆ καὶ αὐτήν. Ε. — Οὔλη] Τριφρὰ (ἀνάγν. τρυφερὰ), ἡ ἁπαλή. Σ. — Ἐπενήνοθεν] Ἐπήνθει, ἐπέκειτο. Σ. — Τὸ δὲ ἐπενήνοθεν, ὅτι κεῖταί ποτε καὶ ἀντὶ τοῦ ἐπέθεε καὶ ἐπέτρεχε. Ε. (Ἴδ. Β, 219). — Λάχνη] Λάχνη δέ ἐστιν, οὐκ αὐτόχρημα θρὶξ, ἀλλὰ τρίχωσις, δασύτης τριχοειδής. — Λάχνην δὲ ἔχει καὶ ἡ ἀλώπηξ καὶ τοιαῦτα ζῶα. Ε.

Σ. 135. Εἵλετο—ἔγχος] Χειρίζεται δὲ καὶ δόρυ ὁ γέρων εἰς μηδὲν δέον, οἷα πάλαι ποτὲ πολεμικὸς, καὶ μὴ ἔχων ἀπομαθεῖν τὸ ἐσθλὸς εἶναι. Ε.

Σ. 139. Ἰωὴ] Ὅτι περίφρασις τοῦ ἤκουσε, τὸ, περιῆλθε τὰς φρένας ἡ ἰωή· ἔστι δὲ ἰωὴ, ἡ φωνή· δοκεῖ δὲ ἡ λέξις κεῖσθαι καὶ ἐπὶ ἁπλῶς ἤχου. Ε. (Ἴδ. Δ, 276).

Σ. 142. Ὅ, τι δὴ χρειώ] Τουτέστι τί δή ποτε τοσοῦτον χρέα κατείληφεν; Ε.

Σ. 152. Ὑπὸ κρασίν] Στρατιωτικῶς δὲ τοῖς αὐτοῖς ὅπλοις χρῶνται, καὶ πρὸς πόνους καὶ πρὸς ἀνάπαυλαν. Σ. Β.

Σ. 153. Σαυρωτῆρος] Σαυρωτὴρ δέ ἐστι τὸ ἀπολῆγον μέρος τοῦ δόρατος, ὅπερ ἀντίκειται τῇ αἰχμῇ, ὃν καὶ οὐρίαχον καλοῦσιν· — καὶ τὴν δορατοδόκην. Σ. Β. (Ἴδ. Ἀπολλόν. σελ. 594.). — Ἐλήλατο] Ἐπεπήγει, ἵστατο εἰς τὴν γῆν. Σ.

Σ. 155. Ῥινόν] Βύρσαν. Σ. (Ἴδ. Η, 474). — Ἀγραύλοιο] Τοῦ ἐν ἀγρῷ αὐλιζομένου. Σ.

Σ. 156. Τάπης] Ἴδ. Ι, 200.

Σ. 158. Λὰξ ποδὶ κινήσας] Εὐτόνως τῷ μεγάλῳ δακτύλῳ τοῦ ποδὸς τοῦ κοίλου μέρους ἀψάμενος τοῦ Διομήδους ποδός. Σ. — Ἔστι δὲ λὰξ ποιότητος ἐπίῤῥημα, καὶ δηλοῖ τὸ ληκτικῶς, ἤγουν τῷ λήγοντι μέρει τοῦ ποδὸς, ὅ ἐστι τοῖς δακτύλοις, ἢ καὶ τῷ πέλματι· καὶ ἔστι τὸ, ποδὶ, ἑφερμηνευτικὸν τοῦ λάξ· — ἔστι δὲ καὶ ἄλλως λὰξ κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ τῷ ὑποκάτω μέρει τῶν τοῦ ποδὸς δακτύλων· καθ᾽ ἑτέρους δὲ τὸ, μόνῳ τῷ μεγάλῳ δακτύλῳ τοῦ ποδός. Ε.

Σ. 159. Ἀωτεῖς] Ὅτι τῷ ἀωτεῖν ἔγκειται τὸ ἄωτον, ὅπερ ἐστὶν ἄνθος, ἵνα ᾖ ἀωτεῖν ὕπνον, τὸ ἀπανθίζειν· τοῦτο δὲ διὰ τὸ καθ᾽ ὕπνον ἡδὺ, καὶ οἷον ἀνθηρόν. Ε.

Σ. 160. Ἐπὶ θρωσμῷ] Τόπος ἐστὶν ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τοῦ Ἰλίου· ὃ ὀνομαστικῶς καλεῖται θρωσμός· ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, εἴποτε τῆς πόλεως ἔξω τάσσοιντο. Σ.

Σ. 164. Σχέτλιός ἐσσι] Ὅτι τὸ σχέτλιος οὐχ ὑβριστικὴ λέξις, ἀλλὰ καρτερίας, ὅ ἐστι φερεπονίας σημαντικὴ, ἵνα δηλοῖ τὸν ἀνασχέσθαι καὶ τλῆναι δυνάμενον· διὸ καὶ εἰς ἑρμηνείαν ἐπῆκται τὸ, σὺ μὲν πόνου οὔποτε λήγεις· — λέγεται οὕτω καὶ ὁ ἐπέκεινα τοῦ δέοντος εἴς τι ὁρμῶν, καὶ πάνυ δραστήριος. Ε.

Σ. 167. Ἀμήχανος] Ὅ ἐστιν ἀνίκητος, ἀνένδοτος, καθ᾽ οὗ οὐκ ἔστι τι μηχανήσασθαι. Ε. — ἢ κακοπίαστος (ἀνάγνωθ. ἀκοπίαστος) καὶ πρὸς πάντα ἕτοιμος. Σ. Β.

Σ. 173. Ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς] Ὅτι παροιμιῶδες τὸ, νῦν γὰρ κ. τ. λ. ἀντὶ τοῦ, νῦν ἐν κινδύνῳ ἐστὶ τὰ καθ᾽ ἡμᾶς, καὶ οἷον ἐπ᾽ αὐτῇ τῇ ὀξύτητι καὶ τομῇ τοῦ ξυροῦ. Σοφοκλῆς δὲ παραφράζων αὐτὸ, εἶπε· ξυρεῖ γὰρ ἐν χρῷ (Αἴας 786.)· ἐλήφθη δὲ ἡ παροιμία ἐκ τῶν τραυμάτων, ἃ τομῆς ἤδη δέονται. Ἐπεὶ δὲ ὁ ξυρὸς ὡς τὰ πολλὰ ὀργανόν ἐστιν ἢ σαρκῶν τομῆς, ἢ τριχῶν, ἐνενοήσαντο μεταλαβόντες οἱ νεώτεροι ἐπὶ κινδύνων ἐξ αὐτοῦ, παροιμίας ἑτέρας δύο· ποτὲ μὲν πήματα λέγοντες τομῶντα, τὰ τομῆς δεόμενα· ποτὲ δὲ, τριχὸς φάσκοντες ἠρτῆσθαι τὰ πράγματα· ἐξ οὗ παραποιήσας ὁ Θεόκριτος, ἔφη τὸ. θρὶξ ἀνὰ μέσον (Εἰδυλλ. ΙΔ, 9.) οὗ τό. Ε. — Τὰ πράγματα ἡμῶν τριχὸς ἤρτηται, ὅ ἐστιν ἐν ἐσχάτῳ κινδύνῳ ἐστὶ, καὶ ἐπὶ ὀξύτητος κινδύνου. Σ.

Σ. 176. Εἴ μ᾽ ἐλεαίρεις] Τουτέστιν, ἐπειδὴ ἐλεεῖν με φῄς. Ε.

Σ. 183. Δυσωρήσονται] Τὸ δὲ δυσωρεῖν δηλοῖ τὸ δυσφυ-



НБ ОНУ імені І.І.Мечникова

λακτεῖν, ἤγουν κακοπαθεῖν ἐν τῷ φυλάσσειν, ὡς ὁ ποιητὴς ἑρμηνεύει παραφράσας ἐν τῷ, νύκτα φυλασσομένοισι κακὴν (στ. 188.)· ὡρεῖν δὲ τὸ φυλάσσειν. Ε.

Σ. 185. Ὀρυμαγδός] Ἐνταῦθα κυριολεκτεῖται, εἰς δήλωσιν ὀνοματοποιηθὲν τοῦ ἐν ὄρεσι θορύβου. Ε.

Σ. 192. Οὕτω νῦν, φίλα τέκνα] Τεχνικῶς διὰ τοῦ παραγγεῖλαι αὐτοῖς ὁμοίως φυλάττειν, ἐπῄνεσέ τε ἅμα καὶ προσέταξεν ἀνεπιφθόνως. Σ. Β.

Σ. 194. Τάφροιο διέσσυτο] Διέβη διὰ τῆς τάφρου, ἵνα μὴ θόρυβος ἐν τῷ στρατοπέδῳ γένηται, τὴν μὲν σύνοδον ὁρώντων, τὴν δὲ αἰτίαν ἀγνοούντων, ἵνα μὴ γνῶσιν, ὅτι κατάσκοποι πέμπονται, ἢ εἰς εὐθυμίαν τῶν κατασκόπων, ἵνα ἀφοβώτεροι τυγχάνωσιν ἐγγὺς ὄντων. Σ. Β.

Σ. 197. Συμμητιάασθαι] Κοινῇ γνώμῃ σκέψασθαι. Σ.

Σ. 200. Ἀπετράπετ'] Τὸ δὲ ἀπετράπετο διαφορὰν ἔχει τινὰ πρὸς τὸ ἁπλῶς τρέπεσθαι· αὐτὸ μὲν γὰρ ἀκούσιόν ἐστιν ὡς τὸ πολλὰ ἐν πολέμῳ. Ἕκτωρ δὲ ἀβίαστος ἀπετράπετο, οὐχ καὶ νικῶν, εἰ μὴ ἄρα καὶ αὐτὸν ἡ νὺξ ἄκοντα ἔτρεψε. Τὸ δὲ ἀποτραπέσθαι μετ' ὀλίγα καὶ ἂψ ἀναχωρῆσαι ὁ ποιητὴς ἐρεῖ. Ε. (ἰδ. Ι, 490.).

Σ. 201. Περὶ νὺξ ἐκάλυψεν] Τὴν γῆν δηλαδὴ, καὶ τὰ περὶ γῆν. Ε.

Σ. 206. Ἐσχατόωντα] Ἔσχατον, ὑπολειπόμενον, πεπλανημένον, καὶ περὶ τὰ ἔσχατα μέρη διατρίβοντα. Σ.

Σ. 212. Ἀσκηθής] Ἀβλαβὴς, ὑγιής. Σ.

Σ. 216. Ὑπόῤῥηνον] Ὕπαρνον, ἔγγυον· ῥῆνες γὰρ, οἱ ἄρνες. Σ.

Σ. 217. Εἰλαπίνῃσι] Ἑορταῖς ὅτι κατὰ ἴλας πίνουσι. Σ.

Σ. 224. Σύν τε δύ' ἐρχομένω] Τουτέστι σύνδυο ἐρχομένων, ἢ δύο συνερχομένων ἀνδρῶν, τάχα ἂν οὗτος πρὸ τούτου νοήσῃ τι δέον· — λέγει δὲ καὶ ἡ παροιμία, εἷς ἀνὴρ οὐδεὶς ἀνήρ· διὸ καὶ ὁ Δόλων μόνος εἰς κατασκοπὴν μετ' ὀλίγα σταλεὶς, κινδυνεύσει· καὶ εἶχε μὲν ὁ ποιητὴς ἀπροσκόπτως εἰπεῖν, σύν τε δύ' ἐρχομένων· εἵλετο δὲ καὶ νῦν — συνεξαλλάξαι τὸ σχῆμα καινότερον. Ε. — Συνερχομένων γὰρ δύο ὁμοῦ· καὶ κοινῶς ὁ ἕτερος πρὸ τοῦ ἑτέρου ὑπενόησέ τι κοινωφελὲς καὶ συμφέρον. Σ.

Σ. 225. Κέρδος] Ὠφέλεια. Σ.

Σ. 226. Βράσσων τε νόος] Τὸ δὲ βράσσων ἅπαξ μὲν ἐνταῦθα εἴρηται τῷ ποιητῇ, δηλοῖ δὲ κατὰ τοὺς γλωσσογράφους, τὸν βραδὺν, ἢ τὸν βραχύν· ἀπὸ τοῦ βραδὺς βραδίων

НБ ОНУ імені І.І. Мечникова

βράσσων· ἢ ἀπὸ τοῦ βραχὺς βραχίων βράσσων, ὡς ἐλαχὺς ἐλαχίων ἐλάσσων, παχὺς παχίων πάσσων. —Λεπτὴ δέ τε μῆτις] Τὸ δὲ λεπτὴ μῆτις, ἤγουν ἀσθενής, ἢ ἐκ μεταφορᾶς εἴληπται σχοίνων ἀδρανῶν, ἢ καὶ ἀπὸ λειποσάρκων, καὶ οὕτως ἰσχνῶν σωμάτων, ἃ ὡς ἐπιπολὺ ἀσθενέστερα τῶν παχυτέρων εἰσί. Ε.

Σ. 233. Ὀπάσσεαι] Τὸ δὲ ὀπάσσεαι ἦν καὶ ἀπαρεμφάτως εἰπεῖν, πρὸς ἀκολουθίαν τοῦ καλλείπειν. Ἔστι δὲ νῦν ὀπάζεσθαι, οὐ τὸ παρέχειν, ἀλλὰ τὸ προσλαμβάνεσθαι εἰς ὀπαδόν. Ε.

Σ. 239. Εἰς γενεὴν ὁρόων] Ἀντὶ τοῦ εἰς τὴν εὐγένειαν ἀφορῶν. Σ.

Σ. 240. Ἔδδεισε περὶ Μενελάῳ] Δεῖλον, ὡς τὰ τῷ δέει σύστοιχα ῥήματα τὴν περὶ πρόθεσιν δοτικῇ συντάσσουσιν· — ἐφ' ὧν ἡ περὶ πρόθεσις, ὡς ἰσοδυναμοῦσα τῇ ἐπὶ, τὴν δοτικὴν ἔχει σύνταξιν. Ε.

Σ. 244. Πρόφρων κραδίη κ. τ. λ.] Ἐν δὲ τοῖς ῥηθεῖσιν ὅρα καὶ τὸ σεμνὸν καὶ εὐπαίδευτον τοῦ ἥρωος· αὐταρκῶν γὰρ ἑαυτῷ τὰ εἰς ἀνδρίαν, οὐχ ὡς ἀνδρειότερον τῶν ἄλλων ἐπιλέγεσθαι τὸν Ὀδυσσέα φησὶν, ἀλλ' ὡς φίλον Ἀθηνᾷ, ἤγουν ὡς φρονιμώτερον, ὃ καὶ οἱ ἄλλοι ἂν ὁμολογήσαιεν Ἕλληνες, καὶ οὐδὲ ὁ Νέστωρ ἀκούων δυσχερανεῖ. Ε.

Σ. 249. Μάλ' αἴνεε κ. τ. λ.] Δῆλός ἐστιν ὁ ποιητὴς ἀρχὴν τοῦ ἀποφθέγματος σοφῷ Πιττάκῳ δεδωκὼς εἰπόντι τὸ μηδὲν ἄγαν· Ἄλλο γὰρ οὐδὲν δηλοῖ τὸ τοῦ ποιητοῦ ἢ τοῦτο. — Ἀριστέως δὲ τὸ θέλειν μὲν εὐφημίαν, οὐκ ἀνέχεσθαι δὲ αὐτῆς· περισσὸς γὰρ ὁ μεταξὺ τῶν φίλων ἔπαινος. Σ. Β.

Σ. 251. Ἄνεται] Ἀνύεται, τελειοῦται. Σ.

Σ. 252. Ἄστρα δὲ δὴ προβέβηκε] Ἁπλῶς φησι πάντα τὰ ἄστρα συγκαταδυόμενα τῷ ἡλίῳ, καὶ συνανατέλλοντα κατὰ τὸ δεύτερον· τὸ δὲ προβέβηκε δηλοῖ προκεχώρηκεν εἰς δύσιν· ὥσπερ καὶ ἡμεῖς λέγοντες τὸ πολὺ προῆλθε τῆς ἡμέρας, τὸ εἰς δύσιν προελθεῖν λέγομεν· — φαίνεται δὲ ἐκ τούτων Ὅμηρος καὶ σφαιροειδῆ τὸν κόσμον εἰδώς· οὐ γὰρ οἷόν τε τὰ μὲν δύνειν, τὰ δὲ ἀνατέλλειν μὴ οὐχὶ ὑπὸ γῆν τοῦ ἡλίου φερομένου καὶ ὑπὲρ γῆν ἀνίσχοντος. Σ.

Σ. 253. Τριτάτη δ' ἔτι μοῖρα λέλειπται] Ὥσπερ τὴν ἡμέραν εἰς τρία μέρη διεῖλεν· ἐν οἷς φησιν ἔσσεται ἢ ἠὼς, ἢ δειλὴ, ἢ μέσον ἦμαρ, οὕτως καὶ τὴν νύκτα εἰς τρία διεῖλεν· — τετελεσμένων οὖν τῶν δύο μοιρῶν, λειπομένης δὲ τῆς τρίτης, εἰκότως

φησὶν ὡς παρῆλθε τὸ πλεῖον ἡ νὺξ οὖσα μοιρῶν δύο· πλεῖον γὰρ μέρος εἰσὶ τῆς ὅλης νυκτὸς αἱ δύο. Σ.

Σ. 254. Δεινοῖσιν] Δέος ἐμποιοῦσι, φοβεροῖς. Σ.

Σ. 256. Ἄμφηκες] Ἀμφοτέρωθεν ἠκονημένον. Σ.

Σ. 258. Ἄφαλος] Ἴδ. Γ, 362. καὶ Ε, 743. — Ἄφαλον δὲ καὶ ἄλοφον ταυρείην ὁ Διομήδης φορεῖ, ὡς ἂν φασιν ἔχοι λανθάνειν· οὐ μόνον γὰρ ἀλαμπὴς ἡ τοιαύτη, ἀλλὰ καὶ χθαμαλής, ὡς μὴ ἔχουσα λόφον, ἤτοι τρίχωσιν· διὸ καὶ καταῖτυξ καλεῖται, παρὰ τὸ κάτω τετύχθαι. Ε. — Ἀπὸ τοῦ κάτω τετύχθαι, καὶ μὴ ἔχειν λόφον, ἀλλὰ κοίλην εἶναι. Σ.

Σ. 262. Ἔντοσθεν ἱμᾶσιν] Οἱ δὲ ἔντοσθεν αὐτῆς ἱμάντες οὐχ οὕτω διὰ τὸ δυσδιάλυτον ἦσαν ἐκεῖ, ἀλλ᾽ ἵνα μᾶλλον συνδέωσι τοὺς ἔκτοσθεν κατὰ τὴν ἐπιφάνειαν ὀδόντας, τῶν ἄκρων ἐνιεμένων ἐντός· — ἔξω μὲν ἐρειδομένων ἐγγὺς ἀλλήλων τῶν ὀδόντων, ἐντὸς δὲ δεσμουμένων στερεῶς. Ε.

Σ. 265. Πῖλος] Τὸ πεπιλημένον ἔριον. Σ. — Ὁ δὲ περὶ μέσην αὐτὴν ἡρμοσμένος πῖλος ἐκώλυε τὰ τῶν ὀδόντων ἄκρα ἐντὸς προκύπτοντα λυπεῖν τὴν κεφαλήν. Ἰστέον δὲ καὶ ὅτι πάσῃ μὲν περικεφαλαίᾳ κατὰ τοὺς παλαιοὺς συμβέβηκε πῖλον ἔχειν ἐντός, οἱ δὲ νεώτεροι, ὡς ἴδιόν τι ἀκούσαντες ἐνταῦθα τὸ τοῦ πίλου, ἔπεισαν τοὺς ζωγράφους πιλίον περιτιθέναι τῷ Ὀδυσσεῖ· καὶ τοῦτο πρῶτός φασιν ἐποίησεν Ἀπολλόδωρος ὁ σκιαγράφος. Ε.

Σ. 266. Ἐξ Ἐλεῶνος] Ἴδ. Β, 500. — Ἀμύντορος] Ἴδ. Ι, 448.

Σ. 267. Αὐτόλυκος] Αὐτόλυκος υἱὸς Ἑρμοῦ καὶ Τηλαύγης θυγατρὸς Ἑωσφόρου, δῶρον ἔχων παρὰ τοῦ πατρὸς Ἑρμοῦ, οἷα ἐφόρου τῆς κλεπτικῆς, οὐ μόνον τὸ κλέπτειν, ἀλλὰ καὶ τὸ ἀμείβειν τὰς τῶν κλεπτομένων ζώων ἰδέας. Ε. (ἴδ. Ἀπολλόδ. σελ. 180.) — Ἀντιτορήσας] Ἀντὶ τοῦ διατρήσας, τοιχωρυχήσας. Σ.

Σ. 268. Σκάνδειαν] Τὸ δὲ Σκάνδειαν λείπεται προθέσεως, ἵνα ᾖ, κατὰ Σκάνθειαν· τινὰ δὲ τῶν νεωτέρων ἀντιγράφων, καὶ οὐ πάνυ ἀκριβῶν, Σκανδείας γράφουσιν, ἀντὶ τοῦ ἐν Σκανδείᾳ. Ἔστι δὲ ἡ Σκάνδεια ἐπίνειον Κυθήρων. Τὰ δὲ Κύθηρα νῆσός φασι πρὸς τῇ Κρήτῃ, ἔχουσα πόλιν ὁμώνυμον, ἀπό τινος Κυθήρου κληθεῖσαν· — ἱστορεῖται δὲ καὶ Πορφυροῦσα ἡ τοιαύτη νῆσός ποτε κληθῆναι, διὰ τὸ κάλλος τῶν ἐν αὐτῇ πορφυ-

НБ ОНУ імені І.І. Мечникова

ρῶν· καὶ ἔστι πιθανὸν, τὸν Κυθήριον ἄνδρα, τῷ ἐκ τῆς ἐγγὺς Κρήτης νήσου Μόλῳ δοῦναι ξένιον. Ε. — Κύθηρα] Νῆσος τῆς Λακεδαίμονος. Σ.

Σ. 275. Οὐκ ἴδον] Δηλοῖ, ὅτι οὐκ ὀφθήσονται μὲν, εἴσονται δὲ τὰ τῶν πολεμίων ἐκ τῆς φωνῆς Δόλωνος. Σ. Β.

Σ. 277. Χαῖρε δὲ τῷ ὄρνιθι] Τουτέστι τῷ σημαντικῷ τοῦ μέλλοντος οἰωνῷ· ἀγαθὸν γὰρ σημεῖον τοῖς ἐνεδρεύουσιν ὁ ἐρωδιὸς, ὥς φησιν Ἕρμων· — νυκτὸς δὲ ἀγρεύει ὁ ἐρωδιὸς ἐν ὕδασι καὶ ἕλεσι, καὶ ἁρπακτικός ἐστι· διὸ οὐ γλαῦκα ἡ Ἀθηνᾶ ἐπιπέμπει, τὴν αὐτῇ ἀνακειμένην, ἀλλ' ἐρωδιὸν, οἰκεῖον ὄντα τοῖς περὶ Σκάμανδρον ἑλώδεσι τόποις. — Τρία φησὶ ὁ Ζώπυρος γένη ἐρωδιῶν, πελλὸς, ὃς καὶ ἔστιν ἅρπαξ· πύγαργος, ὃς ἐν συνουσίαις αἱμοῤῥαγεῖ δι' ὀφθαλμῶν· καὶ τρίτος, ὁ ἀφροδίσιος. Σ.

Σ. 280. Κινύμενος] Κινούμενος, ἐπὶ πρᾶξιν ὁρμῶν. Σ. Κινύμενος· ὅ ἐστι κατὰ νοῦν κινούμενος, καὶ διαλογιζόμενος· οὕτω γὰρ οἱ ἀκριβέστεροι τῶν παλαιῶν λέγουσι· — παραγωγόν ἐστι ἀπὸ τοῦ κινῶ κινύω κίνυμι. Ε. (Ἴδ. Σοφοκλ. Αἴας 16. 34.).

Σ. 281. Ἐϋκλείας] Εὐκλεῖας προπερισπαστέον· ἐκ γὰρ τοῦ εὐκλέας ἐγένετο κατ' ἐπένθεσιν τοῦ ῑ· λέγει γὰρ δὸς ἡμᾶς εὐκλεεῖς καὶ ἐνδόξους κ. τ. λ. Σ. Β.

Σ. 282. Μέγα ἔργον] Ἀρίσταρχος δέ φησι τὸ φονεῦσαι Ἕκτορα. Σ.

Σ. 285. Σπεῖό μοι] Ἕπου, συνακολούθησον. Σ.

Σ. 286. Πρὸ Ἀχαιῶν] Ἰστέον δὲ, ὅτι ἐν τῷ, πρὸ Ἀχαιῶν ἄγγελος ᾖει, ἡ πρὸς πρόθεσις, ἢ ἀντὶ τῆς ὑπὲρ νοεῖται, ἵνα λέγῃ, ὅτι ὑπὲρ Ἀχαιῶν ἐπρέσβευεν· ἢ τοπικῶς, ἵνα δηλοῖ, ὅτι προώδευε τῶν Ἀχαιῶν, καὶ Ὁμηρικῶς εἰπεῖν, πρὸ ὁδοῦ ἐγίνετο, ἀφ' οὗ φροῦδος γίνεται. Ε.

Σ. 287. Ἐπ' Ἀσωπῷ] Ἴδ. Β, 572.

Σ. 288. Μειλίχιον μῦθον] Ὁ δὲ Τυδεύς φησι προσηνῆ καὶ πρᾷον λόγον ἔφερε τοῖς Θηβαίοις· ἀπῄει γὰρ προκηρυκευσόμενος περὶ διαλύσεων καὶ εἰρήνης. Σ.

Σ. 289. Ἄψ ἀπιὼν] Ἀπιὼν δὲ δεινὰ ἐβουλεύσατο, οἷα κερδιώξας ἐφ' οἷς οὐδὲν ἤνυσε, πρεσβεύσας εἰς αὐτούς· — μάλα δὲ μέρμερα ἔργα, ὅσα τε ἐντὸς Θηβῶν ἔδρασεν ὁ Τυδεὺς ἀεθλεύων καὶ νικῶν, καὶ ὅσα ἔξω εἰς τοὺς πεντήκοντα κούρους. Ε. — Μήσατο] Ἐβουλεύσατο, διεπράξατο. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 290. Πρόφρασσα] Πρόφρων, πρόθυμος. Σ.

Σ. 292. Ἦνιν] Τὴν δὲ ἦνιν, ὃ δηλοῖ ἐνιαυσιαίαν, ἐν ἐκτάσει τῆς ληγούσης οἴδασιν οἱ παλαιοί. Ε.

Σ. 298. Ἀμφόνον, ἀνέκυας] Διὰ τοῦ φόνου καὶ τῶν νεκρῶν. Σ. — Καὶ ὅρα συντομίαν τῆς τε παραβολῆς καὶ τοῦ λοιποῦ λόγου, τεχνασθεῖσαν πρὸς ὁμοιότητα τῆς τῶν ἡρώων ἐπείξεως καὶ ἐντρεχείας ὅρα δὲ καὶ τὸ κάλλος τῆς φράσεως, ἐπισκιρτῶντος οἷον τοῦ ποιητοῦ, καὶ τῇ τῶν κατασκόπων εὐψυχίᾳ συνεξορμῶντος, καὶ μιμουμένου τὸ ἐκείνων εὔθαρσὲς καὶ εὐκίνητον· οἱ δὲ παλαιοί φασιν, καὶ ὅτι ἐπαινεῖται τοῦ Ξενοφῶντος τὰ τοιαῦτα· ἐπεὶ δ' ἔληξεν ἡ μάχη, παρῆν ἰδεῖν, τὴν μὲν γῆν, αἵματι πεφυρμένην· νεκροὺς δὲ κειμένους· δόρατα παρατεθραυσμένα· ἐγχειρίδια γυμνὰ κολεῶν· τὰ μὲν χαμαί, τὰ δὲ σώμασιν ἐμπεπηγότα. (ἴδ. Ἀγησιλ. κεφ. Β'. 14.) ταῦτα δὲ συλλαβὼν φησιν Ὅμηρος, ἐνὶ στίχῳ ἀπήγγειλεν. Ε.

Σ. 300. Ἄμυδις] Ὁμοῦ, εἰς τὸ αὐτό. Σ. — Ὁ μὲν Ἕκτωρ θορυβώδης καὶ ἀλαζὼν ὤν, πάντας ἀνοήτως συγκαλεῖ τοὺς ἀρίστους· οἱ δὲ Ἕλληνες, βραχεῖς. Σ. Β.

Σ. 305. Ἐριαύχενας ἵππους] Ἐριαύχενες δὲ ἵπποι κατά τι ἐξαίρετον, πρὸς διαστολὴν ἡμιόνων καὶ ὄνων, οὗτοι γὰρ οὐ τοιοῦτοι· εἰ δὲ καὶ δουλιχόδειροι οἱ τοιοῦτοι, ἀλλ' αὐτὸ, οὐχ ἵπποις, κύκνοις δὲ καὶ τοιούτοις ὄρνισιν ἀποκεκλήρωται· ἐπὶ εὐγενῶν δὲ ὁμοίως ἵππων καὶ τὸ ὑψαυχενεῖν· καὶ ἄλλως δὲ εἰπεῖν, ἐριαύχενες, οἱ μακροτράχηλοι, ἢ ὑψαύχενες καὶ γαῦραι τὴν χαίτην. Ε. — Καὶ ἐνταῦθα δὲ τὸ ἀσύνετον τοῦ Ἕκτορος φαίνεται, ὑπισχνουμένου τοὺς Ἀχιλλέως ἵππους, οὓς ἀδύνατον ἦν λαβεῖν. Σ. Β. — οὓς οὐκ ἦν ἐπ' αὐτῷ λαβεῖν. Σ.

Σ. 314. Ἦν δέ τις ..... Εὐμήδεος υἱός] Ἐπαινεῖται δὲ καὶ ἐνταῦθα τῆς ἐμπεριβόλου συντομίας ὁ ποιητής, ἐν ὀλίγῳ γὰρ διὰ πιθανότητα τὸ κύριον ὄνομα τοῦ κατασκόπου ἐδήλωσε, τὸ γένος, τὴν τύχην, τὴν ἐκ πατρὸς τέχνην, τὴν μορφὴν, τὴν ὠκύτητα. Φασὶ δὲ οἱ παλαιοὶ, καὶ ὅτι τὸ μὲν κήρυκος γενέσθαι υἱὸν τὸν Δόλωνα, εὐπειθῆ τε αὐτὸν τῷ Ἕκτορι τίθησι, καὶ εὔελπιν δὲ, ὡς ἐὰν ἁλῷ, αἰδέσονται οἱ ἐχθροὶ αὐτὸν, οἷά τι θεῖον γένος· ἄσυλοι γὰρ οἱ κήρυκες. Ὁ δὲ πλοῦτος ἐλπίδας αὐτῷ ὑποτείνει, ὡς εἰ μὴ αἰδοῦς τύχοι διὰ τὸ γένος, λύτρα δοὺς λελύσεται· διὸ καὶ ἁλοὺς λέγει· ζωγρεῖτε· αὐτὰρ

НБ ОНУ імені І.І.Мечникова

ἐγὼν ἐμὲ λύσομαι (στ. 378.). — Τὸ μέντοι ποδώκη τὸν Δόλωνα εἶναι, εἰς σωτηρίας αὐτῷ ἐχέγγυον γίνεται· θαῤῥεῖ γὰρ φυγεῖν φωραθείς. — Ὅτι δὲ ὡς εἰκὸς κῆρυξ ἦν κατὰ τὸν πατέρα καὶ ὁ Δόλων, ἡ παλαιὰ συνήθεια δηλοῖ· σύνηθες γὰρ τοῖς παλαιοῖς, ὡς ἱστορεῖ καὶ Ἡρόδοτος, τὰς πατρῴας τέχνας διαδέχεσθαι· αὐλητέω γάρ φησιν, αὐλητής· καὶ μαγείρου μάγειρος, καὶ κῆρυξ κήρυκος. (ϛ́, 60.) Ε.

Σ. 315. Κήρυκος θείοιο] Πάντως δὲ εἰκὸς καὶ θείους καὶ ἱεροὺς εἶναι τοὺς μὴ μόνον ἑρμαϊκῶς κηρύσσοντας, ἀλλὰ καὶ δημηγορίαις καὶ εἰρηναίαις ἐξυπηρετουμένους πρεσβείαις καὶ πολέμων λύσεσι, καὶ ὅλως μέσους γινομένους εἰς πᾶν καθῆκον. Ε.

Σ. 321. Τὸ σκῆπτρον] Ἀντὶ τοῦ τοῦτο τὸ σκῆπτρον· ἐφόρει δὲ Ἕκτωρ, ἐπεὶ ἐδημηγόρει. Σ. Β. — Ἀνάσχεο] Ἐνταῦθα ἀντὶ τοῦ ἀνάτεινον εἴληπται. Ε.

Σ. 322. Τοὺς ἵππους] Ὅτι τὸ τοὺς οὐκ ἔστιν ἄρθρον, ἀλλ' ἀντὶ τοῦ τούτους παρείληπται ἐν τάξει ἄρθρου. Σ. Β.

Σ. 323. Δωσέμεν] Ὁ μὲν Ἕκτωρ ἀρίστους δώσειν φησὶν, ὁ δὲ τοὺς Ἀχιλλέως αἰτεῖ, τούτους εἰδὼς ἀρίστους· δηλοῖ δὲ ἀμφοτέρων τὴν ἀτοπίαν καὶ ἄνοιαν. Σ. Β.

Σ. 324. Οὐδ' ἅπο δόξης] Τὸ δὲ οὐδ' ἀπὸ δόξης, ἀντὶ τοῦ οὐ πόῤῥω τῆς περὶ ἐμοῦ ὑπολήψεως. Ε.

Σ. 326. Μέλλουσιν] Ἐοίκασιν. Σ.

Σ. 332. Ἐπίορκον ἀπώμοσε] Τὸ δὲ ἐπίορκον ἀπώμοσε γράφουσί τινες ἐπώμοσε, ἀστείως ποιοῦντες· ἡ μὲν γὰρ ἀπώμοσις τουτέστιν ἡ ἄρσις, τὸ, οὐδεὶς ἐποχήσεται ἄλλος, ἀληθής· Ἀχιλλεὺς γὰρ μόνος· ὃ καὶ Ὀδυσσεὺς μετ' ὀλίγα ἐρεῖ· ἡ δὲ θέσις ἤγουν ἡ ἐπώμοσις, ψευδὴς, τὸ, ἀλλὰ σὺ ὁ Δόλων· ὥςε ἀπώμοσεν μὲν ὁ Ἕκτωρ ἀληθῶς, ἐπώμοσε δὲ ψευδῶς. Δῆλον δὲ καὶ ἐκ τῶν τῆς Ὀδυσσείας, ὅτι ἐπομνῦναι μὲν τὸ καταφατικῶς ὀμνῦναι, οἷον τὸ θεῖον ποιήσω τόδε· ἀπομνῦναι δὲ, τὸ ἀποφατικῶς ὁρκωμοτεῖν· οἷον, μὰ τὸ θεῖον, οὐ ποιήσω τὸ δέτι· ἐνταῦθα οὖν ὁ Ἕκτωρ ἄμφω ποιεῖ, ἀπομνύμενος μὲν διὰ τὴν ἄρσιν, ἐπομνὺς δὲ, διὰ τὴν θέσιν. Ἰστέον δὲ, ὅτι καθὰ ἐν τῷ, ἑπτὰ ἐπὶ Θήβας, καὶ ἐν τῷ, ἥκεις ἐφ' ἡμᾶς, ἡ ἐπὶ πρόθεσις ἐναντιωματικῶς λαλεῖται ἀντὶ τῆς κατὰ, οὕτω καὶ ἐν τῷ ἐπίορκος, καὶ τοῖς ἐξ αὐτοῦ· ἐπιορκεῖν γὰρ τὸ κατὰ ὅρκου γίνεσθαι τῷ ψεύδει, καὶ μὴ κατ' ἀλήθειαν οἰκειοῦσθαι αὐτῷ. Ε.

Σ. 334. Ῥινὸν] Ὅτι ῥινὸν, ἤγουν δέρμα πολιοῦ, ὅ ἐστιν λευκανθί-

ζοντες λύκου ἐνδύει ὁ ποιητὴς τὸν Δόλωνα. — Τεφρῶδες τὸ χρῶμα τοῦ λύκου, καὶ οὐ βαθὺ προβεβλημένον τὸ μέλαν· ὅθεν καὶ τὸ τῆς νυκτὸς μέρος, τὸ ἤδη προσκυροῦν τῇ ἡμέρᾳ, ἀμφιλύκη λέγεται νύξ. Ε. — Λευκοῦ· τεφρώδους, διὰ τὴν τῆς χροιᾶς ἰδιότητα· καὶ γὰρ Πελίαν φασὶν ἔνθεν ὠνομάσθαι. Τυρὼ γὰρ ἡ Σαλμωνέως, γεννήσασα δύο παῖδας ἐκ Ποσειδῶνος, παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλειπε. Τὸν μὲν οὖν ἕνα κύων, ἀφαιρεθέντων αὐτῆς τῶν τέκνων, παρέχουσα θηλὴν, ἔτρεφε· τὸν δὲ ἕτερον ἵππος κατὰ τὸ μέτωπον ἐπάτησεν. Ἐπελθόντες οὖν οἱ ἱπποφορβοὶ, ἀνελόμενοί τε τὰ παιδία ἔτρεφον· καὶ ὠνόμασαν τὸν μὲν, ἐπεὶ ἐκ συνδρομῆς αἵματος ἐπελιώθη, Πελίαν· τὸν δὲ ἕτερον, ἐπεὶ κύων κατηλέησε, Νηλέα Σ.

Σ. 335. Κρατὶ δ' ἐπὶ κτιδέην κυνέην] Ὅτι τοῦ ποιητοῦ εἰπόντος κρατὶ δ' ἐπὶ κτιδέην κυνέην, φασὶν οἱ ὑπομνηματισταὶ, ὅτι ἴκτις ἐστὶ ζῶον ὅμοιον κυνιδίῳ μελιταίῳ, ὀρνιθοφάγον, τοῖς σμήνεσιν ἐπηρεάζον· ἔχον τὸ αἰδοῖον οἷον ὀστοῦν, καὶ ἰᾶται στραγγουριῶντας· τὸν δὲ Ὅμηρον ἀφελεῖν φασι τὸ ῑ, δέον εἰπεῖν ἰκτιδέην κυνέην. Ἰστέον δὲ, ὅτι ἐνταῦθα μὲν ἐν τῷ ἐπὶ κτιδέην ἀμφίβολόν ἐστι, εἴτε μετὰ συναλοιφῆς τῆς προθέσεως ῥητέον ἰκτιδέην τετρασυλλάβως, εἴτε τρισυλλάβως κτιδέην ἀσυναλείπτως· ὅτε δὲ ἐν τοῖς ἑξῆς ἐρεῖ, τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην εἵλετο, τὴν ἀμφιβολίαν διέκρινεν ὁ ποιητὴς, φανερῶς γράψας κτιδέην ἐν τρισὶ συλλαβαῖς. — Οἱ δὲ καὶ πανοῦργον τὴν ἴκτιν τὸ ζῶον ἱστοροῦσι· καὶ μεῖζον μὲν γαλῆς, καὶ δασύτερον, ἄλλως δὲ παραπλήσιον· οἱ δὲ ἀγρίαν λέγουσιν εἶναι γαλῆν· καὶ ἑτέρωθεν δὲ εἰκασμὸς τοῦ ζώου συνάγεται τοιοῦτος. Ταρτησία φασὶ γαλῆ, ὅμοιόν τι ἰκτίδι· εἰ δὲ καὶ ταυτὸν ἴκτις αὕτη βαρυτόνως, καὶ ἰκτὶς, ὀξυτόνως, ἡ παρὰ τῷ Κομικῷ μεμνημένῳ ἰχθυοφάγου ἰκτίδος, οὐκ ἀναγκαῖον ἄρτι ζητεῖν· ἐλλιπῶς δὲ εἴρηται, τὸ κρατὶ δ' ἐπὶ κτιδέην κυνέην, ῥήματος γὰρ ἀπὸ κοινοῦ λείπεται, ἢ προηγησαμένου ἀνωτέρω, οἷον, ἐθάλετο, ἢ ἕσσατο· ἢ ἐπαγομένου, ἐπάγει γάρ· ἕλε δ' ὀξὺν ἄκοντα, ἵνα ᾖ, κτιδέην ἕλεν. Ε.

Σ. 339. Φράσατο] Εἶδεν, ἐνόησε· κατάχρησις ὁ τρόπος. Σ.

Σ. 346. Παραφθαίησι] Παραδράμοι, φθάσοι τῇ ταχυτῆτι τῶν ποδῶν. — Εἰ δὲ πλαγίαν ὡς ἐπὶ τὴν πόλιν ποιεῖται τὴν ὁδὸν, ἀπόστρεφε πάλιν αὐτὸν ἐπὶ τὰς ναῦς. Σ. Β.

Σ. 350. Κλινθήτην] Ἵνα δηλαδὴ πεδοῖ κείμενοι λάθωσι τὸν

НБ ОНУ імені І.І.Мечникова

Δόλωνα συναναμεμιγμένοι τοῖς νεκροῖς. —Ἀφραδίῃσιν] Καὶ ὅρα, ὅτι νῦν οὐκ ἐπὶ ψόγῳ εἶπε τὴν ἀφραδίαν, ὡς ἐπὶ ἀφροσύνης καὶ κακονοίας, ἀλλ᾽ἁπλῶς οὕτως ἐπὶ ἀγνοίας, καὶ ἀντὶ τοῦ ἀπρονοήτως. Ε.

Σ. 351. Ἡμιόνων . . . προφερέςεραί εἰσιν] Ὅτι τὰς ἡμιόνους προφερεστέρας εἶναι τῶν βοῶν ἕλκειν κατὰ νειὸν ἄροτρον, γεωργικώτατα λέγει ὁ ποιητής· φασὶ γὰρ οἱ ἔμπειροι, ὡς μὲν τῇ πρώτῃ τῆς γῆς ἐργασίᾳ, βοῶν δεῖ σχολαιοτέρων ὄντων καὶ γενναιοτέρων, ὡς ἂν βαθεῖα γένηται ἡ τομή· ἐν δὲ τῇ νειῷ ἤδη προεσχισμένῃ χρήσιμον τὸ τῶν ὀρέων γένος μᾶλλον, ὡς ὀξύτερον· τοιοῦτον γὰρ τὸ ὀρικὸν ζεῦγος, ὥσπερ αὖ τὸ τῶν βοῶν ἰσχυρότερον. Ε. —Ἐπίουρα] Εἰσὶ δὲ οὖρα ἢ προπαροξυτόνως ἐπίουρα τὰ ὁρμήματα, ὡς ἀπὸ τοῦ ὀρούειν· ἢ τὰ μεταξὺ διαστήματα, ὡς ἀπὸ τοῦ οὖρος ὁ περιορισμὸς κατὰ γένους μεταπλασμόν· ὁποίου τρόπου ἐστὶ καὶ τὰ δάκτυλα καὶ τὰ ταρσὰ καὶ τὰ λύχνα καὶ τὰ πεσσὰ δέ. Ε. —Ἡλίκον ὅρμημα γίνεται τῶν ἡμιόνων τεμνόντων αὔλακα· οὖρα τὰ ὅρια καὶ πέρατα τῆς αὔλακος, ἣν τὸ ὀρικὸν ζεῦγος τέμνει. Σ. Β.

Σ. 353. Νειοῖο βαθείης] Ὅτι ἐλλείπει ἡ διά, διὰ νειοῖο·— νειός ἐστιν ἡ νεωστὶ ἠροτριασμένη γῆ. Σ. Β. — Πηκτὸν ἄροτρον] Τὸ τὸν γύην προςπεπηγότα ἔχον· αὐτόγυον δὲ, τὸ ἐξ αὐτοῦ μονόξυλον. Σ. Β. (ἴδ. Ἡσιόδ. ἔργ. 430). — Τὸ εὐπαγὲς καὶ στερεόν. Ε.

Σ. 355. Ἀποστρέψοντας] Στικτέον μετὰ τὸ ἐκ Τρώων· ἔστι γὰρ ὁ λόγος· ἤλπιζε γὰρ ὁ Δόλων, ἑταίρους αὐτῷ ἐκ Τρώων ὑπάρχειν, ὡς κελεύσαντος τοῦ Ἕκτορος εἰς τοὐπίσω αὐτὸν ἀποστρέψαι· ἀποστρέψοντας γὰρ εἰς τοὐπίσω καλέσοντας. Σ.— Ὅτι πάλιν συναπτέον τῷ ἀποστρέψοντας, ἵνα ᾖ, εἰς τοὐπίσω ἀποστρέψοντας. Σ. Β.

Σ. 357. Δουρηνεκές] Εἰς ὅσον δόρυ φέρεται. Ε. — Δόρατος βολὴν, δόρατος μῆκος. Σ.

Σ. 358. Λαιψηρά] Ἢ ἐπιῤῥηματικῶς, ἵνα λέγῃ, ὡς λαιψηρῶς ἐνώμα τὰ γόνατα (Χ, 24.), ἢ ὀνοματικῶς τὰ λαιψηρὰ γούνατα. Ε.

Σ. 360. Καρχαρόδοντε] Ἐπικαμπεῖς ὀδόντας ἔχοντες, ἢ τραχεῖς· καρχαρὸν γὰρ τὸ τραχύ. Σ.

Σ. 361. Κεμάδα] Νεωγνὸν ἔλαφον, ἢ δορκάδα. —Ἐμμενές] Ἀδιαλείπτως, ἐπιμόνως. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 362. Μεμηκώς] Τὸ δὲ μηκᾶσθαι ὑποτρίζειν τινὲς ἡρμηνεύκασι· καὶ ἔστι μίμημα φωνῆς οὐ μόνον αἰγῶν, ὡς πολλαχοῦ φαίνεται. ἀλλὰ καὶ ἐλάφου συλληπτικῶς καὶ λαγωοῦ, ἣν ἀφίησιν οἷον κλαυθμόν τινα, ὅταν διωκόμενος κατάληπτος γίνηται. Ε.

Σ. 364. Ἀποτμήξαντε] Ἀποτμῆξαι δὲ λαοῦ, τὸ πόῤῥω ἀπαγαγεῖν· οὐ ἀνάπαλιν τὸ μιγῆναι. Ε. — Ὡς τὸ εἰδότε θήρης· οὐδὲ γὰρ ἐκεῖνοι κατ᾽ οὐρὰν διώκουσιν, ἀλλὰ περὶ τὰ πλευρὰ ηὐτρεπισμένοι πρὸς τὴν ἐπιστροφὴν τῶν διωκομένων θηρίων. Σ. Β.

Σ. 370. Δουρὶ κιχήσομαι] Οἷον εἰ μὴ τοῖς ποσὶ δύναμαι· — ὑπόνοιαν δὲ αὐτῷ δίδωσιν, ὡς οὐ βούλεται αὐτὸν ἀνελεῖν, ἵνα ὑπήκοον ἔχῃ πρὸς τὴν ἀνάκρισιν. Σ. Β.

Σ. 371. Ἀλύξειν] Διαφεύξεσθαι. Σ.

Σ. 372. Ἑκὼν ἡμάρτανε] Ζῶντα γὰρ κρατῆσαι βούλεται πρὸς τὸ τῆς ἐπερωτήσεως χρήσιμον. Σ. Β.

Σ. 375. Βαμβαίνων] Τρέμων· ὀνοματοποιΐα ὁ τρόπος· ἢ ἀσαφῆ φωνὴν προϊέμενος ἀπὸ τοῦ φόβου. Σ. — Τὸ δὲ βαμβαίνειν ὅ ἐστι συγκρούειν τοὺς ὀδόντας, ἀπὸ τοῦ κατὰ στόμα ψόφου κατὰ τοὺς παλαιοὺς ἐσχημάτισται· καὶ ἔστι φασὶ δυσερμήνευτον· συμβαίνει δὲ τοῖς ῥιγοῦσι καὶ τοῖς ὑποπτήσσουσι, καὶ θέλουσι μὲν λαλῆσαί τι ἀπορουμένοις δὲ καὶ ὑποτρέμουσι, καὶ οὕτω τοὺς ὀδόντας συῤῥήσουσιν. Ὅτι δὲ καὶ ὁ Δόλων ὑπέτρεμε, δηλοῖ μετ᾽ ὀλίγα τὸ, ὑπὸ δ᾽ ἔτρεμε, γυῖα. Ἰστέον δὲ, ὅτι ἐν ῥητορικῷ τινι λεξικῷ φέρεται βαμβαλίζειν, τὸ τρέμειν ὑπὸ ψύχους· ἐν δ᾽ ἑτέρῳ, ὅτι βαμβαίνων μὲν, βήματα βάλλων· κατὰ βῆμα πορευόμενος καὶ παπταίνων· βαμβαλίζων δὲ, ῥιγῶν· ἀπολλύμενος. Ὁ δὲ ἄραβος καὶ αὐτὸς τῶν βαμβαινόντων ἐστὶν ἀποτέλεσμα. Ε.

Σ. 376. Τὼ δὲ ἀσθμαίνοντε] Τὸ πολὺ τοῦ τάχους δηλοῖ τοῦ Δόλωνος, εἴγε καὶ μόλις αὐτὸν ἱστῶσι τοῦ δρόμου οἱ ἥρωες· καὶ ἀσθμαίνοντες δὲ καταλαμβάνουσι. Τὸ δὲ κιχήτην, ἐκ τοῦ κιχησάτην συγκέκοπται. Ε.

Σ. 377. Χειρῶν δ᾽ ἁψάσθην] Σημειοῦνται οἱ παλαιοὶ, ὅτι ὡς ἐν πλούτῳ πολλῷ τεθραμμένος ὁ Δόλων ἄνανδρός ἐςι καὶ δειλὸς καὶ ῥιψοκίνδυνος, καὶ ὡς εἰπεῖν θρασύδειλος, ὃς διὰ δειλίαν οὐ μόνον οὐκ ἀνύει τὰ προτεθέντα, ἀλλὰ καὶ προδότης γίνεται τῶν αὐτοῦ. Ε.

Σ. 383. Θάρσει] Ὅρα δὲ καὶ ὡς ἡ πολλὴ δειλία ἐξέκρουσε τὸν Δόλωνα τοῦ φρονεῖν· ὁ γὰρ εἰς μηδὲν δέον ἀπαιτήσας ὀμόσαι τὸν Ἕκτορα, εὐκόλως ἐνταῦθα καὶ δίχα ὅρκου πείθεται τῷ ἐχθρῷ, λέγοντι θάρσει, καὶ ἑξῆς Ε.

Σ. 391. Ἄτῃσι] Ἄντας ἔφη τὰς ἐπὶ κακῷ ὑποσχέσεις· ὡς ἀναγκασθεὶς δὲ καὶ δελεασθεὶς, καὶ τὴν φρενοβλάβειαν αὐτοῦ ὑποτίθεται ἔλεον θηρώμενος. Σ. Β.

Σ. 395. Σχεδὸν] Ἔστι δὲ κἀνταῦθα τὸ σχεδὸν, ἀντὶ τοῦ ἐγγύς· ἀκριβέστερον δὲ εἰπεῖν, ἐχομένως· ὃ καὶ σχέδην λέγεται. Ε.

Σ. 401. Ἐπεμαίετο θυμός] Τὸ δὲ ἐπιμαίεσθαι νῦν μὲν ἀντὶ τοῦ ἐφίεσθαι κεῖται, καὶ γενικῇ συντάσσεται· οἱ δὲ μεθ' Ὅμηρον καὶ μετὰ αἰτιατικῆς αὐτὸ τάσσουσι λαμβάνοντες ἀντὶ τοῦ ζητεῖν. Ε. — Δεόντως τὴν τοῦ ἐλπίσαντος, οὐ τοῦ ὑποσχομένου τοσοῦτον αἰτιᾶται ἄνοιαν. Σ. Β.

Σ. 403. Ὀχέεσθαι] Ἐποχηθῆναι, ἐπιβῆναι. Σ. — Ἰστέον δὲ καὶ ὅτι θαρσέος καὶ ἀλκίμου ἵππου ἔπαινος τὸ εἶναι ἀλεγεινὸν ἀνδρὶ τῷ τυχόντι δαμασθῆναι καὶ ὀχέεσθαι, ὥς που καὶ ὁ Βουκεφάλας Ἀλέξανδρον *μόνον* ἤθελε φέρειν ἔποχον. Ε.

Σ. 415. Παρὰ σήματι Ἴλου] Ἶλος, Τρωὸς παῖς, ἀφ' οὗ ἡ πόλις Ἴλιος ἐκλήθη· παρὰ σήματι δὲ, παρὰ τῷ τάφῳ· ἦν γὰρ μέσσον καππεδίον· ἀπέχει δὲ τῆς πόλεως καὶ τῶν νεῶν τὸ ἴσον. Σ. Β.

Σ. 416. Φλοίσβου] Ἐνταῦθα δὲ κεῖται καὶ ὁ φλοῖσβος οὐκ ἐπὶ θαλασσίου, ἀλλὰ τοῦ ἁπλῶς λαϊκοῦ θορύβου. Ε.

Σ. 418. Πυρὸς ἐσχάραι] Ὅσοι Τρῶες ἰθαγενεῖς ἤγουν ἐγχώριοι· — ὅσοι οἰκήτορες Τροίας. Ε. — Ἐσχάραι] Πυρά· δηλοῖ δὲ ἡ λέξις καὶ τὴν ἑστίαν, καὶ τὸ ῥυπαρὸν καὶ καυθὲν ἕλκος, καὶ τὸν βωμόν· καὶ τὴν κυρίως λεγομένην ἐσχάραν, τὴν μὴ ἔχουσαν ὕψη, ἀλλ' ἐπὶ γῆς οὖσαν ἢ κοίλην· ὅθεν καὶ τὰ ἐν σώματι κοῖλα ἕλκη ἐσχάραι παρ' ἰατροῖς. Σ.

Σ. 422. Οὐ γάρ σφιν παῖδες] Ὡς πρὸ αὐτῶν μάχεσθαι κατὰ τοὺς Τρῶας· — ἐντεῦθεν καὶ οἱ νομοθέται γυναικονόμους ἐν ταῖς πόλεσιν ὥρισαν, οὐ τοὺς γάμους, ἀλλ' ἤδη γάμου πεπειραμένους· καὶ παιδονόμους δὲ ἔταξαν, οὐ τοὺς ἄπαιδας, ἀλλ' οἷς παῖδες ἐγένοντο· ἵνα οἷς αὐτοὶ ἔχουσι συμπαθοῦντες ἐπιμέλωνται, καὶ τῶν ἐπιτετραμμένων αὐτοῖς. Ε.

Σ. 424. Μεμιγμένοι] Κεῖται δὲ ἐνταῦθα καὶ τὸ μεμιγμένοι

НБ ОНУ імені І.І. Мечникова

ἀντὶ τοῦ συγκεχυμένως καὶ ἀναμὶξ κείμενοι, ὃ ἀνάπαλιν ἔχει πρὸς τὸ κεκριμένοι. Ε.

Σ. 428. Κᾶρες] Ἴδ. Β, 867. — Παίονες] Ἴδ. Β, 848. — Ἀγκυλότοξοι] Οὐ μόνον οἱ χρώμενοι ἀγκύλοις τόξοις, ἤγουν στρεβλοῖς, ἀλλὰ καὶ οἱ ἀγκύλην καὶ τόξον μεταχειριζόμενοι (ἀκοντίου δὲ εἶδος ἡ ἀγκύλη). Ε.

Σ. 429. Καὶ Λέλεγες] Ἔθνος Καρικόν· λέγει δὲ τοὺς ἐν Πηγάσῳ πόλει Καρίας οἰκοῦντας. Σ. (ἴδ. Φ, 86). — Καύκωνες] Ἔθνος Παφλαγονίας, οἱ δὲ Σκυθίας, οἱ δὲ τοὺς λεγομένους Καυκίους εἶπον. Σ. — Πελασγοί] Οἱ τὸ παράλιον μέρος τῆς Καρίας ἔχοντες· ἄμεινον δὲ λέγειν αὐτοὺς γένος τι πολυπλανὲς οἰκῆσαι ἐν τῇ Ἀσίᾳ καὶ Εὐρώπῃ· νῦν δὲ τῆς Τρωάδος πλησίον, ἔνθα αἱ Τραλλεῖς. Σ. (ἴδ. Β, 681 καὶ 840. Γ, 75).

Σ. 430. Πρὸς Θύμβρης] Ἣν ὁ τὰ ἐθνικὰ συγγράψας πόλιν Τρῳάδος φησὶ κτισθεῖσαν ὑπὸ Δαρδάνου ἐπὶ Θύμβρῳ τινὶ φίλῳ αὐτοῦ· λέγει δὲ ὁ αὐτὸς, καὶ ποταμὸν αὐτόθι θύμβριν· ἀφ᾽ οὗ Ἀπόλλωνος Θυμβραίου ἱερὸν, ἐν ᾧ ἐτοξεύθη Ἀχιλλεύς· — ὅτι δὲ καὶ Ῥώμης ποταμὸς Θύμβρις, ὁ καὶ Τίβερις, λέγει καὶ ὁ Περιηγητής. Ἰστέον δὲ ὅτι τὸ πρὸς Θύμβρης, ὥσπερ καὶ ἀνωτέρω τὸ πρὸς μὲν ἁλὸς Κᾶρες, ἐλλειπτικῶς ἐῤῥέθη· ἵνα λέγῃ, ὅτι πρὸς τῷ μέρει τῆς ἁλὸς, καὶ πρὸς τὸ μέρος τῆς Θύμβρης· ἢ ἐγγὺς ἁλὸς, καὶ ἐγγὺς Θύμβρης. Ε.

Σ. 431. Μῄονες] Ἴδ. Β, 864. — Ἱπποκορυσταί] Ὅτι Μῄονες ἐπρώτευον κατὰ τὸ ἱππεύειν, ὅθεν καὶ παροιμία τὸ παρὰ Λύδιον ἅρμα, ἐπὶ τῶν πολὺ ὀπίσω λειπομένων. Ε.

Σ. 434. Ἔσχατοι ἄλλων] Καὶ διὰ τοῦτο εὐεπιβούλευτοι, ὡς ὁ Δόλων καταμηνύει. Ε.

Σ. 435. Ῥῆσος βασιλεύς] Ῥῆσος γένει μὲν ἦν Θρᾷξ, υἱὸς δὲ Στρύμονος τοῦ αὐτόθι ποταμοῦ, καὶ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. Διάφορος δὲ τῶν καθ᾽ αὐτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις, ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ· καὶ μίαν ἡμέραν συμβαλὼν, πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινε. Δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων, Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει. Κατελθοῦσα δὲ ἡ Θεὸς, Ὀδυσσέα καὶ Διομήδην ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν. Ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ, αὐτόν τε καὶ ἑτέρους αὐτοῦ κτείνουσι, ὡς ἱστορεῖ Πίνδαρος. Ἔνιοι δὲ λέγουσι, νυκτὸς παραγεγονέναι τὸν Ῥῆσον εἰς τὴν Τροίαν, καὶ πρὶν γεύσασθαι αὐτὸν τοῦ ὕδατος τῆς

НБ ОНУ імені І.І. Мечникова

χώρας, φονευθῆναι· χρησμὸς γὰρ ἐδέδοτο αὐτῷ, φασὶν, ὅτι, εἰ αὐτὸς γεύσεται τοῦ ὕδατος, καὶ οἱ ἵπποι αὐτοῦ τοῦ Σκαμάνδρου πίωσι, καὶ τῆς αὐτόθι νομῆς, ἀκαταμάχητος ἔσται εἰς τὸ παντελές. Σ.

Σ. 439. Πελώρια] Οὐ κατὰ τὸ μέγεθος νῦν μεγάλα, ἀλλὰ κατὰ τὸ κάλλος, τεράστια. Σ.

Σ. 449. Ἀπολύσομεν] Λύτρα λαβόντες ἀποπέμψομεν.— Μεθῶμεν] Ἐάσομεν ἄνευ δώρων Σ.

Σ. 450. Ἤ τε . . . ἐπὶ νῆας Ἀχαιῶν] Ἐπεὶ οὐχ Ἑλληνικὸν τὸν ἱκέτην ἀναιρεῖν προφάσεις ἀναγκαίας περιέθηκεν· ἅμα δὲ καὶ ἄτοπον ἦν, αὐτὸν πάλιν ὑποστρέφειν εἰς τὰς ναῦς· ἅμα δὲ καὶ ὡς προδότην ἀναιρεῖ· ὑπὸ γὰρ ἐκείνων μεμίσηται πρῶτον, οἷς τοὺς οἰκείους παρέδωκεν. Σ. Β.

Σ. 451. Διοπτεύσων] Διοπτεύειν δὲ, τὸ κατασκοπεῖν· ὅθεν καὶ τὸν τοῦτο ποιοῦντα διοπτῆρα στρατοῦ ἐρεῖ· ὃς καὶ ἀσυνθέτως ὀπτὴρ λέγεται. Ε.

Σ. 457. Φθεγγομένου] Ἤγουν εἰς γῆν ἔπεσεν ἡ κεφαλὴ ἐκείνου, ἀρξαμένου μὲν φωνὴν ἀφιέναι, μήπω δὲ διασαφήσαντος τὸ λεγόμενον· γράφεται μὲν, φθεγγομένη δ᾽ ἄρα τοῦγε κάρη· οὐχ Ὁμηρικὴ δέ ἐστιν ἡ φράσις, οὐ γάρ ἐστι θηλυκῶς ἡ κάρη παρ᾽ Ὁμήρῳ. Ε.

Σ. 460. Ἀθηναίῃ ληΐτιδι] Ἀνέθηκεν αὐτὴν Ἀθηνᾷ, οὐ γλαυκώπιδι, οὐδὲ Ἀτρυτώνῃ, ἀλλὰ ληΐτιδι, ὡς συνεφαψαμένῃ τοῦ ληΐσασθαι. Ε. —Λαφυραγωγῷ, πολεμικῇ. Σ. — Τὸ δὲ ληΐτιδι ἴσως μὲν ὅμοιόν ἐστι τῇ ἀγελείᾳ, εἴπερ ἐκείνη γίνεται παρὰ τὸ ἄγειν λείαν. Ε.

Σ. 463. Ἐπιδωσόμεθα] Ἐπὶ βοήθειαν καλεσόμεθα· γράφεται δὲ καὶ ἐπιδωσόμεθα· ἵν᾽ ᾖ δώροις τιμήσομεν. Σ.

Σ. 466. Δέελον] Εὔγνωστον, εὔδηλον. Σ.

Σ. 467. Ἐριθηλέας] Ἄγαν θάλλοντας, εὐθαλεῖς. Σ.

Σ. 473. Τριστοιχεί] Ὅθεν καὶ ἔργον ἦν ἀναιρεθῆναι τὸν Ῥῆσον, τριστοιχεὶ κύκλῳ φυλαττόμενον· διὸ νοοῦσιν οἱ παλαιοὶ, ὅτι τέσσαρες ἐξ ἑκάστου στίχου ἀνελὼν ὁ Διομήδης, ἤγουν ἄνδρας δώδεκα, καὶ γέφυραν οἷον πολέμου ποιήσας, διέβη εἰς τὸν Ῥῆσον, καὶ οὕτως αὐτὸν ἀνεῖλε τρισκαιδέκατον καὶ τῶν αὐτοῦ ἵππων ἐκυρίευσε. Ε.

Σ. 475. Ἐπιδιφριάδος] Ἐπιδιφριὰς δὲ μέρος ἢ τοῦ δίφρου, ἢ τῆς τοῦ ἅρματος ἄντυγος, περὶ ἣς περατοῦται ὁ δίφρος. Ε.

НБ ОНУ імені І.І.Мечникова

— Ἐκ τοῦ ἐσχάτου μέρους τοῦ ἁρματείου δίφρου τῆς περιφερείας· ὃ καὶ ἄντυξ, καὶ ἐπιδιφριὰς καλεῖται. Σ. — Ἐπιδιφριάς] Μέρος τοῦ δίφρου, καθ᾽ ὃ ἐπιβαίνειν εἰώθασιν. Σ. Β.

Σ. 476. Προπάροιθεν ἰδών] Πρότερος ἰδών. Σ.

Σ. 480. Μέλεος] Ἰστέον δὲ, ὅτι τε μέλεος μάταιος λέγεται, παρὰ τὸ μέλεσθαι, ὅ ἐστι φροντίδα ἔχειν· δῆλον γὰρ, ὅτι ὁ διηνεκῶς ἔμφροντις καὶ διὰ τὸ οὕτω μέλεσθαι ἀεὶ μέλλων, ἀπρακτεῖ. Ε. — μελαίως, ματαίως ἢ μάταιον. Σ.

Σ. 481. Ἠὲ σύ γ᾽ ἄνδρας ἔναιρε] Ὅτι εὔρηται εἰς σκῶμμα παλαιὸν ἐπὶ φαύλων ἀνθρώπων, ἰατροῦ τε καὶ ἱπποϊατροῦ ἐκφωνηθεὶς ὁ ῥηθεὶς Ὁμηρικὸς στίχος τὸ, ἤ σύ γε ἄνδρας ἔναιρε, μελήσουσι δέ μοι ἵπποι. Ε.

Σ. 483. Ἐπιστροφάδην] Ἀντὶ τοῦ ἐνεργῶς, εὐτόνως, σπουδαίως, ἐπεστραμμένως ὧδε καὶ ὧδε, διὰ τὴν διάφορον θέσιν τῶν κτεινομένων· — ἀεικὴς δὲ στόνος, ὁ ἐξ αἰκίας, ἄορι θεινομένων δηλαδή. Ε. — στόνος δὲ, οἷον ὡς ἐν ὕπνῳ ἀναιρουμένων. Σ. Β.

Σ. 485. Μήλοισιν] Μῆλα δὲ εἰ καὶ πάντα νοεῖται ἀλλαχοῦ θρέμματα, ὅμως ἐνταῦθα ἐπὶ αἰγῶν καὶ προβάτων τὴν λέξιν ὁ ποιητὴς ἐμερίκευσε· τοιαῦτα μὲν γὰρ πυκνὰ λέων βλάψοι ἂν, βόας δὲ οὐκ ἂν οὕτω. Ε. — Ἀσημάντοισιν] Ἀσήμαντα δὲ λέγει τὰ ἀπροστάτευτα καὶ ἀποίμαντα, οἷς δηλαδὴ οὐκ ἦν ὁ σημαίνων, ἤγουν σημεῖόν τι ποιῶν, ἢ νοῶν σωτηριῶδες τῷ ποιμνίῳ· ἐξ οὗ δὴ σημαίνειν καὶ οἱ στρατηγοῦντες λαοῦ σημάντορες λέγονται. Ε. — ἀφυλάκτοις, ἀφροντίστοις, μὴ ἔχουσι ποιμένα. Σ.

Σ. 488. Δυώδεκα] Ὅτι χωρὶς τοῦ Ῥήσου δώδεκα ἑταίρους αὐτοῦ ἀναιρεῖ, ἀλλ᾽ οὐ σὺν αὐτῷ δώδεκα, ὥς τινες. Σ. Β.

Σ. 493. Ἀήθεσσον] Τουτέστιν ἀήθεις ἦσαν καταπατεῖν νεκρούς· ποιητικὴ δὲ λέξις τὸ ἀηθέσσειν καὶ δυσέλκυστος εἰς λόγον πεζόν· καινὴ δὲ καὶ ἡ μετὰ γενικῆς αὐτοῦ σύνταξις. Ε. ἀσυνήθεις ἦσαν. Σ.

Σ. 496. Κακὸν γὰρ ὄναρ ἐπέστη] Τοῦτο ἐπὶ τῶν ἀπὸ τοῦ ἔθους· ὅταν γάρ τις νυκτὸς κακῷ τινι περιπέσῃ, φαμὲν, ὅτι κακὸν ὄναρ εἶδεν ὁ δεῖνα. Σ. Β.

Σ. 497. Οἰνείδαο πάϊς] Ὁ Διομήδης, Οἰνέως ἔγγονος. Τυδεὺς γὰρ ἦν υἱὸς Οἰνέως. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 499. Σὺν δ' ἤειρεν] Ἀντὶ τοῦ συνέπλεκεν εἴρηται· ἀείρειν γὰρ νῦν τὸ ὁμοῦ εἴρειν καὶ συμπλέκειν. Ε. — Συνέζευξεν αὐτοὺς, τουτέστι, συνημμένως καὶ οὐ καθ' ἕνα ἐξέφερεν, ὡς μὴ κατ' ἰδίαν αὐτῶν εἰθισμένων ἡνιοχεῖσθαι. Σ. Β.

Σ. 500. Φαεινήν] Φαεινὴ οὐ μόνον στιλπνὴ, ἀλλὰ κατὰ τοὺς παλαιοὺς καὶ ἡ λεπτή. Ε.

Σ. 502. Ῥοίζησεν—πιφαύσκων] Ὅ ἐστι δηλῶν· καὶ τῷ ῥοίζῳ σημεῖον διδοὺς τοῦ ἀναχωρῆσαι. Ε. — ἀνάρθρως ἐφώνησεν· ὃ ἡμεῖς συρίζειν λέγομεν. Σ.

Σ. 503. Κύντερον] Τὸ δὲ κύντερον νῦν δεινὸν καὶ θρασὺ ἔργον σημαίνει. Ε.

Σ. 509. Νόστου δὴ μνῆσαι κ. τ. λ.] Ὅτι δεῖ μάλιστα ἐν ταῖς εὐτυχίαις τὸ μέλλον σκοπεῖν, καὶ μὴ ἀπλήστως χρῆσθαι αὐταῖς· τοῦτον δ' εἶχε τὸν νοῦν Ὀδυσσεύς· διὸ ῥοιζήσας καλεῖ Διομήδην. Σ. Β.

Σ. 510. Πεφοβημένος] Φεύγων μετὰ φόβου. Σ.

Σ. 511. Θεὸς ἄλλος] Ὁ ἡμῖν ἐναντίος. Σ.

Σ. 513. Ἵππων ἐπεβήσατο] Κέλησι μὲν οὐδ' ἐν τοῖς ἀγῶσιν εἰσάγει χρωμένους· νῦν δὲ διὰ τὴν χρείαν. Σ. Β.

Σ. 515. Ἀλαοσκοπίην] Μάταιον σκοπὸν, ὃ ἐστιν οὐκ ἔλαθεν αὐτόν. Σ. — Ὅτι Ζηνόδοτος γράφει ἀλαὸν σκοπιήν· παροιμιακὸν δέ ἐστι, οὐ τυφλὸς ἐς σκοπιὰς, ἀλλὰ τοὐναντίον δεδορκώς. Σ. Β. — Κεῖται δὲ ἐν τῷ τόπῳ τούτῳ καὶ ἀλαοσκοπιὴ, ἡ ματαία κατασκόπευσις· — ἔστι δὲ ἀλαὸς ἐν τούτῳ, οὐχ ὁ μηδόλως βλέπων· — ἀλλὰ ὁ κακῶς λάων, ὅ ἐστι βλέπων· καὶ, ἑτέρως δὲ εἰπεῖν, ταὐτόν ἐστι τῷ, οὐκ ἐκοιμᾶτο ἐν τῷ φυλάσσειν· — ἀκριβῆ δηλοῖ φυλακήν. Ε. (ἴδ. Ἀπολλ. σελ. 86.). — Ἀπόλλων] Παρουσία ἡλίου. Ε.

Σ. 516. Ἔπουσαν] Ἤτοι ἑπομένην αὐτῷ συνεργοῦσαν. Σ. — ἔπουσαν· ἤγουν, μεθέπουσαν καὶ ἀμφέπουσαν τὸν Διομήδην. Ε.

Σ. 517. Τῇ κοτέων Τρώων κ. τ. λ.] Ἔνθα καὶ ὅρα, ὅτι ἄλλως μὲν βλαπτομένους τοὺς Τρῶας Ἀπόλλων ὁρῶν ἠνείχετο· ἡνίκα δὲ ὑπὸ Ἀθηνᾶς, τότε δὴ ζηλοτυπῶν, ἐρεθίζεται εἰς ἄμυναν· καὶ πάσχουσιν τοῦτο οἱ ἀντιλαμβανόμενοι ὡς ἐπὶ πολὺ, τότε βοηθοῦντες μᾶλλον, ὅτε τις τῶν αὐτοῖς ἐχθρῶν ἀναφανῇ τοῖς βοηθουμένοις προσεπικείμενος. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 521. Ἀσπαίροντας] Ψυχοραγοῦντας. Σ. — Φονὰς δὲ λέγει περιεκτικῶς τοὺς τόπους, ἔνθα οἱ φόνοι τῶν κειμένων. Ε.

Σ. 522. Ὀνόμηνεν] Ἴδ. Α, 361. — Ἀνεκαλέσατο] Τοῦτο γὰρ συμβαίνει τοῖς ἐκπληττομένοις. Σ. Β.

Σ. 523. Κλαγγή τε καὶ ἄσπετος ὦρτο] Ἄκρως τοὺς ἐπτοημένους παρέστησε διὰ τῆς βοῆς καὶ τοῦ θορύβου, καὶ τῆς ἐπὶ τὸ αὐτὸ συνδρομῆς. Σ. Β.

Σ. 524. Ἄμυδις] Ὁμοῦ καὶ εἰς τὸν αὐτὸν τόπον τρεχόντων. Σ. — Θηεῦντο] Μετὰ θαύματος ἐθεώρουν. Σ. — ἀγνοοῦντες γὰρ ὅθεν ἡ ἐρημία, ἐθαύμαζον. Σ. Β.

Σ. 526. Σκοπόν] Κατάσκοπον. Σ.

Σ. 528. Ἔναρα] Περιεκτικῶς τὰ τόξα καὶ τὸ δόρυ· κυρίως δὲ ἔναρα λέγονται, ὅσα ἤραρε καὶ συνήρμοσται, θῶραξ, κυνέη καὶ κνημῖδες. Σ.

Σ. 531. Φίλον ἔπλετο θυμῷ] Ἤγουν, ἐκεῖ γὰρ ἤθελον οἱ ἐλαύνοντες. Ε.

Σ. 532. Πρῶτος—ἀΐε] Πρῶτος τοῦ ψόφου τῶν ποδῶν τῶν ἵππων ᾔσθετο ἀγωνιῶν, διὰ τὸ αὐτὸν εἰσηγητὴν γεγονέναι τῆς κατασκοπῆς. Σ.

Σ. 534. Ψεύσομαι, ἢ ἔτυμον ἐρέω κ τ λ.] Ἐν ἀμφιβόλῳ αὐτὸν ἐᾷ, ἵνα ἐπιτυχὼν μὲν δοξασθῇ, ἀποτυχὼν δὲ μὴ ἐλεγχθῇ. Σ. Β.

Σ. 537. Ἐλασαίατο] Ἀπηλακότες εἶεν. Σ.

Σ. 547. Ἀκτίνεσσιν ἐοικότες] Διὰ τῆς τῶν ἵππων λευκότητος. Ε.

Σ. 548 Ἐπιμίσγομαι] Ἐν τῇ μάχῃ σύνειμι. Σ.

Σ. 557. Πολὺ φέρτεροί εἰσιν] Ἐν δὲ τῷ πολὺ φέρτεροί εἰσι, διπλῆ ἐκκύπτει ἔννοια· ἢ γὰρ ὅτι δύνανται τῶν τοῦ Ῥήσου ἵππων καὶ ἕτεροι φέρτεροι εἶναι· εἰ καὶ αἰνῶς, ὅ ἐστι, λίαν ἀκτῖσι ἐοικότες εἰσὶν ἡλίου· ἢ ἐπεὶ πολὺ φέρτεροι οἱ Θεοί. Ε.

Σ. 558. Νεήλυδες] Νεήλυδες νεωστὶ παραγενόμενοι. Σ.

Σ. 562. Διοπτῆρα] Κατάσκοπον. Σ.

Σ. 565 Καγχαλόων] Χαίρων Σ. — Ἔστι δ᾽ ὅμως τὸ καγχαλόων ἐπιτατικώτερον τοῦ χαίρειν. Ε.

Σ. 571. Ἑτοιμασσαίατο] Ἤτοι ἑτοιμάσαιντο αὐτὰ ὁ Διομήδης τε καὶ αὐτὸς ἱέρωμα τῇ Ἀθηνᾷ ἐν καιρῷ. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 573. Λόφον] Λόφος δὲ ἐνταῦθα ὁ ἄνω τένων, ἤτοι ὁ περὶ τράχηλον — ᾧ ἐπίκειται ὁ ζυγός. Ε.

Σ. 576. Ἀσαμίνθους] Πυέλους, σκάφας· παρὰ τὴν ἄσιν, (ἤγουν) τὸν ῥύπον μινύθειν, ὅ ἐστιν ἐλαττοῦν καὶ μειοῦν. Σ.

Σ. 577. Λίπ'] Ὅτι τὰ λίπα ἀποκοπὴν ἔπαθεν ἐκ τοῦ λιπαροῦ. Ε. — Λίπα· λιπαρῶς καὶ εὐεκτῶς. Σ.

Σ. 578 Δείπνῳ ἐφιζανέτην] Κατὰ τὸ σιωπώμενον τὸ ἱερεῖον σφάξαντες, ἀνατιθέασι τὰ δῶρα· ὕστερον δὲ εὐωχοῦνται. — Δείπνῳ] Ὅτι ἠριστοποιοῦντο· ἡ γὰρ πρωϊνή ἐστι. Σ. Β.

Σ. 579. Πλείου] Γέμοντος. Σ.

НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἡ ΓΡΑΜΜΑ Λ.

Σ. 1. Ὅτι ἐν τῇ λάμβδα ῥαψῳδίᾳ ὁ βασιλεὺς ἀποκινδυνεύων ἀριστεύει, διὸ καὶ Ἀγαμέμνονος ἀριστεία κατὰ πεζὴν φράσιν τὸ γράμμα τοῦτο ἑρμηνεύεται. — Τρίτην δὲ τοῦ πολέμου ἡμέραν ταύτην σημειοῦνται οἱ παλαιοί. Ε. — Τιθωνοῖο] Μυθεύεται ὅτι Τιθωνὸν τὸν Λαομέδοντος, εὐπρεπέστατον τῶν καθ' αὑτὸν ἐν Ἰλίῳ γενόμενον, ἐρασθεῖσα ἀνήρπασεν ἡ Ἡμέρα, καὶ τῆς τούτου μετέλαβε κοίτης. Αἰτησαμένῳ δὲ αὐτῷ παρέσχεν ἀθανασίαν· ὁ δὲ γέρων γενόμενος, διὰ γὰρ ἄγνοιαν οὐκ ᾐτήσατο ἀθανασίαν σὺν ἀγηρασίᾳ, ἀχθόμενος, ὡς τῶν ἐν βίῳ μεταλαμβάνειν οὐ δυνάμενος, ἐκάλεσε τὴν θεὸν, ὅπως αὐτὸν τοῦ ζῇν ἀπαλλάξῃ· ἡ δὲ, οὐδὲ γὰρ ἦν δυνατὸν ἀποθανεῖν, αὐτὸν μετέβαλεν εἰς τέττιγα, τὸν μουσικώτατον τῶν πτηνῶν, ὅπως καὶ διὰ τῆς φωνῆς αὐτοῦ τέρπηται. Γίγνεται δὲ ἐξ αὐτῶν παῖς Μέμνων, ὁ τῶν Αἰθιόπων βασιλεύς. Σ.

Σ. 2. Ἵν' ἀθανάτοισι φόως φέροι] Ἀεὶ μὲν οἱ ἀθάνατοι ἐν φωτί εἰσιν, ἀλλ' ἐπεὶ ἐν τῷ Ὀλύμπῳ ὑποτίθεται ὁ ποιητὴς οἰκεῖν τοὺς Θεούς· ὄρος δὲ ὁ Ὄλυμπος, ἁρμοδίως τῷ πλάσματί φησιν, αὐτοὺς καὶ ἐν σκότῳ ποτὲ εἶναι. Σ. Β.

Σ. 4. Πολέμοιο τέρας ἔχουσαν] Ἤγουν βέλος ἢ ξίφος, ὡς ἐν σχήματι ὁπλιτικῷ ἢ ἄλλο τι τερατῶδες. — Ἕτεροι δὲ πολέμοιο

τέρας περιφραστικῶς τὸν πόλεμον ἐνόησαν. Ε. — Τέρας, οἱ μὲν τὸν πόλεμον, οἱ δὲ ἀστραπήν, οἱ δὲ δόρυ, οἱ δὲ Ἶριν. Σ. Β.

Σ. 5. Μεγακήτεϊ] Τουτέστι μεγάλη. Ε. (ἴδ. Ἀπολλον. σελ. 398).

Σ. 6. Ἐν μεσσάτῳ] Ἵνα μέσος τὸν ῥᾳδίως ἔχῃ τοῖς ἑκατέρωθεν ἐπαρκεῖν ἔν τε συμβουλαῖς καὶ ἑτέροις ἔργοις. Ε. — Ὅτι στᾶσα ἐπὶ τῆς ῥηθείσης τοῦ Ὀδυσσέως νηὸς ἡ Ἔρις γεγωνέμεν, ἤγουν ὥστε ἐξάκουστον βοῆν ἐκεῖθεν ἀμφοτέρωσε. Ε.

Σ. 11. Ὄρθι' Ἀχαιοῖσιν] Τὸ δὲ ὄρθια εἴρηται μὲν ἀττικῶς ἀντὶ τοῦ ὄρθιον· ἑρμηνεύεται δὲ ἀπὸ τοῦ μέγα τε δεινόν τε. Τοιοῦτος γὰρ ὁ παρὰ τοῖς μουσικοῖς ὄρθιος νόμος, ἤγουν τρόπος ἐκεῖνος ᾠδῆς, εἰς πόλεμον ἐρεθιστικός. Τιμόθεος οὖν ὄρθιον ᾄσας, τοσοῦτου τὸν Ἀλέξανδρον ἄρεος ἔπλησεν, ὡς εἰς τὰ ὅπλα εὐθὺς ἐκεῖνον ἀποπηδῆσαι. Ε.

Σ. 20. Κινύρης δῶκε] Θεῖαντος ἦν κατά τινας παῖς, βασιλεὺς Κύπρου ζάπλουτος· ὃς παριόντας τοὺς Ἀχαιοὺς ἐξένισεν, ὑποσχόμενος καὶ ἐν Ἰλίῳ πέμψειν τὰ ἀναγκαῖα. Φασὶ δὲ αὐτὸν ἀμελήσαντα ἐπικατάρατον γενέσθαι ὑπὸ Ἀγαμέμνονος, καὶ αὐτὸν μὲν ἀπολωλέναι ᾠδικῶς ἁμιλλώμενον τῷ Ἀπόλλωνι, ὡς οἷα μουσικῆς τεχνίτην. Διὸ καὶ Κινύρης ἐκλήθη παρωνύμως τῇ Κινύρᾳ· τὰς δὲ θυγατέρας αὐτοῦ πεντήκοντα οὔσας, ἁλέσθαι εἰς θάλατταν καὶ εἰς ἀλκυόνας μεταπεσεῖν. Ἄλλοι δέ φασιν αὐτὸν ἐν Πάφῳ ὀμόσαντα Μενελάῳ πέμψειν πεντήκοντα ναῦς, μίαν μόνον ἀποστεῖλαι· τὰς δὲ λοιπὰς ἐκ γῆς πλάσαντα πέμψαι, καὶ γηΐνους ἄνδρας ἐν αὐταῖς, καὶ οὕτω σοφίσασθαι τὸν ὅρκον, ὀστρακίνῳ στόλῳ δεξιωσάμενον. — Ἰστέον δέ, ὅτι οὐ φαίνεται εἰδὼς Ὅμηρος ξενίαν Κινύρου, ἀλλὰ σέβας μόνον τὸ ἐξ ἀκοῆς. Ε. (ἴδ. Ἀπολλόδ. Γ, 14. 3.).

Σ. 24. Δέκα οἶμοι] Τουτέστιν οἷον ζῶναι, ὁδοί, ῥάβδοι ὀρθαὶ ἔσαν μέλανος κυάνοιο. Ε. — Κυάνοιο] Χρώματι κυανῷ εἰκασμένου. Σ. — Τοιοῦτον δὲ καὶ τὸ χρῶμα τοῦ οὐρανοῦ ἀναγκαίως κατὰ τοὺς φυσικούς, ἐπηνίκα ἐστὶ πάντη ἀνέφελος. Ε. — Ὑποστατέον δὲ προκεῖσθαι μὲν κυάνεαν ῥάβδον, εἶτα κασσιτερίνην· μετὰ τὴν δέ, τὴν χρυσῆν ἐν διαστάσει, καὶ πάλιν κασσιτερίνην· εἶτα πάλιν κυάνεαν ἀκολούθως· τὰς δὲ περὶ τὸν τράχηλον δύο χρυσᾶς, πρὸς κόσμον. Σ. Β.

Σ. 26. Ὀρωρέχατο] Ἐξετέταντο, διεγηγερμένοι ἦσαν· γέ-



НБ ОНУ імені І.І.Мечникова

γονε δὲ ἀπὸ τοῦ ὀρέγω, ὤρεχα, ὁ παρακείμενος ὤρεγμαι, τὸ τρίτον ὤρεκται, καὶ Ἰακῶς ὠρέχαται, καὶ ἀττικῶς διπλασιασμὸς ὀρωρέχαται, ὁ ὑπερσυντελικὸς, ὀρωρέχατο προτὶ δειρήν. Σ. Β.

Σ. 31. Ἀορτήρεσσιν] Τοῖς ἀπαιωροῦσι τὸ ξίφος ἱμᾶσι. Σ.— Ὅ ἐστι χρυσοῦς ἔχον ἀορτῆρας, ἤγουν ἀναφορεῖς, καὶ ὡς ἄν τις εἴπῃ δημοτευόμενος, βαστάγια, ἢ κρεμαστῆρας, ἀπὸ τοῦ ἀείρω. Ε.

Σ. 32. Θοῦριν] Ἤτοι πολεμικὴν, ἢ εὐκίνητον καὶ κούφην τῷ φοροῦντι. Σ.

Σ. 33. Ὀμφαλοί] Ὅ ἐστι βοῦλαι. Ε.

Σ. 35. Λευκοί] Ὅτι οὐ μάτην τὸ λευκοὶ προσέθηκεν ἐν τῷ, ὀμφαλοὶ κασσιτέρου, ἀλλ' ἵνα δηλώσῃ τὸ ἄκρατον αὐτοῦ καὶ κυάνῳ ἀμιγές. Ε.

Σ. 36. Βλοσυρῶπις ἐστεφάνωτο] Φοβερὰ καὶ καταπληκτικὴ τὴν πρόσοψιν. — Ἐστεφάνωτο] Περιεῖχε, περιέκειτο. Σ.

Σ. 40. Ἀμφιστρεφέες] Ἐξ ἑνὸς στόματος τοῦ δράκοντος τρεῖς ἐπεφύκεισαν κεφαλαὶ ἀλλήλαις συμπεπλεγμέναι. Σ. — Ἀμφιστρεφέες, ἤγουν κατὰ κύκλον καμπτόμεναι· ἢ ἀμφιστρεφέες, ὅ ἐστιν ἀλλήλαις συμπεπλεγμέναι· ἑνός φησιν αὐχένος ἐκπεφυυῖαι. Ε.

Σ. 41. Ἀμφίφαλον] Ἀμφοτέρωθεν φαλοὺς ἔχουσαν. Σ.

Σ. 45. Ἐπὶ δ' ἐγδούπησαν] Ἐπεκτύπησαν, ἐπεβρόντησαν. Σ. (ἀνάγνωθ. ἐπὶ δ' ἐγδούπησαν). — Ὡς τοῦ τῆς βροντῆς δούπου τῇ ἀστραπῇ συντρέχοντος· — τὸ δὲ ἐγδούπησαν μεσολαβοῦν ἔσχε τὸ γ διὰ τραχύτητα φωνῆς· πάντως γὰρ οὐκ ἔστι φυσικὸν, οὔτε γὰρ ὁ γδοῦπος ἐν ἁπλότητι εὕρηται, οὔτε γδουπῶ ῥῆμα· συνθέτως μέντοι ἐρίγδουπος λέγεται· οὐχ οὕτω δὲ τραχύφωνον τὸ γδουπεῖν, ὡς τὸ βροντᾷν· ἔχει δὲ ὅμως τραχύτητος ἰδιότητα καὶ ὁ γδοῦπος καθὰ καὶ ὁ κτύπος καὶ ὅσα τοιαῦτα. Ε.

Σ. 50. Ἠῶθι πρό] Ἤγουν ἐκ πρωΐας, ὁ σχηματισμὸς κατὰ τὸ Ἰλιόθι πρὸ, καὶ οὐρανόθι πρό. Ε. — Πρὸ τῆς ἀνατολῆς, πρὸ ἡμέρας. Σ.

Σ. 51. Φθὰν δὲ μεθ' ἱππήων] Ἔφθασαν οἱ πεζοὶ ἐν τῇ τάφρῳ μετὰ τῶν ἵππων κοσμηθέντες· δηλονότι ἐάσαντες τοὺς πεζοὺς τοῖς ἵπποις καὶ τὰ ἅρματα πρὸς τὸ ἀγαγεῖν αὐτά. Σ. Β. — Φθὰν δὲ μεγ' ἱππήων] Ἔστι δὲ ὁ νοῦς τοιοῦτος, ἔφθασαν δὲ κατὰ τὸ πολὺ οἱ πεζοὶ τοὺς ἱππεῖς, προδιαταγέντες ἐπὶ τάφρον. — Ἡ δὲ διπλῆ, πρὸς τὸ δοκοῦν μάχεσθαι· εἰ

НБ ОНУ імені І.І. Мечникова

γὰρ μεγάλως ἔφθασαν, πῶς οἱ ἱππεῖς ὀλίγον μετεκίαθον αὐτῶν; λέγει δὲ, φθὰν δὲ μέγα, χρονικῶς, ἀντὶ τοῦ πολλῷ χρόνῳ προέλαβον ὀλίγον δὲ μετεκίαθον· τοπικῶς οὖν ὀλίγῳ τόπῳ διεστῶτες, μετ' αὐτοὺς ἔκιον. Σ. Β.

Σ. 53. Ἐέρσας] Δρόσους. Σ.

Σ. 54. Μυδαλέας] Διαβρόχους, ὑγροὺς. Σ.

Σ. 55. Κεφαλάς] Ὅρα τὸ κεφαλὰς, χρήσιμον ὂν εἰς τὸ, τεῦκρε φίλη κεφαλή· καὶ, τοίην γὰρ κεφαλὴν ποθέω, ὡς ἀδιάφορον ὂν ψυχὴν εἰπεῖν, ἢ κεφαλήν· τοῦτο δὲ διὰ τὸ δοκεῖν ἐν κεφαλῇ ἱδρύσθαι τὸ τῆς ψυχῆς θειότατον. Ε.

Σ. 56. Ἐπὶ θρωσμῷ πεδίοιο] Ἴδ. Κ, 160.

Σ. 62. Οὔλιος ἀστήρ] Οὔλιος δὲ ἀστὴρ κατά τινας, ὁ τοῦ κυνὸς, ὡς φθοροποιὸς διὰ τὰ ὑπὸ κύνα ὀλέθρια καύματα. (Ἴδ. Ἰλ. Χ, 26.). — Οἱ δὲ τὸ οὔλιον αὔλιον γράφουσιν (Ἴδ. Ἀπολλον. Δ, 1629.), ὅ ἐστιν ἕσπερον, ὃς δηλαδὴ εἰς αὖλιν ἄγει τὰ ζῶα, τουτέστιν αὐλίζεσθαι ποιεῖ. Ε. — Ἐμφερεστάτη ἡ εἰκὼν πρός τε τὴν λαμπρότητα καὶ τὸ μὴ διηνεκῶς φαίνεσθαι, ἀλλ' ἔσθ' ὅτε καὶ ἀποκρύπτεσθαι. Ὥσπερ οὖν ὁ ἀστὴρ ἐν τῇ κινήσει ἐνίοτε καὶ ὑπονέφελος γίνεται, οὕτως καὶ Ἕκτορά φησι καὶ ἀπολάμπεσθαι τοῖς ὅπλοις, καὶ ἀποκρύπτεσθαι ὑπὸ τοῦ πλήθους, ἄλλοτε ἐπ' ἄλλα μέρη φαινόμενον. Σ. Β.

Σ. 67. Ὥστ' ἀμητῆρες—ἀλλήλοισιν] Ὅτι οὐκ ἀεὶ μὲν, πολλάκις δὲ ὅμως καιροῦ, οἱ πάλαι θερισταὶ ἀπὸ περάτων ἀρχόμενοι τοῦ ληΐου, ὅτε ἴσως μέγα τε εἴη ἐκεῖνο καὶ εὔκαρπον, καὶ ὡς ὁ ποιητὴς λέγει, μάκαρος ἀνδρός· καὶ διὰ τοῦτο εὐτυχοῦς, ἐτελεύτουν εἰς τὰ μέσα, ἔριν ἀγαθὴν ταύτην ἱστῶντες καὶ ἁμιλλώμενοι τάχιον συντελέσαι τὸ ἔργον· τοιούτοις θερισταῖς παραβάλλει νῦν τοὺς ἐξ ἀντιπροσώπου μαχομένους ὁ ποιητής. — Καὶ ἔστιν ἡ παραβολὴ αὕτη ἁρμόττουσα ὅλη ὅλῳ τῷ πράγματι· ἐναντίοι γὰρ ἀλλήλοις καὶ οἱ θερισταὶ καὶ οἱ μαχηταί· καὶ ὥσπερ ἐκεῖ συχνὰ πίπτει δράγματα, οὕτως ἐνταῦθα συχνοὶ νεκροί. Ε.

Σ. 68. Ὄγμον] Ὄγμος δὲ ὁ προαροτριασθεὶς τόπος καὶ ἀνοιγεὶς ἑλκυσμῷ ἀρότρου, ὡς ἀπὸ τοῦ οἴγω, ἢ καὶ ἀπὸ τοῦ ἄγω — ἡ ἐπίστιχος ἀγωγή. Ε. — Τὸ ἐπίστιχον ἔργον τῶν θεριζόντων. Σ. — Ὄγμος, ἡ ἐπὶ στίχον φυτεία. (Σχολ. Σοφ. Φιλ. 163.). — Ἡ κατὰ στίχον ἔφοδος τῶν θεριστῶν. Σουΐδ. κατὰ καὶ ἐπὶ στίχον. — Ὄγμον ἐλαύνειν. (Ἴδ. Θεοκρ. I, 2.).

НБ ОНУ імені І.І. Мечникова

Σ. 72. Ἴσας δ' ὑσμίνη] Κατὰ μίαν εὐθεῖαν εἶχον τὰς κεφαλάς· ὅ ἐστιν, ἐξίσωτο αὐτοῖς ἡ μάχη. Σ. — Ὅτι Ἀρίσταρχος ὑσμίνη γράφει, χωρὶς τοῦ ι, φησὶ γάρ, ἥτε τῶν Ἑλλήνων ὑσμίνη καὶ βαρβάρων ἰσοκέφαλος ἦν, οἷον ἀμφοτέρων ἰσοκέφαλος ἦν ἡ μάχη τῶν τε Ἑλλήνων καὶ τῶν Τρώων. Σ. Β.

Σ. 73. Θῦνον] Ἐνθουσιωδῶς ὥρμων. Σ.

Σ. 84. Ἱερὸν ἦμαρ] Ἰδ. Θ, 66. — Ὅρα δέ, ὡς οὐχὶ μετραῖς ὥραις τὴν ἡμέραν, ἀλλὰ τῇ τοῦ ἡλίου ἄλλως ἁπλούστερον κινήσει — ὡρῶν γάρ φασι μέτρησις οὔπω ἠκρίβωτο· ὡς καὶ αὐτίκα φαίνεται ἐν οἷς ὁ ποιητὴς ἀπὸ δρυτόμου ἐνταῦθα σημειοῦται τὴν μεσημβρινὴν ὥραν. Ε.

Σ. 26. Ὡπλίσσατο δόρπον] Εὐστ. δεῖπνον· ὅρα δὲ καὶ μέχρι πότε βούλεται ὁ ποιητὴς διήκειν τὸ δεῖπνον· ἕωθεν γὰρ ἄχρι καὶ μέσης ἡμέρας, ὅτε καὶ ὁ δρυτόμος μάλιστα κάμνει ταμνων δένδρεα· — ὅτι δὲ τὸ δεῖπνον ἀοριστεύει, δῆλον. Ὧδε μὲν γὰρ τὸ περὶ μεσημβρίαν δηλοῖ, ἀλλαχοῦ δὲ πολλαχοῦ τὸ πρωϊνόν. Ἐν δὲ τῷ τέλει τῆς Κ ῥαψῳδίας (στ. 578.), τὸ ἅμα τῇ ἕῳ, ἔνθα δειπνῆσαι εἰπὼν τοὺς κατασκόπους, ἐπάγει· ἠὼς δ' ἐκ λεχέων καὶ τὰ ἑξῆς· ἴσως δὲ δεῖπνον ἄρτι τὸ περὶ μεσημβρίαν. Ε. — Οὐ λέγει δὲ δεῖπνον τὴν ἑσπερινὴν τροφὴν νῦν, ἀλλὰ δεῖπνον καλεῖ, ὃ ἡμεῖς ἄριστον. Σ. Β. — Δρυτόμος ἀνήρ] Τὸ δὲ δρυτόμος. ἐκ μέρους τοῦ δρυός, ὃς τίμιος ἐδόκει τοῖς παλαιοῖς διὰ τὰς πρεσβυτέρας καὶ παλαιφάτους βαλανηφόρους δρύας, τὸν ἁπλῶς ξυλοκόπον καὶ ὑλοτόμον δηλοῖ· ὥσπερ καὶ δρυμὰ καὶ δρυμών, οὐ μόνον ὁ δρύας ἔχων τόπος, ἀλλὰ καὶ λοιπὰ δένδρα. — Διὸ καὶ ὁ ποιητὴς δρυτόμον εἰπών, ἐπάγει· τάμνων δένδρεα, οὐ μὴν δρῦς μόνους· ὡς εἶναι ταὐτὸν τὸ τάμνειν δένδρεα, καὶ τὸ δρυτομεῖν. Ε.

Σ. 87. Ἐκορέσσατο χεῖρας] Ἀντὶ τοῦ ἔκαμεν, ἐκοπίασεν. Σ.

Σ. 90. Ῥήξαντο φάλαγγας] Λέγει δὲ ῥήξασθαι τὸ διακόψαι συνασπισμὸν ἀντιμάχων· ὅπερ ὁ κατορθῶν δι' ἀνδρίας ῥηξήνωρ κατὰ τοὺς παλαιοὺς ἦν. Ε.

Σ. 91. Κεκλόμενοι] Παρακελευόμενοι. Σ.

Σ. 100. Περίδυσε χιτῶνας] Περιδύειν δὲ τὸ ὅλον ἐκδύειν δηλοῖ. Ε. — Ἐπειδή φησι τοὺς ἐν τοῖς στήθεσιν αὐτῶν χιτῶνας ἀφείλετο, καὶ γυμνοὺς φαινομένους τοὺς νεκροὺς κατέλιπε. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 105. Δίδη] Τὸ δὲ δίδη δηλοῖ μὲν τὸ ἐδέσμει, ἔστι δὲ ὅμοιον τῷ ἵστη· ὡς γὰρ αὐτὸ ἀπὸ τοῦ ἱστῶ ἵστημι· οὕτω τὸ δίδη ἀπὸ τοῦ διδῶ δίδημι· ὅπερ οὕτω φράζεται πρὸς διαστολὴν τοῦ διδῶ δίδωμι. — Μόσχοισι λύγοισιν] Μόσχους δὲ λύγους τοὺς ἁπαλοὺς δηλοῖ καὶ τρυφερούς, καί φασιν οἱ περὶ Ἀπίωνα καὶ Ἡρόδωρον, ἀπὸ τῶν ἔτι ἁπαλῶν βοῶν, ὅ ἐστι μόσχων μετηνέχθαι τὴν λέξιν ἐπὶ τὰ τρυφερὰ καὶ λυγώδη φυτά. Ε.

Σ. 106. Ἔλυσεν ἀποίνων] Ἐλλειπτικῶς εἴρηται ἀντὶ τοῦ ἀπέλυσε διὰ δώρων. Ε. — λύτρα δεξάμενος ἀπέδωκε. Σ.

Σ. 109. Ἐκ δ' ἔβαλε ἵππων] Ἤγουν ἐξέῤῥιψε τοῦ ἅρματος. Ε.

Σ. 120. Χραισμῆσαι ὄλεθρον] Ἐντελῶς εἴρηται· ὥστε ἀνωτέρω ἐν τῷ, οὐ δύναται χραισμεῖν, λείπει τὸ ὄλεθρον. Ε.

Σ. 124. Δεδεγμένος—δῶρα] Τὸ δὲ δῶρα δεδεγμένος συντεθὲν, τὴν δωροδοκίαν ποιεῖ. Ε.

Σ. 127. Ὁμοῦ δ' ἔχον] Φησὶν, ἤγουν ἤλαυνον ὠκέας ἵππους. Ε.

Σ. 129. Κυκηθήτην] Ἐταράχθησαν. Σ. — Μετήνεκται· κυρίως γὰρ κυκᾷν ἐπὶ ὑγρῶν. Ε.

Σ. 130. Γουναζέσθην] Ὅ ἐστι γουναστικῶς καὶ ἱκετευτικῶς ἔλεγον· οὐ γὰρ δήπουθεν γούνων ἥπτοντο οἱ ἐκ δίφρου λαλοῦντες. Ε.

Σ. 137. Ἀμείλικτον] Ἀπηνῆ, καὶ σκληρὰν, καὶ ἀπαράκλητον καὶ ἀφιλάνθρωπον, καὶ ἀνηλεῆ καὶ ἀδυσώπητον. Σ. Β.

Σ. 140. Ἀγγελίην ἐλθόντα] Ἀγγελίην ἐλθόντα, ἀντὶ τοῦ εἰς πρεσβείαν. Σ. (ἴδ. Ἀπολλόν. σελ. 735.).

Σ. 141. Ἐξέμεν] Ἐξεῶσαι, ἐκπέμψαι. Σ.

Σ. 142. Ἀεικέα τίσετε λώβην] Ἤγουν τὴν μετὰ αἰκίας ποινὴν, ἣν ἐκεῖνον ἔδει παθεῖν. Ε.

Σ. 147. Ὅλμον δ' ὡς ἔσσευε] Ἤγουν ἀφῆκε κυλίεσθαι ἐν μέσῳ οἷα ὅλμον, ὃς λίθος ἐστὶ στρογγύλος κυλινδροειδὴς, ἢ σκεῦος κοῖλον ἐκ λίθου, ἢ καὶ ξύλου, ἐν ᾧ πτίσσονται κοπτόμενα ὄσπρια ἢ ἕτερα. — Ἔσσευε] Τὸ δὲ ἔσσευεν ἀλλοπαθῶς εἴρηται, ἀντὶ τοῦ κινηθῆναι ἐποίησε, καὶ ὡς εἰπεῖν, παρώρμησε. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 153. Χαλκῷ δηϊόωντες] Ἤτοι δαίοντες, μερίζοντες, κόπτοντες. Ε.

Σ. 155. Ἀξύλῳ ἐμπέσῃ ὕλῃ] Ἄξυλος δὲ ὕλη, ἡ δασεῖα καὶ πολύξυλος κατὰ ἐπίτασιν, ἢ κατὰ Πορφύριον, ἀφ' ἧς οὐδεὶς ἐξυλεύσατο· ἣν ξύλοχον λέγει ἐν ἄλλοις, διὰ τὴν ἐν αὐτῇ πυκνὴν τῶν ξύλων συνέχειαν· εἴη δ' ἂν πάντως καὶ ἡ ἀξύλευτος, πολύξυλος, εἰςαγούσης τῆς στερήσεως ἐπίτασιν· καὶ ὡς εἰπεῖν, πλουτιζούσης τῇ ἐνδείᾳ. Ε. — Ἀΐδηλον] Ἴδ. Ε. 880. καὶ Φ, 220.

Σ. 156. Εἰλυφόων] Εἰλυφόων δὲ κατὰ παραγωγήν, ὁ εἱλῶν καὶ στρέφων πανταχοῦ, ἢ καὶ κατὰ σύνθεσιν, ὁ ἐνταῦθα καὶ ἐκεῖ εἱλῶν τὸ φαῖνον πῦρ. Ε. — Θάμνοι] Ἴδ. Χ, 191.

Σ. 160. Κροτάλιζον] Ἀντὶ τοῦ ἕλκοντες ἠχὴν ἐποίουν. Σ.

Σ. 161. Ἡνιόχους ποθέοντες] Τὸ δὲ ἡνιόχους ποθέοντες, ὡς ἐπὶ λογικῶν καὶ ἐμφρόνων τῶν ἵππων εἴρηται. Ε.

Σ. 162. Φίλτεροι] Φίλτεροι ἦσαν τοῖς γυψίν, ὅτε ἀπέθανον, ἢ ταῖς γυναιξίν, ὅτε ἔζων· ἢ τοῖς μὲν γυψὶν ἔμελον, ταῖς δὲ γυναιξὶ οὔ. Σ. Β.

Σ. 163. Ἐκ βελέων ὕπαγε] Ἀντὶ τοῦ ἔξω τῶν βελῶν· ἐντέχνως δὲ ἔχει καὶ ταῦτα· τότε γὰρ παρόντα ἐλαττοῦσθαι Ἀγαμέμνονα, οὐ σύμφωνον τῇ ποιήσει· τότε περιφεύγειν αὐτὸν οὐ τῆς θρασύτητος Ἕκτορος· καλῶς οὖν τὸν Δία φησὶν αὐτὸν ἐξαγαγεῖν· ὡς εἴπερ παρῆν, ἀπέλαυσεν ἂν τοῦ δεινοῦ. Σ. Β.

Σ. 165. Σφεδανόν] Ἐπεικτικὸν, σφοδρὸν ἢ καταπληκτικόν. Σ. — οἱ μὲν ἀντὶ τοῦ σφενδονηδόν· οἱ δὲ, ἀντὶ τοῦ σπευστικῶς εἵπετο. Σ. Β.

Σ. 167. Ἐρινεόν] Ὁ ἐρινεὸς οὐκ ἐν μέσῳ τῷ πεδίῳ, ἀλλ ἐγγὺς τῆς πόλεως· λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα ἀμβατός ἐστι πόλις· — ὅτι δὲ καὶ ἐν μέσῳ τῷ πεδίῳ ἐστὶ τὸ Ἴλου σῆμα, φανερὸν ἐξ ἐκείνου, Ἕκτωρ μὲν μετὰ τοῖσιν, ὅσοι βουλὰς βουλεύουσιν, θείου παρὰ σήμασι Ἴλου· (Κ, 415.)· — ἡ δὲ μάχη ἐν τῷ πεδίῳ. Συναπτέον οὖν ἀναγιγνώσκοντας ἕως τοῦ μέσσον καππεδίον, εἶτα βραχὺ διαστείλαντας τὰ ἑξῆς ῥητέον, καὶ οὕτως λυθήσεται τὸ ἐν τῷ τόπῳ ἄπορον, καὶ Ἴλου σῆμα καὶ μέσον πεδίον, καὶ ἐρεινεὸς καὶ ἡ πόλις ἐν ταὐτῷ παρέρχονται γὰρ τὸ μέσον πεδίον, ἐν ᾧ τὸ Ἴλου σῆμα, σεύονται δὲ πρὸς τὸν ἐρεινεόν, ἵενται δὲ τῆς πόλεως, ὥστε οὕτως ἔλεγεν, οἱ δὲ διὰ μέσου τοῦ πεδίου παρὰ τὸ Ἴλου

НБ ОНУ імені І.І. Мечникова

μνημεῖον ἔφυγον πρὸς τὸν ἐρεινεὸν, σπεύδοντες τὴν πόλιν. Σ. Β. (Ἴδ. Ζ, 433.).

Σ. 169. Λύθρῳ] Ἴδ. Ζ, 268. — Χεῖρας ἀάπτους] Ἴδ. Λ. 567.

Σ. 170. Σκαιάς τε πύλας] Ἴδ. Γ, 145. καὶ Χ, 360.

Σ. 173. Ἐν νυκτὸς ἀμολγῷ] Ἴδ. Χ, 28.

Σ. 175. Ἐξ αὐχέν᾽ ἔαξε] Ἰδιότης καὶ νῦν λέοντος· ὃς βοὸς δραξάμενος, καταγνύει πρῶτον τὸν αὐχένα, δέει τῶν κεράτων, εἶτα λαφύσσει· ὅπερ τὸ ῥαγδαίως καταπίνειν δηλοῖ. Ε. (Ἴδ. Ἰλιάδ. Ρ, 61.).

Σ. 176. Λαφύσσει] Μετὰ ποιοῦ ἤχου ἀναῤῥοφεῖ, ἢ κενοῖ ἐσθίων· παρὰ τὸ γλαφυρὸν ποιεῖν, ὅ ἐστι κοῖλον. Σ.

Σ. 179. Πρηνεῖς τε καὶ ὕπτιοι] Πρηνεῖς μὲν κεῖνται πάντες οἱ φεύγοντες, ὕπτιοι δὲ οἱ ἀντιστάντες τῷ βασιλεῖ. Ε.

Σ. 180. Περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν] Ἀντὶ τοῦ περισσῶς προώρμα τῶν ἄλλων τῷ δόρατι προμαχόμενος. Ε.

Σ. 183. Πιδηέσσης] Ὅτι μὲν ἀλλαχοῦ πολυπίδακα τὴν Ἴδην λέγει, διὰ τὸ πολύυδρον τοῦ ὄρους, ἐνταῦθα δὲ, καθ᾽ ὅμοιον λόγον πιδήεσσαν, οἱονεὶ πιδακόεσσαν. Ε.

Σ. 187. Ὄφρ᾽ ἂν μέν κεν ὁρᾷ] Ἰστέον δὲ ὅτι ὁ Ἕκτωρ ἄρτι διὰ τὸ ἐπὶ τῷ βασιλεῖ δέος, εὕρηται ἄεργος ἑστὼς ἔν τε ἅρμασι κολλητοῖς καὶ ἵπποισι, ὡς οἷα τεθαμβημένος, μήτ᾽ αὐτὸς πολεμῶν, μήτε τοῖς φεύγουσιν ἐγκελευόμενός τι· ὀψὲ δέ ποτε Διὸς ἀγγελίαν λαβὼν, ὅ ἐστιν εἰς νοῦν ἐλθών — κρίνει δέον εἶναι ὑπεικέιν τῆς μάχης καὶ φυλάξασθαι τὸν κίνδυνον, συννοούμενος, ὡς εἰκὸς, οὐκ ἐπὶ μακρὸν ἀνθέξειν τὸν βασιλέα μαχόμενον, ἀλλὰ φευξεῖσθαι. Ε.

Σ. 189. Ἀναχωρείτω] Ὅρα δὲ, ὡς ἐπὶ Ἕκτορος τὸ φεύγειν ἀναχωρεῖν Ὅμηρος εἶπε σεμνῶς φράσας. Ε.

Σ. 192. Εἰς ἵππους ἅλεται] Εἰς τὸ ἅρμα ἀνέλθῃ. Σ.

Σ. 198. Κολλητοῖσιν] Λείπει τὸ εὖ. Ε.

Σ. 201. Τεΐν] Ἐν τούτοις δὲ κεῖται καὶ Δωρικὴ ἀντωνυμία, τὸ τεΐν, ἀντὶ τοῦ σοί· ὁποῖον παρ᾽ ἄλλοις καὶ τὸ ἐμὶν ἀντὶ τοῦ ἐμοί. Ε.

Σ. 216. Ἀρτύνθη] Ἀρτύνεσθαι δὲ μάχην λέγει τὸ τοὺς στρατιώτας, ὡς ἔφη, στῆναι καὶ οὕτως ἄρτιον καὶ ἀραρότα γίνεσθαι τὸν στρατόν. Ε. (Ἴδ. Β, 55.) — παρεσκευάσθη, ἡτοιμάσθη. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 225. Ἐπεί ῥ' ἥβης] Ἐν δὲ τῷ ἥβης μέτρον τὸν καίριον γάμον δηλοῖ, ὅτε δηλαδὴ φίλτατος ἂν εἴη τῇ νύμφῃ ὁ γαμέτης· — μέτρον δὲ τὴν ἡλικίαν λέγει καθ' ἣν χρονικῶς μετρεῖται τὰ ἡλικιούμενα ζῶα· δῆλον δὲ καὶ, ὅτι τὸ ἥβης ἐρικυδέος ἵκετο μέτρον, περίφρασίς ἐστι τοῦ ἥβησε. Ε. — Ἐρικυδέος] Τῆς μεγάλως ἐνδόξου. Σ. — Ὅτι ὅμοιος ὁ γάμος Διομήδους καὶ Ἰφιδάμαντος· ἀμφότεροι γὰρ μητρὸς ἀδελφὰς ἐγάμησαν, ὁ μὲν Αἰγιάλειαν τὴν Ἀδράστου, Ἰφιδάμας δὲ Κισσέως θυγατέρα, ὧν Θεανοῦς υἱὸς τῆς Κισσέως. Σ. Β. (ἴδ. Ἀπολλόδ. σελ. 132.).

Σ. 227. Ἐκ θαλάμοιο] Τὸ δὲ ἐκ θαλάμοιο δηλοῖ μὲν τὴν εἰς Τροίαν ἐξ ὑπογυίου μετὰ γάμον αὐτίκα ἔλευσιν. Ε. — Ὅτι καθ' ὑπερβολὴν ἐμφαίνει τὸ ὑπόγυιον τοῦ γάμου, καὶ τὴν περὶ τὸν πόλεμον σπουδὴν καὶ τὸ οἰκτρὸν τῆς ἀναιρέσεως. Σ. Β. — Μετὰ κλέος ἵκετο] Μετὰ τὴν ἀκοὴν τῆς ἐπιστρατείας τῶν Ἑλλήνων κληδόνα ἢ φήμην ἀκούσας, ὅτι ἐπεστράτευσαν τῇ Τροίᾳ. Σ.

Σ. 229. Ἐν Περκώπῃ] Ἡ δὲ Περκώπη αὕτη ἑτέρα ἐστὶ παρὰ τὴν διὰ τοῦ τ, ὡς ἀλλαχοῦ κεῖται, γραφομένην Περκώτην. Ε. (ἴδ. Β, 831.). — Ἡ δὲ Περκώτη πόλις Ἑλλησπόντου. Σ. (ἴδ. Στράβ. ΙΓ. § 20. σελ. 298. καὶ Ἡρόδ. Ε', 117.). — Λίπε νῆας] Ἐθαλασσοκράτουν γὰρ οἱ Ἕλληνες, διὸ τὰς ναῦς καταλιπὼν πεζὸς ἦλθεν εἰς Τροίαν. Σ.

Σ. 233. Ἐτράπετ' ἔγχος] Ἀπέτυχεν· μόνον νῦν ὁ πρότερος ἀφεὶς νικᾷ, καὶ δεύτερος ἀφείς· ἐν δὲ ταῖς ἄλλαις μονομαχίαις τετήρηται, ὅτι ὁ πρότερος ἀφεὶς νικᾶται. Σ. Β. — Ἰστέον δὲ, ὅτι τὸ παρετράπετο ἔγχος, ἑρμηνευτικόν ἐστι τοῦ ἥμαρτε· τὸ μέντοι ἐτράπετο αἰχμὴ, οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ἀντὶ τοῦ ἐκάμφθη κεῖται. Ε. — εἰς τοὐπίσω ἀνετράπη. Σ.

Σ. 236. Οὐδ' ἔτορε] Οὐδὲ διέκοψεν. Σ.

Σ. 239. Ὥστε λίς] Καὶ οἱ λέοντες γὰρ ὑφαρπάζουσι τῶν κυνηγετῶν τὰ δόρατα, ἀφαιρούμενοι τῶν κτεινόντων τὸ ὅπλον, καὶ λανθάνουσιν ἑαυτοὺς τιτρώσκοντες. Σ. Β.

Σ. 241. Χάλκεον ὕπνον] Ἤ τὸν ἐκ σιδήρου φησὶ, ἢ τὸν στεῤῥὸν, διὰ τὸ ἀνέγερτον. Ε.

Σ. 242. Οἰκτρός] Οἴκτου καὶ ἐλέους ἄξιος. Σ.

Σ. 243. Ἧς οὔτι χάριν ἴδε] Μάλιστα δὲ χάρις ἐνταῦθά ἐστι τὸ ἐκ τῆς τεκνοποιίας καὶ μακρᾶς συμβιώσεως καλόν· ὧν

НБ ОНУ імені І.І. Мечникова

στερηθεὶς ὁ Ἰφιδάμας, ὡς πρὸ ὥρας θανὼν, ἡμιτελῆ τὸν δόμον καὶ αὐτὸς ἔλιπεν (Β, 100.) Ε.

Σ. 248. Ἀριδείκετος] Πάνυ ἔνδοξος, εὐπρεπέστατος. Σ.

Σ. 251. Εὐρὰξ] Τὸ δὲ εὐρὰξ δηλοῖ μὲν τὸ ἐκ πλαγίου, γίνεται δέ φασιν ἀπὸ τοῦ πλευρὰξ. Ε. — ἠνάγκαστο μὲν διὰ τὸ πάθος τοῦ ἀδελφοῦ παρακινδυνεύειν· οὐ τολμᾷ δὲ, ἀλλὰ καλύπτει τὴν μάχην λεληθότως. Δυστυχίας οὖν οὐκ ἀνανδρίας ἐγκαλεῖται Ἀγαμέμνων· ἀριστεύων γὰρ ὑπό τινος εὐτελοῦς ἐκ πλαγίου τιτρώσκεται· Μενέλαος δὲ τοὐναντίον, μαλθακὸς μὲν αἰχμητὴς, ἄλλως δὲ μακάριος. Σ. Β.

Σ. 254. Ῥίγησεν] Ὅρα δ' ἐνταῦθα τὸ γενναῖον τοῦ βασιλέως, εἰ καὶ ῥιγήσας μετὰ πληγὴν, ὅμως οὐκ ἀπέληγε μάχης, ῥιγῆσαι μὲν γὰρ ἐπὶ πληγῇ, ἀνθρώπινον· ἀνδρεῖον δὲ τὸ ὑποστῆναι καὶ οὕτω μάχην. Ε.

Σ. 256. Ἀνεμοτρεφὲς ἔγχος] Τὸ τραφὲν καὶ ἐγγυμνασθὲν τὰς ἶνας ἀνέμῳ· καὶ διὰ τοῦτο στεῤῥὸν καὶ οὐκ εὔθραυστον, ἀλλὰ εὔτονον ὁποῖα τὰ ἐν εὐηνέμοις χωρίοις τρεφόμενα φυτά. Διὸ καὶ ἡ τοῦ Ἀχιλλέως μελία Πηλίου ἐκ κορυφῆς τέτμηται· — ἄλλοι δὲ ἀνεμοτρεφές, φασι, τὸ κοῦφον καὶ εὐκίνητον. Ε.

Σ. 257. Ὄπατρον] Ἔστι δὲ ὄπατρος ὁ ὁμόπατρος, ἀντιδιαιρούμενος τῷ ὁμομητρίῳ. Ε.

Σ. 266. Ἀνήνοθεν] Ἤτοι ἀνεφέρετο ἐξ ὠτειλῆς, ἣν ὑπὸ Κόωνος ἔπαθεν. Ε.

Σ. 267. Ἐτέρσετο] Ἐξηραίνετο τῆς ἐκ τοῦ αἵματος νοτίδος. Σ.

Σ. 268. Ὀξεῖαι δ' ὀδύναι] Ὡς γὰρ ὑπὸ κέντρων, οὕτως ἀλγοῦμεν ἀπὸ τῶν τοιούτων φλεγμόνων· κυριώτατα οὖν κεῖται τὸ ὀξεῖαι· καὶ ἔστι δυσμετάληπτον τὸ ὄνομα, τοῖς πεπειραμένοις μόνοις δῆλον· πάντα δὲ ὀδυνηρὰ ἔλαβε τὰ ὀνόματα, τὸ ὀξὺ, τὸ δριμὺ, τὸ πικρὸν, ἐπιτείνων τὰς ὀδύνας. Σ. Β.

Σ. 269. Ὠδίνουσαν] Ἔστι δὲ κυρίως ὠδίνειν τὸ ἐπὶ τόκῳ ἀλγεῖν. — Ἔχῃ βέλος] Τὸ δὲ βέλος ἔχῃ, κάτοχον ὀδύναις βούλεται εἶναι τὴν ὠδίνουσαν, καὶ οὐκ ἔστι φράσαι κάλλιον. Ε. (ἴδ. Πλουταρχ. περὶ τῆς φιλοστοργίας. σελ. 496.).

Σ. 270. Προϊεῖσι] Δῆλον δ' ὅτι σωματικώτερον ἡ ποίησις ὄργανόν τι ταῖς τικτούσαις προΐεται, ὡς ἐκ τόξου ὀϊστός. — Μογοστόκοι] Τὸ δὲ μογοστόκοι Εἰλείθυιαι παροξύνεται ὁμοίως τῷ πρωτοτόκοι γυναῖκες, ὡς ἐνέργειαν δηλοῦν τὴν κατὰ τῶν τικτουσῶν·

НБ ОНУ імені І.І.Мечникова

τὰ γὰρ τοιαῦτα τῶν συνθέτων, ὥς φασιν οἱ παλαιοί, ἐνέργειαν ὑπισχνούμενα παροξύνονται, εἰ μὴ κανὼν ἄλλος κωλύει. — Θυγατέρες δὲ Ἥρας γαμηλίου μυθικῶς αἱ μογοστόκοι Εἰλείθυιαι, ὡς ἐπιστατοῦσαι τόκοις· καὶ ἐν τῷ ποιεῖν τὰ ἔμβρυα εἰς φῶς ἐλεύθειν μόγους ταῖς τικτούσαις ἐκ τῶν ὀδυνῶν ἐπάγουσαι, ὡς εἰ καὶ βέλη ἔπεμπον· καὶ ἴσως τοιούτῳ λόγῳ τοξικὴ καὶ ἡ Ἄρτεμις, ὡς τοῖς τόκοις οὕτω ἐπιστατοῦσα καὶ αὐτή, διὸ καὶ Λοχεία ἐπονομάζεται. Ε.

Σ. 282. Ἄφρεον δὲ στήθεα] Ἀφροῦ ἐπληροῦντο, ἵδρουν. Σ.

Σ. 284. Νόσφι κιόντα] Εὐφήμως ῥηθὲν ἐπὶ ἀναχωρήσεως, ταὐτόν ἐστι τῷ, οἰχόμενον. Ε.

Σ. 292. Ἀργιόδοντας] Ὅρα, ὅτι οὐκ ἐπὶ ἀνδρίᾳ τοὺς Τρῶας, ἀλλὰ θρασύτητι ἐξαίρει· οὐ γὰρ αὐτοὶ λέοντες, ἢ ἀγρότεροι σύες, ἀλλὰ ταῦτα μὲν οἱ φεύγοντες Ἀχαιοί· οἱ Τρῶες δέ, ὡς καὶ ἐν τοῖς ἑξῆς μετ' ὀλίγα ἑτέρᾳ δηλώσει παραβολῇ, κύνες ἀναιδεῖς· ἀργιόδοντες δὲ οἱ ὀξυόδοντες, οἷς ἀργοὶ ὀδόντες, ὅ ἐστι ταχεῖς, θοοί, καὶ μεταληπτικῶς ὀξεῖς. Ε.

Σ. 293. Σεύῃ] Σεύειν δὲ τὸ παρακινεῖν καὶ παρορμᾷν ἤδη δὲ καὶ ὀρίνειν. Ε. — Ἀγροτέρῳ σύϊ] Ἀγρίῳ χοίρῳ· ἀεὶ δὲ διῃρημένως ὁ ποιητὴς λέγει· παρὰ μέντοι τῷ κωμικῷ λέγεται ὗς ἓν σύαγρος. Σ.

Σ. 297. Ὑπεραέϊ] Ἀντὶ τοῦ ἄνωθεν φερομένῃ, ἥτις ἐστὶν ἀπαραφύλακτος καὶ σφοδροτέρα. Πρὸς δὲ τὴν ἀπροσδόκητον ταῦτα εἴρηται ἐπιφάνειαν Ἕκτορος καὶ τὴν ὁρμήν, ἐμφαντικῶς δὲ καὶ τὸ ἅλμα καὶ ἡ ἔμπτωσις τοῦ ἥρωος ταραχὴν παρέστησεν. Σ. Β.

Σ. 298. Ἰοειδέα πόντον] Πόντος δὲ ἰοειδής, οὐ μόνον ὁ μέλας καὶ ἄνθους ἴου εἶδος ἔχων, ἀλλὰ καὶ πλατύς. Ε. — μέλανα, διὰ τὸ βάθος. Σ.

Σ. 300. Ἕκτωρ Πριαμίδης κ. τ. λ.] Ὡς ἐν παρόδῳ καταλέγει τοὺς ἀναιρουμένους, ἐπικρύπτων τῇ βραχυλογίᾳ τὸ ὄνειδος. Σ. Β.

Σ. 305. Ὡς ὁπότε νέφεα Ζέφυρος] Ἡ ὁμοίωσις πρὸς τὸ συνεχὲς τῶν ὁμοιουμένων· ὡς γὰρ νέφη, φησί, διώκει Ζέφυρος ἄνεμος ὑπὸ νότου συνηγμένα, οὕτως διώκων ἀνῄρει τὸ πλῆθος ὁ Ἕκτωρ. Καλῶς δὲ τοὺς πυκνωθέντας μὲν ὑπὸ Ἀγαμέμνονος, διασκεδασθέντας δὲ ὑπὸ Ἕκτορος, νέφεσιν εἰκάζει, ἃ συνάγει μὲν νότος, διώκει δὲ ζέφυρος. Σ. Β. — Καὶ ὅρα,

ὅπως τε τὸ δεινὸν τῆς παραβολικῆς ἐννοίας τραχείαις διόλου ὁ ποιητὴς ἔφρασε λέξεσι, καὶ ὅτι καθάπερ εἰ ἐκ θαλάσσης ἦν ἡ παραβολή, κύμασιν ἂν ἐμέτρει τὸ τῆς πληθύος πυκνόν, οὕτως ἄνωθεν λαβὼν παραβάλλων αὐτὸ νεφῶν πυκνότητι. Ε. — Στυφελίξῃ] Διασείσῃ. Σ. (Ἴδ. Λ, 581.).

Σ. 306. Ἀργέσταο Νότοιο] Ἴδ. Φ, 334. — Παρατηρειοῦνται δὲ οἱ παλαιοί, ὡς οὐ δύναται παρ' Ὁμήρῳ τὸ ἀργέστης ἀνέμου κύριον εἶναι, οὐ μόνον διὰ τὸ κακοσύντακτον, ἀλλὰ καὶ διὰ τὸ τέσσαρας ἀνέμους εἰδέναι μόνους τὸν Ὅμηρον· Νότον, Εὖρον, Βορέαν καὶ Ζέφυρον. Ὁ δὲ Γεωγράφος φανερῶς ἄνεμον καὶ τὸν Ἀργέστην οἶδεν. Φησὶ γοῦν ὅτι ἐναντίος ὁ Ἀργέστης τῷ Εὔρῳ ἀπὸ χειμερινῶν ὄντι ἀνατολῶν· (βιβλ. Ι. σελ. 20.) ἀλλαχοῦ δέ, ἀπεναντίας τοῖς ἐνταῦθα λεχθεῖσιν, εἰς ταὐτὸν ἄγει Ζεφύρῳ τὸν Ἀργέστην· λέγων δυσαῆ Ζέφυρον λέγεσθαι, τὸν ὑφ' ἡμῶν καλούμενον ἀργέστην, ὑφ' οὗ τὰ συναγόμενα νέφη ἀσθενῆ ὄντα, ὁ ζέφυρος εἴωθε διασκιδνάναι. Ε. — Βαθείῃ λαίλαπι] Βαθεῖαν φησιν, ἢ ὡς βυσσόθεν ταράττουσαν τὸ συμπτόμενον, ἢ μᾶλλον οἷα πολὺν ἀέρα ταράττουσαν, καὶ εἰς βάθος ἱκνουμένην, αὐτοῦ. Ε. — ἀντὶ τοῦ μεγάλῃ, ἰσχυρᾷ. Σ.

Σ. 307. Πολλὸν δὲ τρόφι κῦμα] Πολλὸν δὲ κῦμα, τὸ μέγα, οὐ γὰρ ἐπὶ ἀριθμοῦ νῦν κεῖται ἡ λέξις, ἀλλ' ἐπὶ μεγέθους. — Τὸ δὲ τρόφι ἀντὶ τοῦ τρόφιμον, ἤτοι στάσιμον, πεπηγός· — ἐπειδὴ συνέχει τὸ σῶμα καὶ συμπήγνυσιν ἡ τροφή· ἀποκοπὴν δὲ ἔχει τὸ τρόφι, ἐκ τοῦ τρόφιμον, ὡς ἀπὸ τοῦ κρίμνου τὸ κρῖ. Ε. — Εὐτραφές, εὐπαγές. Σ. — Ἄχνη] Ἴδ. Ε, 499.

Σ. 308. Ἀνέμοιο πολυπλάγκτοιο] Πολύπλαγκτος δὲ ἄνεμος, ὁ μὴ ἀεὶ μένων ἐν ταὐτῷ· διὸ καὶ τοὺς κατὰ νοῦν ἀστάτους, ἀνεμιαίους φαμέν. Ε. — τοῦ πανταχοῦ τὰ κύματα περιάγοντος. Σ. Β.

Σ. 309. Πυκνὰ . . . δάμνατο λαῶν] Περίφρασίς ἐστι τοῦ, πολλοὶ ἐφονεύοντο· τοῦ δὲ καρήατα, εὐθεῖα τὸ κάρηαρ. Ε.

Σ. 313. Τί παθόντε λελάσμεθα] Ἠρέμα ἀπολογεῖται περὶ τῆς ἐν προτέρᾳ μάχῃ φυγῆς· τότε γὰρ εἶξεν Ὀδυσσεύς, ὅτε τὸ Ἑλληνικὸν κεραυνοῖς ἐφόβει ὁ Ζεύς, ἀλογίστως δὲ Διομήδης ἀνθίστατο· ἐνταῦθα δὲ οὐδενὸς τοιούτου γενομένου, ὀλισθηρῶς μὲν ὁ Διομήδης ἀφέστηκεν· ὁ δὲ Ὀδυσσεὺς εὐλόγως μένει, καί φησι, τί παθόντε λελάσμεθα, ἤτοι τί τὸ φοβοῦν ἡ-

НБ ОНУ імені І.І. Мечникова

μᾶς ἐστιν. Σ. Β. — Ὅρα δὲ καὶ ὡς ὁ συνετὸς Ὀδυσσεὺς οὐκ ἀπαρακαλύπτως ὠνείδισε τὸν ἑταῖρον, ἀλλὰ κατὰ κοινότητα. Ε.

Σ. 314. Πέπον] Ἴδ. Β, 225. — Ἔλεγχος] Αἰσχύνη, ὄνειδος. Σ. — Εὖ τὸ μὴ τοῦ θανάτου πεφροντικέναι, ἀλλὰ μᾶλλον τῆς αἰσχύνης, ἧς ἐπεφέρετο τὸ πρᾶγμα. Σ. Β.

Σ. 318. Ἔσσεται ἦδος] Ἀπὸ τῆς ἀγχιστρόφου μάχης τοῦτο νοεῖ· Ὀδυσσεὺς δὲ βασανίζει τὸν καιρόν, οἰκονομικῶς δὲ ὁ ποιητὴς ἐπιῤῥίπτει αὐτοὺς τοῖς δεινοῖς, ὅπως τρωθέντες ὑποχωρήσωσι, καὶ δι' ἀναρχίαν ἡ καῦσις τῶν νεῶν γεγονέναι δοκῇ. Διδάσκει δὲ ὅτι χρὴ πράττειν τὰ παρ' ἑαυτοῦ, καὶ εἰ μέλλοι τὰ τῆς τύχης ἐναντιοῦσθαι. Σ. Β.

Σ. 324. Κυδοίμεον] Ἐθορύβουν, ἐτάρασσον. Σ.

Σ. 325. Πέσητον] Ἐμπέσωσιν. Σ.

Σ. 326. Παλινορμένω] Ἐκ τῆς φυγῆς ἐπιστραφέντες. εἰ τοὐπίσω ὁρμήσαντες. Σ.

Σ. 327. Φεύγοντες ἀνέπνεον] Τὸ ἑξῆς, φεύγοντες Ἕκτορα δῖον, ἀσπασίως ἀνέπνεον. Ὅρα δὲ τὸ ὄφελος τῶν Ὀδυσσέως λόγων· παρορμήσας γὰρ τὸν Διομήδη, αἴτιος ἐγένετο τοῖς ἄλλοις Ἕλλησι σωτηρίας. Σ. Β. — ἀσπασίως, Ἡσυχ. ἡδέως, περιχαρῶς, Ἀπολλ. Β, 730.

Σ. 329 Περκωσίου] Ἀπὸ Περκώτης πόλεως Ἑλλησπόντου. Σ. (ἴδ. στ. 229.).

Σ. 334. Κεκαδὼν ψυχῆς] Χωρίσας, στερήσας. — Ὅ ἐστι περιφραστικῶς ἀνελών· — χρόνος δέ ἐστιν ἀορίστου δευτέρου ἐκ τοῦ χάζω ἔχαδον, καὶ ἰωνικῶς κεκαδών. Ε.

Σ. 336. Μάχην ἐτάνυσσε] Τοῦτο θέλει εἰπεῖν, ὡς ἰσοβαρὴ αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γέγονεν ἡ μάχη· ἀριστεύει μὲν γὰρ Ἀγαμέμνων, ἔπειτα Ἕκτωρ· εἶτα τιτρώσκονται οὗτοι, ἐτρώθη δὲ καὶ Ἕκτωρ. Σ. Β. — Τὸ δὲ ἐτάνυσσε, ὡς ἐκ μεταφορᾶς εἴρηται σχοινίου, ὡς καὶ ἀλλαχοῦ δηλοῦται· ὅπου πείρας πολέμου ἐπαλάσσεται κατά τινα πολέμου πέρατα. Ε.

Σ. 340. Ἀάσατο θυμῷ] Ἴδ. Ι, 116.

Σ. 347. Κυλίνδεται] Κυλίνδεται ἀστείως ἔχει ἄρτι ῥηθὲν ὡς ἐπὶ κύματος, ὃ κυλίει βοῤῥᾶς ὑψόθεν καταπνέων. Ε. — Ἐπιφέρεται, ἐπέρχεται. Σ. Β.

Σ. 350. Τετυσκόμενος] Καταστοχαζόμενος. Σ.

Σ. 353. Τρίπτυχος] Τρίπτυχος δὲ ἡ τρεῖς πτύχας ἤτοι θέσεις ἔχουσα, καὶ ὡς εἰπεῖν τριθέλυμνος διὰ στεῤῥότητα πρὸς

НБ ОНУ імені І.І. Мечникова

ἀσφάλειαν· — αὐλῶπις δὲ ἡ ὡς εἰς αὐλὸν ἀνήκουσα, ὅ ἐστιν εἰς στενὸν καὶ μακρὸν ἀπολήγουσα. Ε. — Αὐλῶπις] Τὸν ἐπ' αὐτῇ λόφον ἀνατεταμένον ἔχουσα, εἰς ὃν οἱ αὐλοὶ κατακλείονται· αὐλοὶ δέ εἰσιν αἱ περόναι. Σ.

Σ. 354. Ἀπέλεθρον] Τουτέστιν ἀμέτρητον, ὃ οὐκ ἔστι μέτρῳ οὐδὲ πελέθρῳ μετρῆσαι — θέλει λέγειν, ὅτι ἀπὸ τοῦ δέους μέγα ἥλατο. Σ. Β.

Σ. 355. Στῆ δὲ γνὺξ ἐριπών] Ἔστη ἐπὶ γόνυ πεσὼν, καὶ σκότωσις αὐτῷ γέγονε. Σ. Β. (ἴδ. Ε, 309).

Σ. 358. Καταείσατο] Κατηνέχθη. Σ. — Ὅπου γῆς τὸ τοῦ Διομήδους δόρυ κατῆλθεν. Ε.

Σ. 359. Ἄμπνυτο] Ἀνεσωφρονίσθη, ἀνεκτίσθη. Σ.

Σ. 362. Κύον] Ἀναιδέστατε. Σ.

Σ. 364. Ὧ μέλλεις εὔχεσθαι] Στοχαστικῶς εἴρηται· οὐ γὰρ εἶπεν, ᾧ εὔχῃ, ἀλλ' ᾧ μέλλεις, ἤγουν ἔοικας εὔχεσθαι. — Δύναται δὲ εἶναι καὶ ἀντὶ ὀφείλεις, ὡς καὶ ἑτέρωθι. Ε.

Σ. 365. Ἐξανύω] Ἐπὶ τέλος ἄξω, φονεύσω. Σ. — Ἀντὶ μέλλοντος, τοῦ τελειώσω. Ε.

Σ. 367. Ἐπιείσομαι] Ἐπελεύσομαι. Σ.

Σ. 371. Στήλῃ κεκλιμένος] Τὴν ἐπὶ τοῦ τάφου στήλην προβεβλημένος ἀντὶ ἀσπίδος, ὡς δειλός. Σ. — Ἀνδροκμήτῳ ἐπὶ τύμβῳ] Ἀνδρόκμητος δὲ στήλη, ἡ ἐπὶ ἀνδρὶ οὐ ζῶντι, ἀλλὰ καμόντι, ὅ ἐστι θανόντι· εἰπεῖν γὰρ, περὶ ἣν ἄνδρες ἔκαμον, ἀβαθές ἐστι, καὶ ἀπερινόητον. Ε. — Ἡ ὑπὸ ἀνδρὸς κατεσκευασμένῳ, ἢ ἐπὶ ἀνδρὶ κεκμηκότι καὶ τεθνεῶτι κατεσκευασμένῳ. Σ. Β.

Σ. 372. Ἴλου δημογέροντος] Δημογέρων δὲ Ἶλος, οὐχ ἁπλῶς ὁ γέρων τοῦ δήμου, ἤγουν, ὁ τυχὼν γέρων, κατὰ τὸ, δῆμον ἐόντα ἤγουν δημότην καὶ ἕνα τῶν πολλῶν· — ἐλέγοντο γὰρ οὕτω καὶ οἱ βασιλεῖς, ὡς παρὰ τοῦ δήμου γέρας ἔχοντες, ἤγουν παρὰ τῷ δήμῳ γεραροί· καὶ ἔστιν ἡ λέξις αὕτη οὐ ταπεινὴ, ἀλλὰ σεμνὴ καὶ βασιλική. Ε.

Σ. 374. Αἴνυτο] Ἀφῃρεῖτο, ἐλάμβανε. Σ.

Σ. 375. Τόξου πῆχυν ἀνεῖλκε] Τὸ τόξον περιφραστικῶς· τὸ γὰρ ὅλον τόξον ἐκ δύο κεράτων σύγκειται, ὧν ἑκάτερον πῆχυς καλεῖται· μετεχειρίζετο οὖν, φησι, τὸ τόξον. Σ. (ἴδ. Ὀδυσσ. Φ, 419.).

НБ ОНУ імені І.І. Мечникова

Σ. 377. Ταρσόν] Τὸ πλατὺ τοῦ ποδός. Σ. Τὸ ἄκρον τοῦ ποδός,

Σ. 378. Ἐν γαίῃ κατέπηκτο] Καγχαλόων ὁ ἄφρων ἐφ' οἷς οὐδὲν μέγα ἤνυσε· τί γὰρ μέγα εἴπερ ἐκ λόχου ἕνα τοῦτον βαλὼν, οὐ μόνον οὐκ ἀνεῖλεν, ἀλλ' οὐδὲ ἐν καιρίῳ ἔβλαψεν. Ε.

Σ. 383. Μηκάδες αἶγες] Ἐπιθετικῶς αἱ αἶγες, ἀπὸ τοῦ ἰδιώματος τῆς φωνῆς· μῆκα γὰρ καλεῖται ἡ τῆς αἰγὸς φωνή. Σ. Β. — Μίμημα ὂν φωνῆς ἁρμόζει, οὐ μόνον ἐπὶ αἰγῶν, ἀλλὰ καὶ ἐπὶ κεμάδος καὶ λαγωοῦ. Ε. (ἴδ. Ἀπολλόν. σελ. 458.). — Ὡς δειλὸς καὶ περὶ τῶν ἄλλων ὑπείληφεν ὡς φοβουμένων· ἔστι δὲ καὶ ἀνοήτων, τὸ τοὺς οἰκείους ἐπὶ τῶν πολεμίων ἐλέγχειν. Σ. Β.

Σ. 385. Τοξότα, λωβητήρ] Οὐχ ἁπλῶς ὕβρις ἐστί, τοξότης γὰρ καὶ Ἀπόλλων καὶ Ἄρτεμις, καὶ τῶν ἡρώων οἱ κράτιστοι· — ἀλλ' ὑφ' ἓν νοητέον, τοξότα λωβητήρ· ἵνα λέγει, ὦ φαῦλε τοξότα. — Τινὲς δὲ ἰδίᾳ λέγοντες τὸ τοξότα, φασὶν, οὐκ ἐν γενναίοις τίθεσθαι τοὺς παλαιοὺς τὸν τοξότην, διὸ καὶ ᾔδεσαν μὲν τοξεύειν οἱ ἄριστοι, προετιμῶντο δὲ τὴν σταδιαίαν μάχην. (ἴδ. Σοφοκλ. Αἴας. στ. 1120.). Ὁ γοῦν Ὀδυσσεὺς διὰ πάσης τῆς Ἰλιάδος τόξον ἅπαξ χειρίζεται κατὰ τὴν νυκτεγερσίαν. — Κέρᾳ ἀγλαέ] Τὸ δὲ κέρα ἀγλαὲ, οἱ μὲν ἀντὶ τοῦ τόξοις ἀγλαϊζόμενε· ἵνα λέγῃ κέρατα τοὺς προῤῥηθέντας πήχεις τοῦ τόξου· οἵπερ εἰσὶν, ὡς ἐδηλώθη, συμβεβλημένα κέρατα· οἱ δέ φασι τὸ κέρα ἀγλαὲ, ἀντὶ τοῦ κάλλιστε τὴν τρίχα· — οἱ γὰρ περὶ Ἡρόδωρον καὶ Ἀπίωνά φασιν ἐμπλοκῆς τι γένος εἰς κέρατος τύπον ἀνεπλέκοντο οἱ παλαιοὶ, καὶ διὰ τοῦτο οὕτως ἐκάλουν αὐτό. Καὶ ἄλλα δὲ ἦσαν τριχῶν κοσμήματα. Ὁ γοῦν Σώφρων φησί που· κορώνας ἀναδούμενοι, καὶ Ἀθηναῖοι τέττιγας ἀνεπλέκοντο· καὶ παρ' Ὁμήρῳ πλοχμοί τινες χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο (ρ, 52.). Ε. — Παρθενοπῖπα] Παρθενοπίπης δὲ, ὁ τὰς παρθένους ὀπιπτεύων, ὅ ἐστιν ἐπιτηρῶν, οἷα γυναικομανής· — ἕτεροι δὲ παρθενοπῖα γράφουσιν, ὅ ἐστιν παρθένοις ἐοικὼς τὴν ὄψιν. Ε.

Σ. 386. Πειρηθείης] Πεῖραν λάβῃς. Σ.

Σ. 388. Ἐπιγράψας] Ἐπιξέσας ἁπλῶς. Σ. (ἴδ. Δ, 139). — ἄκρως τὴν πληγὴν ἐπιγράφων φησίν· ὁ δὲ ποιητὴς τἀληθὲς λέγων ἔφη, διαμπερὲς ἰὸς ἐν γαίῃ. Σ. Β.

Σ. 390. Κωφὸν βέλος] Ἀμβλὺ εἰς ἀλγηδόνα. Σ. — Κωφὸν

НБ ОНУ імені І.І. Мечникова

δὲ βέλος ὡς εἴπερ ἔμψυχον ἦν, τὸ μὴ ἔχον αἴσθησιν, ἢ καὶ ἄλλως οὗ οὐκ ἄν τις αἴσθησιν λάβῃ ἁπτικήν· γέγονε γὰρ κατὰ τοὺς παλαιοὺς ἡ μεταφορὰ ἐκ τῶν κατὰ τὴν ἀκοὴν, εἰς τὴν ἀφήν. Ε.

Σ. 391. Ἠ τ᾽ ἄλλως ὑπ᾽ ἐμεῖο] Ἀντὶ τοῦ, ἄλλως ὑπ᾽ ἐμοῦ πέμπεται. Σ. — Ἐπαύρῃ] Τὸ δὲ ἐπαύρῃ, δηλοῖ μὲν τὸ ἐπαπολαύσει, ψαύσει, γεύσεται· πλὴν εἰ μὲν ἐπὶ βέλους ἡ λέξις κεῖται· — γλυκέως εἴρηται ὡς ἐπὶ ἐμψύχου· — ἵνα λέγῃ ὅτι εἰ καὶ ὀλίγον ἐπαύρῃ, ὀξὺ τὸ βέλος ἐστί. οὐ μὴν δηλαδὴ ἀμβλὺ καθὰ τὸ τοῦ Ἀλεξάνδρου. Ε. ἐπιλαύσῃ, τρώσῃ, ἐφάψηται. Σ.

Σ. 392. Πέλεται] Εὐστάθ. ἀνάγνωθ. πέτεται. — Ἀκήριον] Ἤγουν, ὀξέως θανατοῖ. Ε.

Σ. 393. Ἀμφίδρυφοι] Ἀμφοτέρωθεν ἐσπαραγμέναι διὰ τὸ πένθος. Σ. — Πάθους ὑπερβολή· ὅτε οὐ μία παρειὰ δρύπτεται, ἀλλ᾽ ἀμφότεραι· ἀπὸ δρυῶν δὲ τὸ δρύπτω, ὅ ἐστι ξύλων, ἃ λέπονται τοῦ φλοιοῦ. Ε.

Σ. 394. Ἐρεύθων] Ἐρυθραίνων, φοινίσσων. Σ.

Σ. 395. Πύθεται] Σήπεται. — Περὶ πλέες] Περὶ αὐτὸν πλείονες· ἄμεινον καθ᾽ αὑτὴν ποιεῖν τὴν πέρι· τὸ γὰρ πλέες συγκοπή ἐστι τοῦ πλείονες· εὐθεῖαν γὰρ ἀναπλάττειν, μὴ εἰρημένην, εὔηθες. Σ.

Σ. 407. Ἀλλὰ τίη — διελέξατο θυμός] Χρησίμως πρὸς τὴν οἰκονομίαν ἔχει τὰ τοῦ ἐπιλογισμοῦ τῷ Ὀδυσσεῖ· ἐπειδὴ γὰρ ναυμαχίαν εἰσάγειν βούλεται ὁ ποιητὴς, προτιτρώσκει τοὺς ἀρίστους· ἄτοπον γὰρ ἦν, παρόντων καίεσθαι τὰς ναῦς. Σ. Β.

Σ. 413. Ἔλσαν δ᾽ ἐν μέσσοισι] Τουτέστιν ἤλασαν ἢ εἴλησαν, ὅ ἐστι συνέκλεισαν μέσον τὸν ἥρωα, ὡς μηδὲ εἰ θέλει ὑποχωρεῖν, ἐξεῖναι αὐτῷ. — Μετὰ σφίσι κ.τ.λ.] Τὸ δὲ μετὰ σφισι πῆμα τιθέντες, ἀμφίβολον ἔχει ἔννοιαν· δηλοῖ γὰρ, ἢ ὅτι ἔλσαν ἐν σφίσι τὸν Ὀδυσσέα πῆμα τιθέντες αὐτῷ, ἢ ὅτι ἔλσαν αὐτὸν πῆμα τιθέντες σφίσιν αὐτοῖς· καὶ ἔστι σεμνὸς ὁ λόγος οὗτος καὶ ὑψηλός· ὡς κρεῖττον ὂν τοῖς Τρωσὶν ἀφεῖναι αὐτὸν ἀκύκλωτον εἰς διέκδυσιν, ἤπερ κύκλῳ περιλαβεῖν, καὶ κακὸν ἑαυτοῖς ἐπίσπαστον φυλάξαι ἄφυκτον· πολλοὺς γὰρ ἀνεῖλε κυκλωσάντων. Ε. — Ἐπὶ τῷ ἰδίῳ κακῷ τοῦτο πράξαντες. Σ.

Σ. 414. Κάπριον ἀμφὶ κύνες κ.τ.λ.] Ἐνεργὲς τὸ παράδειγμα πρὸς τὸ καθένα μὲν ὑπερέχειν τῶν κυκλωσάντων, ὀχλεῖσθαι δὲ τῷ πλήθει. Σ. Β.

Σ. 416. Θήγων — ὀδόντα] Συμπαρατρίβει γὰρ τὸ γένειον,



НбОНУ імені І.І. Мечникова

ἀκονῶν τὸν ὀδόντα· οὐ γὰρ ἐπὶ τὸ δάκειν ὁ κάπρος ὁρμᾷ, ἵνα ἀναστείλῃ τὰς γένυς, τῇ δὲ ἐμβολῇ μόνον ἀμύνεται. Σ. Β.— Γναμπτῇσι] Τὸ δὲ γναμπτῇσι γένυσιν, ἐτυμολογία ἐστι τοῦ γαμφηλαί. Ε. (ἴδ. Ἡσίοδ. 386).

Σ. 421. Ὕπερθεν] Στιγμὴ εἰς τὸ ὕπερθεν· οἱ δὲ, ὕπερθε μετάλμενος, ἵν' ᾖ, ἐκ τοῦ ἄνωθεν μέρους ἀρθείς. Σ. Β.

Σ. 424. Κατὰ πρότμησιν] Οἱ μὲν τὸν ἀπὸ κύστεως ἄχρι τοῦ ὀμφαλοῦ τόπον· οἱ δὲ, τὴν ὀσφὺν, ἣν οὐδαμοῦ ὁ ποιητὴς τιτρώσκει, ὡς αἰτίαν τῶν ζωογόνων σπερμάτων· ἕτεροι δὲ τὸ ἦτρον. Ἱεροκλῆς δὲ ὁ Λίνδιος, αὐτὸν τὸν ὀμφαλὸν ἀπὸ τοῦ προεκτάμνεσθαι. Σ. Β. — Τὸν κατὰ τὴν λαγόνα τόπον· κατὰ τὸν ὀμφαλὸν, διὰ τὸ πρῶτον αὐτὸν τέμνεσθαι, τὸν τεχθέντα παῖδα. Σ.

Σ. 425. Ἕλε γαῖαν ἀγοστῷ] Τῇ δρακί· οἱ δὲ τῇ ἀγκάλῃ· οὐ δύναται δὲ ἀγκῶνι λέγεσθαι· οὐδεὶς γὰρ μετ' αὐτοῦ δράσσεται γῆς. Σ. Β.

Σ. 430. Ἆτ] Ἆτος δὲ ὁ ἀκόρεστος, ἀπὸ δύο ἄλφα τοῦ α στερητικοῦ, καὶ τοῦ ἆσαι τὸ κορέσαι κέκραται. Ε.

Σ. 437. Χρόα ἔργαθεν] Ὅλην τὴν ἐπιφάνειαν αὐτοῦ τῶν πλευρῶν εἶρξεν, καὶ ἐχώρισε τῶν μελῶν· ἢ ὅτι οὐκ ἐποίησεν εἰς βάθος καιρίαν αὐτὸν πληγῆναι. Σ. — Οὐ μὴν εἴασεν ἡ Ἀθηνᾶ κατὰ βάθος ἐλθεῖν, ὥστε τῶν ἐντοσθιδίων ἅψασθαι. Σ. Β.

Σ. 445. Κλυτοπώλῳ] Τῷ ἰσχυροὺς καὶ ὀνομαστοὺς ἵππους ἔχοντι, οὐδεὶς τὸν θάνατον διαφυγεῖν δύναται. Σ. Β. (ἴδ. Ε, 654).

Σ. 453. Ὄσσε καθαιρήσουσι] Ἀντὶ τοῦ καθελοῦσι τὰ βλέφαρα. Ε. — τοὺς ὀφθαλμοὺς κατακαλύψουσι. Σ.

Σ. 454. Ὠμησταὶ] Ὠμὰ κρέα ἐσθίοντες. Σ.

Σ. 458. Κῆδε] Τὸ δὲ κῆδεν ἐνεργητικῶς ῥηθὲν, ἀντὶ τοῦ ἔβλαπτε καὶ ἐλύπει κεῖται· ἀφ' οὗ καὶ κῆδος, ἡ βλάβη. Ε.— Ἀνέσσυτο] Ἀνηκόντισε. Σ.

Σ. 459. Ὅπως ἴδον αἷμ' Ὀδυσῆος] Καλῶς ἄρα· Λυκοῦργος ἐνομοθέτησε Λακεδαιμονίους ἐσθῆτα φοινικὴν ἐν τοῖς πολέμοις φορεῖν, ἵν' εἰ τρωθείη τις, λανθάνῃ τοὺς πολεμίους διὰ τὸ ὁμόχρουν. Σ. Β.

Σ. 462. Κεφαλῇ χάδε φωτός] Τὸ δὲ κεφαλῇ χάδεν, ἀντὶ τοῦ ἐχώρησε· (ἴδ. στ. 344.). — Κεφαλῇ δὲ φωτὸς περιφραστικῶς ἀντὶ τοῦ ἀνὴρ, ἵνα λέγῃ, ὅσον ἐχώρει ἀνὴρ εὐρυφωνότερος ὢν γυναικός. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 467. Τῷ ἰκέλῃ] Τὸ δὲ τῷ ἰκέλῃ, εἰ μὲν ἀρσενικοῦ γένους ἐστὶ, λέγοι ἂν, ὅτι τούτῳ, ἤγουν τοιούτῳ Ὀδυσσεῖ ὁμοία ἦν ἡ φωνὴ, ὡς εἴπερ μόνος ὢν ἔπαθε βίαν· εἰ δὲ οὐδετέρως προῆκται, νοεῖ, ὡς τοιούτῳ πράγματι ἔοικεν ἡ φωνὴ, καθάπερ ἂν, εἴτινες τὸν Ὀδυσσέα βιάζοιντο. — Βιῴατο] Τὸ κοινὸν βιῷντο, ὡς βοῷντο· ἐμφαίνει δὲ ἀλλόκοτόν τινα φωνῆς τρόπον ἐκβοῆσαι τὸν Ὀδυσσέα, δι᾽ ἧς ἡ βία ἐξεφάνη· ἔσπευδον οἱ παλαιοὶ μεγάλα φωνεῖν αὐτῶν τε χάριν καὶ ἑτέρων· ὡς δηλοῖ καὶ ὁ περὶ Περσῶν ἱστορήσας, ὅτι τε ἀπαιτοῦσι λόγον ἑκάστου μαθήματος, καὶ ὡς μεγαλοφωνίαν ἀσκοῦσι. Ε. — Βιῴατο] Βιάζοιντο. Σ.

Σ. 468. Ἐνὶ κρατερῇ ὑσμίνῃ] Παρατετηρημένως ἐῤῥέθη, ὡς τοῦ Ὀδυσσέως μὴ ἂν ἄλλως ἐκ δειλανδρίας φωνήσαντος, εἰ μὴ κρατερὰ ἦν ἡ μάχη. Ε.

Σ. 469. Ἀλλ᾽ ἴομεν . . . ἄμεινον] Ἄμεινόν φησιν, ἐκείνῳ βοηθεῖν, ἢ σχολάζειν ὧδε. Σ. Β.

Σ. 474. Θῶες] Πανθήρια. Σ. — Δαφοινοί] Φόνιοι ἢ πυῤῥοί. Σ.

Σ. 475. Ἀμφ᾽ ἔλαφον] Οὐ δειλὸς Ὀδυσσεὺς, ὅτι ἐλάφῳ εἴκασται· οὐ γὰρ ἰσχύος δηλωτικὸν τὸ τῆς παραβολῆς, ἀλλὰ τῶν ὁμοίων παθημάτων· θανούσῃ δὲ αὐτὸν ἐλάφῳ εἰκάζει, ἵνα αὐξήσῃ τὸν κίνδυνον. Ἔστι δὲ ἡ παραβολὴ μερικὴ πρός τε τὴν πληγὴν καὶ τὸ πλῆθος τῶν βαρβάρων, καὶ τὴν ἀπουσίαν τοῦ βαλόντος· καὶ ὥσπερ θῶας ἀπελαύνει λέων ἐπιφανεὶς, οὕτως Αἴας τοὺς Τρῶας. Σ. Β.

Σ. 476. Ἤλυξε] Ἐξέφυγε τὸν βαλόντα κυνηγέτην. Σ.

Σ. 477. Ὄφρ᾽ αἷμα λιαρόν] Ἐν δὲ τῷ ὄφρ᾽ αἷμα, λείπει τὸ ἐστὶν, ἢ ἔνεστιν· αἷμα δὲ λιαρὸν, ὃ πρὸ ὀλίγου θερμὸν εἶπεν. Ε.

Σ. 479. Δαρδάπτουσι] Κατεσθίουσι. Σ.

Σ. 480. Νέμεϊ] Συνδένδρῳ τόπῳ. Σ. — Τόπος ἐστὶ δασὺς τὸ νέμος, ἐπιτήδειος εἰς νομήν. Ε. — Ὁ σύνδενδρος τόπος, καὶ νομὴν ἔχων. — Λῖν] Τὸ πλῆρες λῖνα, ὅ ἐστι λέοντα Δωρικῶς. Σ.

Σ. 481. Διέτρεσαν] Τὴν μετὰ δέους φυγὴν δηλοῖ. Ε. — Δάπτει] Καταναλίσκει ἐσθίων. Σ.

Σ. 493. Ὀπαζόμενος] Ἀντὶ τοῦ ἐπειγόμενος· ὅ ἐστι κατόπιν ἐλαυνόμενος τῷ ἐξ ἀέρος ὄμβρῳ. Ε.



НБ ОНУ імені І.І. Мечникова

Σ. 494. Ἀζαλέας] Ξηράς. Σ.

Σ. 495. Ἀφυσγετόν] Ἰλυῶδες, συρφετόν. Σ.

Σ. 506. Παῦσεν Μαχάονα] Ὁ δὲ Μαχάων ἐκτείνει τὴν παραλήγουσαν, διὸ καὶ συστέλλει ἐν ταῖς πλαγίαις τὸ ο· καθόλου γάρ φασι τὰ εἰς ων βαρύτονα ὑπὲρ δύο συλλαβὰς διχρόνῳ παραληγόμενα, εἰ μὲν βραχὺ τὸ δίχρονον ἔχουσι, φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς· οἷον Ἀμφιτρύωνος, Δευκαλίωνος· εἰ δὲ μακρῷ διχρόνῳ παραλήγονται, συστολὴν πάσχει τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ· οἷον Ἰξίονος, Μαχάονος, Ἰάσονος. Ε.

Σ. 509. Μετακλινθέντος] Κλίσιν καὶ τροπὴν λαβόντος, τουτέστιν, ἐπικρατεστέρων τῶν ἐναντίων γενομένων. Σ.

Σ. 512. Ἄγρει, σῶν ὀχέων ἐπιβήσεο] Τοῦτον ἠδύνατο ὁ ποιητὴς καὶ πεζὸν ἐπὶ τὰς ναῦς ἀγαγεῖν· τὸν γὰρ ὦμον ἦν τετρωμένος· οἰκονομικῶς δὲ ἐφ᾽ ἅρματος αὐτὸν ἐποίησεν ἀπιόντα, διὰ τὸ τῶν ἵππων τάχος, ἵνα παραδράμῃ τοῦ Ἀχιλλέως τὴν ὄψιν, καὶ μὴ δυνηθεὶς καταμαθεῖν ἀκριβῶς τίς ἐστι, τὸν Πάτροκλον τοῦτο εἰσόμενον ἐκπέμψῃ· ἔστι δὲ τὸ μὲν ἄγρει παρορμητικὸν ἐπίῤῥημα· τὸ δὲ ἄγε, παρακελευστικόν. Σ. Β. — Ἄγρει] Ἄγε δή. Σ.

Σ. 513. Ἔχε] Ἔλαυνε. Σ.

Σ. 514. Ἰητρὸς — πολλῶν ἀντάξιος] Ἀντὶ πολλῶν ἄλλων τοῦ σώζεσθαι ἄξιος. Σ. — Ὅτι τὸ ἰητρὸς γὰρ ἀνὴρ — πάσσειν, οἱ πλείους μὲν γνωμικῶς νοοῦσι· τινὲς δὲ μερικῶς αὐτὸ εἰρῆσθαί φασι, καὶ οὐ καθόλου κατὰ τὴν τῆς γνώμης φύσιν· λέγοντες· ἰητρὸς γάρ ἐστιν ὁ προσεχῶς ῥηθεὶς Μαχάων, ἀνὴρ πολλῶν ἀντάξιος, διὰ τὰ καὶ τά. — Ὅρα δὲ ὅτι περὶ τραύματα εἶχεν ὁ καλὸς οὗτος ἑλληνικὸς ἰατρός· διαίτης δὲ οὐ μέμνηται ὁ ποιητής, φασὶ γὰρ τὸ χειρουργικὸν καὶ φαρμακευτικὸν μόνον εὑρῆσθαι παρὰ τοῖς παλαιοῖς· τοῦ δὲ διαιτητικοῦ Ἱπποκράτην μὲν κατάρξαι, Ἡρόδικον δὲ συντελέσαι, καὶ Πραξαγόραν καὶ Χρύσιππον. Τινὲς δὲ τὸν Μαχάονα μὲν χειρουργεῖν ἐθέλουσι, Ποδαλείριον δὲ στρατιώτην ὄντα καὶ αὐτὸν, ἀσκεῖν τὰ περὶ δίαιταν. Ε.

Σ. 515. Φάρμακα πάσσειν] Ἀθετεῖται, ὅτι οὐκ ἀναγκαῖα ἡ ἐξαρίθμησις· μειοῖ γὰρ εἰ μόνον ἰοὺς ἐκτάμνειν καὶ φαρμακεύειν οἶδεν· καὶ Ἀριστοφάνης προσθέτει· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. Σ. Β. — Ὅρα δὲ καὶ τὸ φάρμακα πάσσειν· δηλοῖ γὰρ

οὐκ ἀλείμματα· πάσματα δὲ ἀπὸ ῥιζῶν ἢ ὅλως φυτῶν τρίψεως. Ε.

Σ. 522. Ἕκτορι παρβεβαώς] Ὅτι δηλῶν Ὅμηρος, ὡς καὶ ἐπὶ ἡνιόχου λέγεται τὸ παραβεβηκέναι, φησί· Κεβριόνης Ἕκτορι παρβεβαώς· καὶ φαίνεται οὐκ ἀλλόκοτόν τι εἶναι παραιβάτην καὶ τοῦτον κληθῆναι. Ε.

Σ. 528. Ἰθύνομεν] Ἐπ' εὐθείας ἐλαύνωμεν. Σ.

Σ. 529. Ἔριδα προβαλόντες] Φιλονείκως ἐρίσαντες. Σ. — τὸ δὲ ἔριδα προβαλόντες, ἀντὶ τοῦ προῤῥίψαντες, προθέμενοι, ἐκφήναντες, καὶ ἐν τοῦ δυνάμει προαγαγόντες εἰς ἐνέργειαν. Ε.

Σ. 532. Μάστιγι λιγυρῇ] Ὀξὺν ἦχον ἀποτελούσῃ. Σ.

Σ. 534. Στείβοντες νέκυας] Ἰστέον δὲ ὅτι ἐν τῷ, στείβοντες νέκυας καὶ ἑξῆς, σχῆμά ἐστι, συλλογισμός· ἔνθα γὰρ τοιαῦτα γίνεται, συλλογιστέον, ὅσοι ἔκειντο νεκροί· ἐμφαίνεται γὰρ τὸ πλῆθος ἐκ τοῦ μὴ γῆν στείβεσθαι, ἀλλὰ νεκρὸς καὶ ὅπλα· στείβειν δὲ καὶ νῦν τὸ πατεῖν. Ε.

Σ. 536. Ῥαθάμιγγες ἔβαλλον] Ἃς αἱ ἀποπίπτουσαι τῶν ἱππείων ὀνύχων ῥανίδες ἔβαλλον· ὁπλὴ γὰρ ἡ τοῦ ἵππου ὄνυξ. Σ. — ῥαθάμιγγες δὲ ποιητικῶς, λεπταὶ σταγόνες, μικροὶ αἱματηροὶ θρόμβοι. Ε.

Σ. 537. Ἀπ' ἐπισσώτρων] Ἴδ. Ε, 725.

Σ. 539. Μίνυνθα χάζετο δουρός] Οἷα δηλαδὴ ταχὺ ἐπιφανεὶς εἰς μάχην. Ε. — ὀλίγον ὑπεχώρει, ἵνα εὐκώλως τῷ δόρατι χρῷτο. Σ. — ἐπ' ὀλίγον, φησὶ, τῆς βολῆς τοῦ δόρατος ὑπεχώρει, ἀντὶ τοῦ, οὐδὲ ἐπ' ὀλίγον, ἀλλ' ἀεὶ συνεπλέκετο. Σ. Β.

Σ. 544. Ζεὺς δὲ πατὴρ Αἴανθ' κ. τ. λ.] Ὅτι σεμνύνων τὴν τοῦ Αἴαντος φυγὴν ὁ ποιητὴς, οὔτε προτροπάδην αὐτὸν ποιεῖ φεύγοντα, καὶ οὐδὲ ὑπ' ἀνδρὸς, ἀλλὰ Διὸς τραπέντα. Ε.

Σ. 546. Τρέσσε] Διὰ δέος ὑπεχώρησε. Σ.

Σ. 547. Ἐντροπαλιζόμενος] Ἴδ. Ζ, 496. — οὕτω δέ φασι καὶ τὸν λέοντα φεύγειν μετὰ φρονήματος· ὃς καὶ αὐτὸς, ὀλίγον γόνυ γουνὸς ἀμείβει. Ἔστι δὲ ἀμείβειν γόνυ γουνὸς τὸ βραχὺ προποδίζειν, καὶ μὴ μακρὰ βιβάζειν κατὰ τοὺς ἢ θρασέως διώκοντας ἢ ἀμεταστρεπτὶ φεύγοντας. Ε.

Σ. 548. Μεσσαύλοιο] Μέσαυλον δὲ, ἡ καὶ αὐλὴ, καὶ ἔπαυλις καὶ αὖλις· λέγεται δὲ καὶ ἐπὶ ἀνθρωπίνης οἰκήσεως· ὡς δηλοῖ τὸ, ὅτε οἱ μέσαυλον ἵκοντο, οἱ δὲ παλαιοὶ τὴν μέσην

НБ ОНУ імені І.І. Мечникова

θύραν μέσαυλόν φασι· μάλιστα μὲν οὖν τὴν μέσην δυοῖν αὐλαῖν, ὥς φησιν Αἴλιος Διονύσιος· — παρὰ δὲ τῷ ποιητῇ μέσαυλος ἐπὶ ἀγροικῆς λέγεται κατοικίας, ἤτοι ἐπαύλεως, ἢ μάνδρας. Ε. — Διατὶ ὁτὲ μὲν λέοντι παραβάλλει τὸν Αἴαντα, ὁτὲ δὲ ὄνῳ; ὅτι αἱ μὲν παραβολαὶ τριῶν ἕνεκα γίγνονται, αὐξήσεως, ἐνεργείας, σαφηνείας· εἰς τὸ πρόσφορον δὲ ἓν ἑκάτερον ἐτήρησεν ὁ ποιητὴς εἰπὼν τὸν Αἴαντα καὶ φονεύοντα λέοντος δίκην, καὶ τῶν πολεμίων ἀναχωρεῖν, ὡς ὄνον· ταῖς γὰρ φύσεσι τῶν ζώων καὶ τὸ ὀκνηρὸν πρὸς φυγὴν, καὶ τὸ ταχὺ πρὸς μάχην τοῦ ἥρωος δεδήλωκεν. Σ.

Σ. 549. Ἐσσεύοντο] Τουτέστι μετῆλθον, ἐδίωξαν. Σ.

Σ. 550. Βοῶν ἐκ πῖαρ ἑλέσθαι] Τὴν κρατίστην καὶ λιπαρωτέραν τῶν βοῶν· ἐπὶ ταύτην γὰρ ὁ αἴθων ἀεὶ ὁρμᾷ. Σ. Β. (Ἴδ. Ρ, 62.).

Σ. 551. Ἐγρήσσοντες] Τὸ δὲ ἐγρήσσειν ἐκ τοῦ ἔγρω παράγεται· αὐτὸ δὲ ἔγρω ἐκ τοῦ ἐγείρω συγκέκοπται. Ε. — ἐγρηγορότες. Σ.

Σ. 554. Καιόμεναί τε δεταί] Δεταὶ δὲ δεσμοὶ δᾴδων, τουτέστιν λαμπάδων, ἃς ὁ λέων πτοεῖται· — οὐχ ἁπλῶς δὲ αἱ λαμπάδες δεταί, ἀλλὰ ὁμοῦ αἱ καιόμεναι δεταί· ἄλλως γὰρ κατὰ τοὺς παλαιοὺς δεταὶ αἱ συνδεδεμέναι φρυγανίδες, αἳ ῥᾳδίως ἐξαπτόμεναι καὶ ἐπιῤῥιπτόμεναι φοβοῦσι τὸν λέοντα. Ε.

Σ. 557. Ἤϊε] Τουτέστιν ἀπῄει. Ε.

Σ. 558. Ἐβιήσατο] Τὸ ἑξῆς, παριὼν ἀρόσιμον χώραν — τῇ βίῃ ἐνίκησεν. Σ.

Σ. 559. Ῥόπαλ᾽ ἐάγῃ] Οὐχ ὑπὸ τῶν παίδων, ἀλλὰ πάντοτε ὑπ᾽ ἄλλων· οὗτος γὰρ ἐθὰς ὢν οὐκ ἀλεγίζει πληγῶν. Σ. Β.

Σ. 560. Βαθὺ λήϊον] Τὸ ὑψηλοὺς καὶ εὐτραφεῖς ἔχον στάχυας. Ε.

Σ. 562. Σπουδῇ] Μόλις, δυσχερῶς. Σ.

Σ. 569. Προέεργε] Πάντας φησὶ τοὺς Τρῶας ἐπὶ τὰς ναῦς ὁρμῶντας Αἴας ἀντιτασσόμενος ἐκώλυεν. Σ.

Σ. 579. Ἧπαρ ὑπὸ πραπίδων] Τὸ ἧπαρ ἔτρωσε κάτω ὑπὸ τὰς φρένας· φρένας ὁ ποιητὴς καὶ πάντες οἱ παλαιοὶ ἐκάλουν τὸ διάφραγμα παρ᾽ ὅσον φλεγμαῖνον τοῦτο ὡς νευρῶδες, ἔχει συμπάσχοντα τὸν ἐγκέφαλον, καὶ παρακολουθοῦσι μέγισται παραφρονήσεις· πηγὴ δὲ ὅλου τοῦ νευρώδους γένους ὁ ἐγκέφαλος· ὥσπερ ἀρτηριῶν καρδία, καὶ φλεβῶν ἧπαρ. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 584. Δόναξ] Δόναξ δὲ ὁ τοῦ βέλους ἄτρακτος, εἴτε ἀπὸ κάλου ἐσκεύασται, ὅ ἐστι ξύλου, ὅτε καὶ κυρίως κῆλον τὸ βέλος λέγεται, εἴτε ὡς τινές φασιν ἐκ καλαμίσκου στεριφοτάτου, ὁπηνίκα καὶ δόναξ κατὰ κυριολεξίαν ὀνομάζεται. Ε.

Σ. 593. Κλίναντες] Ἐρείσαντες τοὺς ὤμους ταῖς ἀσπίσιν. Σ.

Σ. 601. Ἰῶκα] Ἴδ. Ε, 521. — τὴν δίωξιν, ὅ ἐστι τὴν φυγήν. Σ.

Σ. 604. Κακοῦ — ἀρχή] Ἀναπτεροῖ τὸν ἀκροατὴν ἡ ἀναφώνησις ἐπειγόμενον μαθεῖν τί τὸ κακόν· τὴν προσοχὴν δὲ ἐργάζεται διὰ βραχείας τῆς δείξεως· εἰ γὰρ πλέον ἐπεξειργάσατο, διέφθειρεν ἂν τὸν ἑξῆς λόγον, καὶ ἀπήμβλυνε τὴν ποίησιν. Σ. Β. — Ἐν οἷς ὅρα, καὶ ὅπως δεξιώτατα ὁ ποιητὴς τὸ πλάσμα μετεχειρίσατο· οὔτε γὰρ δευτέρας λιτὰς πέμπει τῷ Ἀχιλλεῖ, ὅπερ ἐκεῖνος φαίνεται θέλων, ὅτε ἐρεῖ, νῦν ὀΐω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιοὺς λισσομένους, ἀλλ' οὐδὲ αὐτόματον ἐξάγει τὸν Ἀχιλλέα, δραμὼν δὲ τὴν μέσην, λιτάζεται διὰ τοῦ φιλτάτου Πατρόκλου, καὶ πείθει δι' αὐτοῦ, οὗ καὶ ἐξελάσαντος καὶ πεσόντος, ἐγείρει τὸν Ἀχιλλέα εὐμηχάνως εἰς πόλεμον. Τέως γε μὴν ἤδη ἐν τούτοις ἔληξε τὸ πολὺ τῆς ὀργῆς τῷ Ἀχιλλεῖ ὀλοφυρομένῳ τοὺς Ἀχαιούς, ὡς ὁ Νέστωρ μετ' ὀλίγα ἐρεῖ· ἔλεος γὰρ τῶν Ἑλλήνων ὕπεισιν αὐτὸν ἠρέμα· διὸ καὶ στελεῖ τὸν Πάτροκλον, ἐν οἷς δείκνυται καὶ ὡς δραστηριώτερον τῆς τῶν δεινῶν ἀφηγήσεως ἡ τοῦ κακοῦ θέα· — ἰδοὺ γὰρ Ἀχιλλεὺς πρέσβεων μὲν ἀκούσας ἀφηγησαμένων δεινά, ἐφ' οἷς ἐδυστύχουν Ἀχαιοί, οὐκ ἔπαθε τὴν ψυχήν· ἰδὼν δὲ κακῶς πάσχοντας, εἱλκύσθη πρὸς οἶκτον, καὶ γέγονεν αὐτῷ ἡ τοῦ κινδύνου θέα οἷά τις ἐλέου εἰσβολή. Ε.

Σ. 609. Γούνατ' ἐμὰ στήσεσθαι] Τὸ δὲ περὶ γούνατα στήσεσθαι, περιφραστικῶς ἀντὶ τοῦ γουνάσεσθαι· ἄλλως γὰρ οἱ ἱκέται οὐχ ἵστανται περὶ γούνατα, κάμπτονται δὲ μᾶλλον· ὡς δῆλον ἐκ τοῦ γονυπετεῖν, καὶ ἐκ τῆς γονυκλισίας καὶ ἐκ τοῦ ποτνιᾶσθαι, ὃ παρὰ τὸ πέτειν, ὅ ἐστι πίπτειν γίνεται, ἔτι δὲ καὶ ἐκ τοῦ προσπίπτειν, ὃ καὶ αὐτὸ γυνασμόν τινα σημαίνει. Ε.

Σ. 610. Οὐκ ἔτ' ἀνεκτός] Ἀττικὸν δὲ τὸ ἀνεκτὸς ἀντὶ τοῦ ἀνεκτή. Ε. (Ἴδ. Α, 573.).

Σ. 611. Ἔρειο] Ἐρώτησον. Σ.

Σ. 621. Ἀπεψύχοντο] Πρὸς ἄνεμον ἐπιστραφέντες τὸν ἱδρῶ-

НБОНУ ім. І.І.Мечникова

τα ἐξηραίνοντο. Σ. — τερσαίνεσθαι μέντοι, τὸ ἐν ἡλίῳ ξηραίνεσθαι. Σ.

Σ. 623. Κλισμοῖσι] Ἴδ. I, 200. καὶ Ἀπολλόν. σελ. 403.

Σ. 624. Κυκειῶ] Κυκεῶνα· (ἴδ. στ. 640.) ἔστι δὲ δίψους ἴαμα ὁ κυκεὼν ἐκ διαφόρων εἰδῶν σκευαζόμενος. Σ. — ὥσπερ κρατὴρ διὰ τὸ συγκιρνᾶσθαι, οὕτω κυκεὼν διὰ τὰ ἐν αὐτῷ κυκώμενα εἴδη. Ε.

Σ. 627. Ἔξελον] Ἐξαίρετον ἔδωκεν. Σ.

Σ. 628. Ἐπιπροΐηλε] Ἐπ' αὐτῷ παρέθηκε. Σ. — ἐξέτεινε· πυκταὶ γὰρ ἦσαν αἱ τράπεζαι· ἡ δὲ πρὸ, τὸ ἔμπροσθεν δηλοῖ. Σ. Β.

Σ. 629. Κυανόπεζαν] Κυανῷ τοὺς πόδας κεχρισμένην, μελανόπουν. Σ. — δηλοῖ δὲ οὐ μόνον τὴν ἀπὸ κυάνου ἔχουσαν τοὺς πόδας, καθὰ καὶ ἀργυρόπεζα λέγεται ἡ ἐξ ἀργύρου, ἀλλὰ καὶ τὴν ἔχουσαν κυανέαν τὴν πέζαν, ὅ ἐστι τὸν ἔξω κύκλον. Ε.

Σ. 630. Κρόμυον] Τὸ δὲ κρόμυον λέγει ποτῷ ὄψον, διὰ τὸ διψητικοὺς ποιεῖν τοὺς προσιεμένους αὐτό· καθὰ καὶ τὰ τραγήματα· καὶ θερμὸν ὂν, ὀχλεῖν εἰς ποτὸν πλεῖον (Ἡσύχ. κρόμμυον)· — ὅτι περιᾴδεται ἐν κρομύοις τὸ Σαμοθράκιον παρὰ Ἀντιφάνει· καθὰ καὶ τὸ Κύπριον νάπυ· καὶ τὸ Μιλήσιον κάρδαμον, καὶ ὁ Ὑμέττιος θύμος, καὶ τὸ Τενέδιον ὀρίγανον· — ἑτέρως δὲ ὄψον ἁπλῶς φασιν οἱ παλαιοὶ πᾶν τὸ συνάμα σιτίοις ἐσθιόμενον· — ἰστέον δὲ καὶ ὡς οἱ ὕστερον ἐπὶ μόνου ἰχθύος τὴν λέξιν ὥρισαν, ὡς καὶ ὁ Ἀθήναιος παρασημαίνεται· ὅθεν καὶ τὸ ὀψάριον. Ε.

Σ. 631. Μέλι χλωρόν] Ἢ τὸ ὠχρὸν, ἢ τὸ ὑγρὸν, ἢ τὸ πρόσφατον, ἤτοι νεοτρύγητον. Πολλὴ δὲ ἡ χρῆσις τοῦ μέλιτος παρὰ τοῖς παλαιοῖς· εἶγε καὶ Ἀριστόξενος ὁ Κυρηναῖος φιλόσοφος θρίδακα ἐν κήπῳ οἰνομέλιτι ποτίζων ἑσπέρας καὶ ὑπὸ τὴν ἕω λαμβάνων χλωροὺς ἔχειν ἔλεγε πλακοῦντας. Ὡς δὲ καὶ τρόφιμον τὸ μέλι, Πυθαγόρας μαρτυρεῖ, ὃς εὐτελέστατα διαβιοὺς, πολλάκις μέλιτι μόνῳ ἠρκεῖτο. Ε. — Χλωρόν] Πρόσφατον, νέον· οὕτω γὰρ καὶ ἡμεῖς χλωρὸν τυρὸν λέγομεν τὸν νέον. Σ. — Ἀλφίτου δὲ ἀκτὴ οὐ μόνον περιφραστικῶς ὁ ἄρτος, ὃν καὶ ἄλφιτα καλὰ μετ' ὀλίγα φησὶν, ἀλλὰ καὶ μάλιστα τὸ ἄλευρον, παρὰ τὸ ἄγω τὸ κλῶ· καὶ ἔστι οὕτω κρεῖττον νοῆσαι ἤπερ ἐπὶ ἄρτου· ὡς δηλοῖ κατωτέρω καὶ τὸ, ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνεν, ὅ ἐστιν ἐπέπασεν· — ὅτι δὲ καὶ

НБ ОНУ імені І.І. Мечникова

οὐχ ἁπλῶς ἄλφιτον τὸ ἄλευρον, ἀλλὰ κυρίως τὸ κρίθινον, πολλοὶ λέγουσιν· ὁμοίως καὶ ὡς ἀκτὴ, ἡ δωρεά· — τινὲς δὲ ἁπλούστερον ἄλφιτόν φασι τὸ ἐκ πεφρυγμένων κριθῶν· προεύρηται γὰρ τῶν σπορίμων ἡ κριθή. Ε.

Σ. 633. Χρυσείοις ἥλοισι πεπαρμένον] Ὅτι ἡ Νεστορὶς ἡ ἔξω εἶχε τοὺς χρυσοῦς ἥλους ἐμπεπαρμένους τέχνῃ ἐμπαιστικῇ, κατὰ τὸ Ἀχίλλειον σκῆπτρον, ἢ ἐξοχὴ ἦν τις ὀλίγη, τοῖς κολαπτῆρσιν ἐπηρμένη καὶ κεφαλίδας ἥλων ἐμφαίνουσα, οὐ προσκειμένας ἔξωθεν διὰ τὸ ἡλῶσθαι, ἀλλὰ προεχούσας ὀλίγον τι μετεώρους ἔξω τῆς ἐπιφανείας καὶ ἐοικυίας ἐμπεπαρμένοις. — Οὔατα] Ἡ Νεστορὶς ὦτα δύο εἶχεν ἄνω καθὰ καὶ τὰ ἄλλα ποτήρια, καὶ ἕτερα δύο μικρὰ ἑκατέρωθεν κατὰ μέσον τὸ κύρτωμα, παρόμοιά φησι Ἀθήναιος. (Θεοκρ. σελ. 377.). Κορινθιακαῖς ὑδρίαις. Ε.

Σ. 635. Νεμέθοντο] Νεμέθεσθαι λέγονται, διὰ τὸ τῆς πλαστικῆς ἔντεχνον, ὡς δοκοῦσαι κατὰ νομῆς λόγον ἐπικύπτειν. Ε. — Νεμομέναις, τουτέστι, ζώσαις ἐῴκεισαν αἱ πέλειαι. Σ. — Δύω δ' ὑπὸ πυθμένες ἦσαν] Τῶν ποτηρίων τινὰ μὲν ἕνα φασὶν ἔχει πυθμένα, τὸν φυσικὸν καὶ συγκεχαλκευμένον τῷ ὅλῳ, ὡς τὰ κυμβία φασὶ καὶ τὰ τὴν ἰδέαν φιαλώδη· τινὰ δὲ δύο, ἕτερον ἐξ ἑτέρου κατὰ τοὺς παλαιοὺς, ἤγουν ἕνα, εἰς ὃν περατοῦται τὸ ποτήριον, καὶ ἕτερον πρόσθετον, ἀπὸ ὀξέος ἀρχόμενον καὶ λήγοντα εἰς πλατύτερον, ἐφ' οὗ ἵσταται τὸ ἄνω ποτήριον· τοιοῦτόν φασι καὶ τὸ τοῦ Νέστορος ποτήριον· διὸ καὶ Ὅμηρός φησι, δύω δ' ὑπὸ πυθμένες ἦσαν· ἵνα λέγῃ ἐν δυσὶ μέρεσι λόγου, ὅτι ὑπὸ τῷ συνθέτῳ, ποτηρίῳ, δύο ἦσαν πυθμένες, ὁ φύσει καὶ ὁ πρόσθετος· καὶ μὴν ἄλλοι, ὡς ἓν μέρος λόγου τὸ ὑποπυθμένες ἀναγινώσκουσι, λέγοντες, ὅτι δύο πελειάδες ὑποπυθμένες, ὅ ἐστιν ὑπὸ τὸν πυθμένα ἦσαν, τὸ ποτήριον ὑπανέχουσαι. Ἔδει δὲ ἴσως ἐν τῇ τοιαύτῃ ἀναγνώσει προπαροξύνεσθαι διὰ τὴν σύνθεσιν τὸ ὑποπύθμενες ὡς τὸ ἐριαύχενες, εἰ καὶ ἄλλως πάλιν ἡ αὐτὴ ἔννοια ἐν δυσὶ λόγου μέρεσι σώζεται· ἵνα λέγῃ, ὅτι δύο περιστεραὶ ὑπὸ πυθμένες ἦσαν, ἤγουν πυθμένεσιν, ἐκθλιβομένου τοῦ ι τῆς δοτικῆς. Ε. (Ἴδ. Α, 596.).

Σ. 636. Ἄλλος μὲν μογέων] Προσληπτέον τὸ πρεσβύτης· ἵν' ᾖ οὐ ῥαδίως οὐδὲ εὐχερῶς αὐτὸ ἐκίνει τῆς τραπέζης τὶς τῶν λοιπῶν γερόντων· ἀλλὰ μογέων, ὅ ἐστιν ὀκνῶν. Σ.

Σ. 639. Οἴνῳ Πραμνείῳ] Ὃν ἴδμεν, φασὶ παχὺν καὶ πολύτροφον· καὶ ἡ προσφορὰ οὐ διψήσεώς φασιν ἄκος, ἀλλ' ἐμφορήσεως ἕνεκεν. Ε. — Ἤτοι τῷ πραϋντικῷ, τουτέστι τῷ πραΰνοντι τὰς φρένας· ἢ παλαιῷ, ἀπὸ τοῦ παραμεμενηκέναι, ἢ ἀπὸ εἴδους ἀμπέλου οὕτω καλουμένης τὸν ἀπὸ τῶν αναδενδράδων εἶπεν· πρέμνον γὰρ τὸν ὑφέτην (τὴν ὕφεσιν. Σ. Β.) καλοῦσιν· ἄλλοι δὲ ἀπὸ Πράμνης εἶπον· Πράμνη δὲ ὄρος ἐν τῇ Ἰκαρίᾳ οἰνοφόρον. Σ.

Σ. 640. Κνῆστι χαλκείῃ] Κνῆστις δὲ ἰδίως, ἡ τυροτόμος μάχαιρα· — καὶ γίνεται ἀπὸ τοῦ κνάω, κνῶ, τὸ κόπτω· — τέως γε μὴν ἡ Ὁμηρικὴ κνῆστις κλίνεται, κνήστιος· Ἰωνικῶς· ὅθεν ἡ δοτικὴ κνήστιϊ καὶ κατὰ κρᾶσιν κνήστι διὰ μακροῦ τοῦ ι. Ε.

Σ. 641. Κυκειῷ] Τὸ κυκειῷ περισπαστέον· τοῦ γὰρ κυκειῶνά ἐστιν ἀποκοπή· καὶ ἐπλεόνασε τὸ ι· κυκειὼν δέ ἐστι παλύμιγες ποτόν. Σ. Β.

Σ. 642. Πολυκαγκέα δίψαν] Πολλὴν ἔχουσαν ξηρότητα· ὅθεν καὶ κάγκανα ξύλα. Σ. Β. — τὴν ξηροποιόν. Ε.

Σ. 648. Οὐχ ἕδος ἐστί] Οὐκ ἔστι καιρός μοι νῦν καθέζεσθαι. Σ.

Σ. 649. Νεμεσητός] Φιλομεμφής, ἢ μεμψίμοιρος. Σ.

Σ. 652. Πάλιν ἄγγελος] Εἰς τοὐπίσω ἄγγελος. Σ.

Σ. 667. Πυρὸς δηΐοιο θέρωνται] Τὸ δὲ πυρὸς, ἤγουν διὰ πυρὸς θέρωνται, ὅ ἐστιν καίωνται, ἀπὸ τοῦ παρακολουθοῦντος αὐτό τὸ πρᾶγμα δηλοῖ εὐφημότερον· τοῖς γὰρ καιομένοις ἕπεται τὸ πολλῷ πρότερον θέρεσθαι. Ε.

Σ. 668. Κτεινώμεθ' ἐπισχερώ] Ἐφεξῆς ἅπαντες· παρίστησι δὲ διὰ τῆς λέξεως, ὅτι καὶ ἐπὶ Μυρμιδόνας ἥξει ὁ κίνδυνος. Σ. Β. — Τὸ δὲ ἐπισχερὼ σημαίνει τὸ κατὰ τάξιν, καὶ ὡς εἰπεῖν, ἐχομένως καὶ ἐφεξῆς καὶ συναπτῶς καὶ συνεχῶς· — ἐκ γὰρ τῆς ἐπὶ προθέσεως καὶ τοῦ σχέω σχῶ, σύγκειται τὸ ἐπισχερῶ, ποιητικὴ λέξις· — ἶς δὲ ἰνὸς, ἡ δύναμις, μεταφορικῶς· κυρίως γὰρ ἐπὶ νεύρων ἡ λέξις τίθεται, καὶ ἐπὶ νευρωδῶν. — Μονονουχὶ λέγει, ὡς οὐκ Ἀχιλλέως ἐδεήθην, ἐὰν ἐγὼ ἡβῶν ἦν. Ε.

Σ. 672. Ἀμφὶ βοηλασίην] Περὶ βοῶν ἀπελασίας· — Νηλεὺς ὁ Ποσειδῶνος ἱππικώτατος τῶν καθ' αὑτὸν γενόμενος, ἔπεμψεν εἰς Ἦλιν ἵππους εἰς τὸν ὑπ' Αὐγείου συντελούμενον ἀγῶνα,

НБ ОНУ імені І.І.Мечникова

Νικησάντων δὲ τούτων φθονήσας Αὐγείας ἀπέσπασε τούτους, καὶ τοὺς ἡνιόχους ἀφῆκεν ἀπράκτους. Νηλεὺς δὲ γνοὺς ἡσυχίαν ἦγε. Νέστωρ δὲ ὁ τῶν παίδων αὐτοῦ νεώτατος στρατὸν ἀθροίσας ἐπῆλθεν Ἤλιδι, καὶ πολλοὺς ἀποκτείνας, ἀπέλαβε τοὺς ἵππους, καὶ οὐκ ὀλίγην τῶν πολεμίων ἀπέσυραν λεῖαν· ἡ ἱστορία παρὰ Φερεκύδῃ. Σ. — Τὸ δὲ ἀμφὶ βοηλασίῃ (Εὐστάθ.) δηλοῖ ἀπὸ μέρους καὶ ἑτέρων ζώων ἀπέλασιν. Ε.

Σ. 674. Ῥύσι'] Τὸ δὲ ῥύσια πάνυ καιρίως ἐνταῦθα ῥηθὲν, δηλοῖ τὰ ἀντὶ τινῶν ῥυόμενα, ὅ ἐστιν ἑλκόμενα, καὶ ἀντὶ τῶν προαρπασθέντων ἁρπαζόμενα· ὥστε ῥύσια ἐλαύνειν ὁ Νέστωρ λέγει τὸ ἐρυσιάζειν, καὶ λαμβάνειν ἀνθαρπάγματα, ἤγουν ἐνέχυρα χρέους. Ε.

Σ. 677. Ἤλιθα πολλήν] Πάνυ πολλήν. Σ.

Σ. 685. Ἐλίγαινον] Ἐβόων, ὀξέως ἐκήρυσσον. Σ.

Σ. 686. Τοὺς ἴμεν] Τούτους συνέρχεσθαι. Σ.

Σ. 688. Δαίτρευον] Δαιτρεύειν δὲ φανερῶς νῦν τὸ ἁπλῶς μερίζειν λόγῳ δασμοῦ. Ε. — Ἐπειοί] Οἱ Ἠλεῖοι, ἀπὸ Ἐπειοῦ βασιλέως· οὗτος Ποσειδῶνος καὶ Εὐρυπύλης τῆς Ἐνδυμίωνος παῖς, οὗ Ἠλεῖος ὁ κτίσας Ἦλιδα. Ἠλείου δὲ Ἄλεξις καὶ Ἐπειός· ἀφ' οὗ Ἐπειοὶ, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Πέπλῳ. Σ.

Σ. 690. Ἐκάκωσε βίη Ἡρακληείη] Ἴδ. Ε, 392. — Ἡρακλῆς, προστάξαντος Εὐρυσθέως, ἀνεκάθηρε τὴν Αὐγείου κόπρον. Ἀπαιτοῦντι δὲ αὐτῷ τὸν μισθὸν, οὐκ ἀπεδίδου, λέγων ἐξ ἐπιταγῆς αὐτὸν πεποιηκέναι. Φυλεὺς δὲ ὁ τούτου παῖς κριτὴς γενόμενος, κατέκρινε τὸν πατέρα· ὁ δὲ ἀγανακτήσας, ἐξέβαλεν αὐτὸν τῆς χώρας. Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος, Ἦλιν ἐπόρθησε, καὶ μεταπεμψάμενος τὸν Φυλέα ἐκ Δουλιχίου, παραδίδωσιν αὐτῷ τὴν βασιλείαν. Ὀλιγανδρείας δὲ οὔσης, διὰ τὸ πολλοὺς ἐν τῷ πολέμῳ συνεφθάρθαι, Ἡρακλῆς συγκατέκλινε τὰς τῶν τετελευτηκότων γυναῖκας τῷ στρατῷ. Οὕτως δὲ πολλῶν γεννηθέντων, ἔθηκε Διὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα· καὶ αὐτὸς πρῶτος τῶν ἀγώνων ἥψατο· ἡ ἱστορία παρὰ Καλλιμάχῳ. Σ.

Σ. 694. Ὑπερηφανέοντες] Περὶ ὧν, ὅτι καὶ μέθυσοι καὶ ψεῦσται ἦσαν, δηλοῖ καὶ ὁ Κωμικὸς Ἔφιππος εἰπὼν, Ἦλις καὶ μεθύει καὶ ψεύδεται· οἷος ἑκάστου οἶκος, τοίη καὶ συνάπασα πόλις. Ε. (Ἴδ. Ξενοφ. Ἐφεσ. σελ. 83).

Σ. 699. Τέσσαρες ἀθλοφόροι ἵπποι] Ἐν δὲ τῷ τέσσαρες ἀθλοφόροι ἵπποι, οὓς φθόνου φασὶν αἰτίᾳ κατασχεῖν τὸν Αὐγείαν,

НБ ОНУ імені І. І. Мечникова

οἱ μὲν τέτρωρον φαντάζονται, οἱ δὲ δύο ξυνωρίδας νοοῦσιν, ἑκατέραν ἕνα ἔχουσαν ἐλατῆρα· τετρώρῳ γάρ φασιν οὐ χρῶνται οἱ παρ' Ὁμήρῳ ἥρωες. Λέγουσι δὲ καὶ ὡς εἰ καὶ περὶ τρίποδος οἱ τοιοῦτοι ἵπποι ἔμελλον ἐν Ἤλιδι θεύσεσθαι, οὐκ ἤδη νοητέον, τοῦ τῶν Ὀλυμπίων ἀγῶνος μεμνῆσθαι τὸν Ὅμηρον, μηδὲ γὰρ εἰδέναι αὐτά· λέγειν δὲ περί τινος ἐγχωρίου ἀγῶνος χρηματικοῦ· οὐ μὴν στεφανίτου κατὰ τὰ Ὀλύμπια. Οὔτε γὰρ ἐνταῦθα, οὔτε ἀλλαχοῦ φασι οἶδε στέφανον ὁ ποιητής· οὐκ ἐν νίκῃ, οὐκ ἐν θυσίᾳ, οὐκ ἐν συμποσίῳ. Κατὰ μέν τοι ἑτέρους οὐκ ἀπίθανον, εἰδέναι τὸν ποιητὴν τὰ Ὀλύμπια, κἂν εἰ μὴ πρὸς λέξιν ὀνομάζῃ αὐτά· τὸν Ἡρακλῆν γὰρ πάντως οἶδε, καὶ πολλαχοῦ μέμνηται αὐτοῦ, ὃν ἄλλοι τε καὶ ὁ Πίνδαρος (Νεμ. ΙΑ, στ. 34.) δὲ ἱστοροῦσι τοῖς Ὀλυμπίοις προκαταβαλέσθαι τὰς ἀρχάς. — Πρὸς δὲ τούτοις ἱστορεῖται καὶ ὅτι τὴν ἀρχὴν Πισάται τοῦ ἀγῶνος ἐπεμέλοντο. Ἐπεὶ δὲ τοῖς Μεσσηνίοις αὐτοὶ κατὰ Λακεδαιμονίων συνεμάχησαν· καθελόντες ὕστερον αὐτοὺς οἱ Λακεδαιμόνιοι, παρέσχον τὴν τοῦ ἀγῶνος ἀρχὴν τοῖς Ἠλείοις, οἳ κατὰ Μεσσηνίων τοῖς Λάκοσι συνεμάχησαν· καὶ ὅλως, πειρῶνται συναγαγεῖν, ἐπεγνῶσθαι τῷ ποιητῇ τὸν Ὀλυμπιακὸν ἀγῶνα· εἰ καὶ μὴ νῦν αὐτοῦ ἐκείνου μέμνηται ῥητῶς. Ἀθλοφόροι δὲ καὶ νῦν ἵπποι οἱ νικηταί. Ε.

Σ. 700. Περὶ τρίποδος γὰρ ἔμελλον] Τὸ δὲ περὶ τρίποδος θέειν καί τινων τοιούτων μικροπρεπῶν ἐπάθλων, καινὸν οὐδέν· νίκη γὰρ ἦν τέλος, οὐ κτήματα· ὡς καὶ οἱ στεφανῖται δηλοῦσιν ἀγῶνες. Ε.

Σ. 702. Ἀκαχήμενον ἵππων] Λείπει ἡ ὑπὲρ πρόθεσις, ἀντὶ τοῦ ὑπὲρ τῶν ἵππων. Σ.

Σ. 704. Ἄσπετα πολλά] Τὸ δὲ ἄσπετα πολλὰ τῆς αὐτῆς πρὸς ἐπίτασιν ἐκ παραλλήλου ἐννοίας εἰσίν· ὡς καὶ τὸ ἀθέσφατα πολλά, καὶ ὁμοιοῦται πρὸς τὸ, ληΐδα ἤλιθα πολλήν. Ε.

Σ. 705. Ἀτεμβόμενος] Τουτέστι μή τις ἀπέλθοι στερούμενος τῆς ἰσομοιρίας, ἧς ὡς μάλιστα ἐκήδοντα οἱ παλαιοί, διὰ τὸ ἐν ἰσότητι δίκαιον. — Ἴσης] Τὸ δὲ ἴσης, λείπεται τοῦ μερίδος ἢ μοίρας. Ε. — ὅπως μηδεὶς ἀπέλθοι, στερηθεὶς τῆς ὁμοίας καὶ ἴσης τιμῆς· ἴσης γάρ, τῆς τὸ δίκαιον καὶ ἴσον ἐχούσης Σ. (ἴδ. Ὀδυσσ. Θ, 42. καὶ 549).

Σ. 709. Μολίονε] Κτέατος καὶ Εὔρυτος παῖδες μὲν ἦσαν Ποσειδῶνος καὶ Μολιόνης τοῦ Μόλου, ἐπίκλησιν δὲ Ἄκτορος. Οὗτοι παρηλλαγμένην φύσιν τῶν λοιπῶν ἔσχον ἀνθρώπων. Δι-

НБ ОНУ імені І.І. Мечникова

φυεῖς γὰρ ἦσαν, ἔχοντες ἑκάτερος δύο κεφαλὰς, τέσσαρας δὲ χεῖρας, πόδας τοὺς ἴσους, ἓν δὲ σῶμα· διὰ τοῦτο τοὺς πολεμικοὺς καὶ γυμνικοὺς ἐνίκων ἀγῶνας· Ἡρακλῆς δὲ πολεμῶν, καὶ μὴ δυνάμενος κατὰ τοὐμφανὲς αὐτῶν περιγενέσθαι, συμμαχοῦντος Αὐγείου, λοχήσας ἀνεῖλεν αὐτούς· καὶ οὕτως ἐπόρθησε τὴν Ἦλιν· ἡ ἱστορία παρὰ Φερεκύδῃ. Σ.

Σ. 711. Θρυόεσσα πόλις] Ἴδ. Β, 592. καὶ Ε, 545.

Σ. 720. Μετέτρεπον] Τὸ δὲ μετατρέπειν ἔστι μὲν ταὐτὸν τῷ ἐκπρέπειν. Ε.

Σ. 722. Ποταμὸς Μινυήϊος] Ὁ δὲ Μινυήϊος ποταμὸς ὡς ὁ Γεωγράφος φησὶν (Η, σελ. 239.). Ἄνιγρος καλεῖται βαθὺς καὶ ὕπτιος ἀβρώτους ἔχων ἰχθῦς· τὸ δ' ἐντεῦθεν λουτρὸν, ἀλφοὺς καὶ λεύκας καὶ λειχῆνας ἰᾶται. Ὠνόμασται δὲ Μινύειος τετρασυλλάβως τύπῳ κτητικῷ καὶ διαλύσει καὶ ἐκτάσει Μινυήϊος, ἀπὸ Μινυῶν τῶν μετὰ Χλώριδος τῆς μητρὸς Νέστορος αὐτόθι ἐλθόντων ἐκ τοῦ Μινυείου Ὀρχομενοῦ, οἱ τῶν Ἀργοναυτῶν ὄντες ἀπόγονοι, οὓς Μινύας ὁ Λυκόφρων (στ. 784. ἴδ. Σχολ.) λέγει, ἐκ Λήμνου μὲν εἰς Λακεδαίμονα ἐξέπεσον· ἐκεῖθεν δὲ εἰς Τριφυλίαν, καὶ ᾤκησαν περὶ Ἀρήνην τὴν ἐν τῷ Ὁμηρικῷ καταλόγῳ (Β, 591.). Διττὴ δὲ Ἀρήνη παρὰ τῷ ἐθνογράφῳ, ἡ μὲν Μεσσάνης, ἡ δὲ Τριφυλίας. — Ὅρα δὲ τὸ εἰς ἅλα βάλλων, ἀντὶ τοῦ, ἐκ κρημνοῦ καταπίπτων εἰς θάλασσαν, ὡς οἱ παλαιοί φασιν· ἢ καὶ ὡς ἐκ μήκους οἷον βάλλων τοξότου δίκην, εἰς αὐτήν· ὡς εἶναι ὀρθὸν λέγει εἰσβάλλειν ποταμὸν, καὶ εἰσβολὴν ποταμοῦ· εἰ καὶ μεθ' Ὅμηρον ἐκβολάς τε λέγουσι ποταμῶν καὶ ἐκβάλλειν ποταμοὺς εἰς θάλασσαν, ὃ ταὐτόν ἐστι τῷ ἀπερεύγεσθαι. Ε.

Σ. 726. Ἔνδιοι] Ἔνδιοι δὲ ὡς καὶ ὁ Γεωγράφος ἑρμηνεύει, (Η, σελ. 243.) οἱ κατὰ μεσημβρίαν· ὅτε δηλαδὴ ἐνδεῖ καὶ οὐκέτι αὔξεσθαι δοκεῖ ἀλλὰ φθίνει ἡ ἡμέρα. Ε.

Σ. 728. Ταῦρον δ' Ἀλφειῷ] Οἱ δὲ παλαιοὶ λέγουσιν οὕτω συντόμως, ὡς οἰκεῖος ὁ ταῦρος ποταμίῳ ῥεύματι τά τε ἄλλα, καὶ ὅτι βίαιός ἐστι τοῖς κέρασιν ἀναβάλλων τὴν γῆν· ἐξ οὗ καὶ ταυρηδὸν ἐπίῤῥημα παρὰ τῷ κωμικῷ ἀντὶ τοῦ ἀγρίως. Ε.

Σ. 730. Ἐν τελέεσσι] Τέλη δὲ καὶ ἐνταῦθα στρατιωτικὰ λέγει τάγματα. Ε.

Σ. 741. Φάρμακα ᾔδη] Ὅτι δὲ πολυφάρμακος ἡ κατὰ τὴν Ἦλιδα χώρα, δηλοῖ ὁ εἰπὼν, ὡς Μήδεια, ἐξ Ἀθηνῶν φυγοῦσα Αἰγέως φόβῳ, διότι τῷ Θησεῖ αὐτὴ ἐκέρασε φάρμακον· οἰκήσασά

НБ ОНУ імені І.І. Мечникова

τε τὴν πλησίον Ἤλιδος Ἔφυραν ἔνθα που καὶ ὁ Αὐγείας ἦν, πολυφάρμακα ἐποίησε τὰ ἐκεῖ· φάρμακα μὲν μέσως ἔφη τά τε ἀγαθὰ καὶ τὰ μὴ τοιαῦτα. Ε.

Σ. 750. Ἀκτορίωνε Μολίονε] Ἄκτορος καὶ Μολιόνης παῖδες Κτέατος καὶ Εὔρυτος· κατά τινας δὲ Μολιόνης καὶ Ποσειδῶνος. Σ.—Φιλάδελφοι δὲ ἱστοροῦνται, καὶ μιᾷ ψυχῇ ἐν δυσὶ σώμασι διοικούμενοι.

Σ. 754. Διὰ σπιδέος πεδίοιο] Ἐν δὲ τῷ δι' ἀσπιδέος πεδίοιο, τὸ ἀσπιδὲς τρισυλλάβως νοητέον πεδίον, τὸ περιφερὲς δίκην ἀσπίδος πάντοσε ἴσης, ἢ σπιδὲς κατά τινας δισυλλάβως, τὸ ἐκτεταμένον καὶ πλατὺ ὡς ἀπὸ τοῦ σπίζω τὸ ἐκτείνω. Ε.

Σ. 756. Ἐπὶ Βουπρασίου κ.τ.λ.] Τὸ δὲ ἐπὶ Βουπρασίου βήσαμεν ἵππους, ἀντὶ τοῦ, ἕως εἰς Βουπράσιον ἠλάσαμεν. Ε. (ἴδ. Β. 615.).

Σ. 757. Πέτρης δ' Ὠλενίης] Ἴδ. Β, 617.

Σ. 763. Ἀπονήσεται] Τὸ δὲ οἶος τῆς ἀρετῆς ἀπονήσεται, μέγα ὄνειδος εἰ μήτε τοὺς ζῶντας Ἀχιλλεὺς ὠφελήσει, μήτε ζῆλον ἀφήσει τοῖς εἰς ἔπειτα. Ε.

Σ. 765. Ὦ πέπον] Τὸ δὲ ὦ πέπον, οὐ ψογερὸν, ὥστε δηλοῦν ἄνδρα ἔκλυτον, φιλίαν δὲ σημαίνει ἐνδιάθετον (ἴδ. Β, 235.)—Διδάσκει τὸν Πάτροκλον, ὡς οὐ προσθήκη τῆς τοῦ Ἀχιλλέως ἐστὶ συμμαχίας, ἀλλ' ἐφ' ἑαυτοῦ σύμμαχος ἐπέμφθη τῷ βασιλεῖ. Ε.

Σ. 774. Αὐλῆς ἐν χόρτῳ] Ἐν τῷ περιφράγματι τῆς αὐλῆς· χόρτοι δὲ οἱ τρόχαλοι. Σ.—Καί φασιν οἱ ἐτυμολόγοι, ὅτι χόρτοι οἱ τρόχαλοι, ἐπεὶ ἀπὸ χόρτου κατεσκευάζοντο· κάλλιον δὲ εἶπον ἕτεροι, ὅτι, εἰ μὲν χόρτος νοηθῇ τὸ κατὰ χρῆσιν ἀρχαίαν κύκλῳ περίφραγμα, λέγεται οὕτω, διὰ τὸ μὴ ἑρκίοις, ἀλλὰ χόρτοις τὸ παλαιὸν φράττεσθαι τὰς αὐλὰς, ἢ φυομένοις ἐπίτηδες, ἢ καὶ ξηροῖς τιθεμένοις· εἰ δὲ τῆς αὐλῆς τὸ χώρημα χόρτος λέγεται, εἴη ἂν τοῦτο διὰ τὸ ὡς ἐπιπολὺ τὰς μεγάλας αὐλὰς χόρτοις ἐν καιρῷ θάλλειν ἐξ αὐτομάτου. Ε.—Ἄλεισον] Ἄλεισον δὲ κυρίως τὸ μὴ λεῖόν ἐστι ποτήριον·—ὥστε ἄλλειόν ἐστι τὸ ἀπαθὲς, οἱονεὶ τὸ μὴ λεῖον, ἀλλὰ τραχὺ τοῖς ἐμπαίσμασιν· ἐπενθέσει δὲ τοῦ σῖγμα γέγονεν ἄλεισον. (ἴδ. Ἀπολλον. σελ. 90).

Σ. 776. Ἀμφὶ βοὸς ἕπετον κρέα] Ὅ ἐστιν ἐνηργεῖτε καὶ ὡς εἰπεῖν ἀμφείπετε, συντομωτάτη ἐστὶν ἐπιτομὴ τῆς ἐν ἄλλοις πολλαχοῦ ἐκτιθεμένης θυτικῆς διασκευῆς. Ε.

Σ. 780. Τράπημεν] Ὅ ἐστιν ἐκορέσθημεν, ἢ μᾶλλον ἡδύνθημεν διὰ τοῦ φαγεῖν καὶ πιεῖν. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 786. Γενεῇ] Τῷ τοῦ γένους ἀξιώματι κρείσσων. Σ. — ἀντὶ τοῦ εὐγενείᾳ. Ε.

Σ. 788. Φᾶσθαι — ὑποθέσθαι] Τὸ δὲ φᾶσθαι καὶ ὑποθέσθαι καὶ σημαίνειν εἰσὶ μέν πως ἰσοδύναμα, λαμβάνονται δὲ ἀντὶ προστακτικοῦ· καὶ τὸ μὲν ὑποθέσθαι, τὸ ῥῆμά ἐστιν, ἐξ οὗ ὑποθήκη λέγεται ἡ παραίνεσις· τὸ δὲ σημαίνειν, πραῢν ὑποδηλοῖ τὸν Ἀχιλλέα, εἴπερ ὁ τηλικοῦτος, μετὰ τὸν διδάσκαλον Φοίνικα, καὶ τοῦ Πατρόκλου σημαίνοντος ἀνέξεται. — Πείσεται εἰς ἀγαθόν] Τὸ δὲ πείσεται εἰς ἀγαθὸν, ἔπαινος Ἀχιλλέως ἐστὶν, ὡς στερεοῦ καὶ μὴ ἁπλῶς πειθομένου, εἰ μὴ ἐπ' ἀγαθῷ. Ε.

Σ. 790. Λήθεαι] Εὐπρεπῶς τὴν ἀπείθειαν λήθην ὠνόμασεν· ἀπαγόμενος αὐτόν. Σ. Β.

Σ. 797. Φόως—γένηαι] Τὸ δὲ φόως γένηαι· ἀντὶ τοῦ ὠφελήσῃς· — ἐν οἷς ἅμα καὶ κολακεύει σωφρόνως τὸν Ἀχιλλέα, εἴπερ τὰ ἐκείνου ὅπλα καὶ μόνον ὀφθέντα, ἀριστεύσει φαντάσαντα τὸν Ἀχιλλέα. Σεμνὸν δὲ καὶ τῷ Πατρόκλῳ τὸ εἰς Ἀχιλλέα τυπωθῆναι, καὶ οὕτω νόθῳ Ἀχιλλεῖ φανέντι μέγα στῆσαι τρόπαιον. Ε.

Σ. 799. Ἴσκοντες] Ὁμοιοῦντες. Σ.

Σ. 805. Βῆ δὲ θέειν] Διὰ τοῦ θέειν ἐδήλωσεν, ὅσην εἶχε προθυμίαν· ὅθεν καὶ ἐπαναλαμβάνεται πάλιν τὴν λέξιν. Σ. Β.

Σ. 807. Ἀγορή τε θέμις τε] Ὅπου αὐτοῖς τά τε ὤνια ἐπιπράσκετο καὶ τὰ δικαστήρια ἐγίγνετο. Σ.

Σ. 808. Θεῶν ἐτετεύχατο βωμοί] Ὅπου καὶ τῶν πλευσάντων ἑκάστων πατρώων θεῶν βωμοὶ κατεσκευασμένοι ἦσαν. Σ.

Σ. 809. Οἰκονομικῶς] Ἵνα καὶ τῇ θέᾳ τοῦ τρωθέντος καὶ τοῖς λόγοις πλέον ὀρινθῇ. Σ. Β.

Σ. 811. Σκάζων ἐκ πολέμου κ.τ.λ.] Θαυμάζουσι τὸν λόγον τῆς συντομίας οἱ ῥήτορες, ὡς διὰ βραχέων πολλὰ δηλώσαντα· καμάτου μὲν γὰρ σημεῖον, ἱδρώς· τραύματος δὲ, αἷμα· τὸ δὲ σκάζειν ἀλγηδόνος. Ε. — Νότιος] Ὑγρὸς, ἢ πολύς· — ἐκ τοῦ νότου ἀνέμου ὄντος ὑγροῦ. Ε.

Σ. 813. Κελάρυζε] Τὸ δὲ κελαρύζειν δαψίλειαν τοῦ ῥέοντος αἵματος δηλοῖ· ὡς οὐχ ἁπλῶς καταῤῥέοντος, ἀλλὰ καὶ μετά τινος ποιοῦ ἤχου· τὸ δὴ τοιοῦτον αἷμα καὶ ἀκοντίζοι ἄν· ὅπερ ἀλλαχοῦ φησιν ὁ ποιητής. Ε. (ἴδ. Φ, 261). — Νόος γε ἔμπεδος ἦεν] Οἰκονομικῶς αὐτῷ τὸν νοῦν ἐφύλαξεν ὁ ποιητὴς, ἵνα Πατρόκλῳ εὐσταθῶς ὁμίλῃ. Σ. Β.

Σ. 816. Ἀ δειλοί] Τὸ δὲ ἆ δειλοὶ καὶ ἐνταῦθα οἶκτον ἐμφαίνει, ὅμοιον ὂν τῷ, ὦ δείλαιοι. Ε.

Σ. 817. Ἐμέλλετε] Ὅτι ἀντὶ τοῦ, ὡς εἰκὸς ἦν, ὡς ὑποκείμενον ἦν ὑμῖν τὸ παθεῖν. Σ. Β.

Σ. 818. Ἄσειν] Ὅ ἐστι κορέσειν· ἀργέτι δημῷ, τουτέστι λευκῇ πιμελῇ· ἀπὸ τοῦ ἀργής, ἀργῆτος, ἀργῆτι κατὰ συστολὴν τῆς παραληγούσης. Ε.

Σ. 823. Ἄλκαρ] Ἀλέξημα, βοήθημα. Σ.

Σ. 830. Ὕδατι λιαρῷ] Εὐκράτῳ, χλιαρῷ. Σ. — Τὸ μὲν γὰρ θερμόν φασιν, εἰ καὶ πραΰνει τὰς ἀλγηδόνας, ἀλλὰ αἵματός ἐστιν ἀγωγόν· τὸ δ' αὖ ψυχρὸν, φρίκην ἐμποιεῖ· ἄριστον οὖν καὶ ἐνταῦθα τὸ μέσον. Ε.

Σ. 832. Δικαιότατος Κενταύρων] Τοῦτο δὲ οὐχ ὑπερθετικῶς εἴρηται, ὡς τῶν μὲν ἄλλων Κενταύρων δικαίων ἁπλῶς ὄντων, αὐτοῦ δὲ δικαιοτάτου, ἀλλὰ ἀπολύτως οὕτως, ὡς ἐν ἁπλῷ σχήματι· οἷον δίκαιος ἐν Κενταύροις· ὡς καὶ Ζεὺς θεῶν ὀλοώτατος ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς. Ε. (ἴδ. Ἀπολλόδ. Γ, 13, 6.).

Σ. 841. Μεθήσω] Ἀμελήσω. Σ. — Οἰκονομεῖ δὲ ὁ ποιητὴς τοῦτο, διὰ πιθανότητα· ἵνα παραμείνας ὁ Πάτροκλος, ἐμβραδύνῃ ἕως τειχομαχία δεινὴ γένηται· καὶ ὁ μέγας κίνδυνος, ὃ πρὸ ὀφθαλμῶν ἐρεθίσῃ μᾶλλον αὐτὸν, ἱκετεῦσαι τὸν Ἀχιλλέα· οὐ γὰρ οὕτω πείθει λόγος ἐν τοῖς τοιούτοις οἰκτίζεσθαι· ὡς ἡ τῶν γινομένων θέα. Ε.

Σ. 842. Ὑπὸ στέρνοιο λαβών] Ἀντὶ τοῦ ἐπὶ τῷ στήθει αὐτὸν ἐγκαλισάμενος. Ε.

Σ. 846. Ῥίζαν βάλε πικρήν] Λέγουσιν αὐτὴν εἶναι τὴν καλουμένην ἀριστολοχίαν ἣν καὶ ἴσχαιμον καλοῦσι. Σ. — Τινὲς Ἀχίλλειαν τὴν βοτάνην καλοῦσι. — Σ. Β. (ἴδ. Ἴσχαιμος).

НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

## ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Μ.

Σ. 1. Μενοιτίου — υἱός] Πάτροκλος ὁ Μενοιτίου τρεφόμενος ἐν Ὀποῦντι τῆς Λοκρίδος, περιέπεσεν ἀκουσίῳ πταίσματι. Παῖδα γὰρ ἡλικιώτην Ἀμφιδάμαντος οὐκ ἀσήμου Κλυσώνυμον, ἢ ὥσπερ τινὲς Αἰάνην (Αἴαν Β.), περὶ ἀστραγάλων ὀργισθεὶς, ἀπέκτεινεν. Ἐπὶ τούτῳ δὲ φυγὼν εἰς Φθίαν ἀφίκετο, κᾀκεῖ κατὰ συγγένειαν Πηλέως, Ἀχιλλεῖ συνῆν. Φιλίαν δ' ὑπερβάλλουσαν πρὸς ἀλλήλους φυλάξαντες, ὁμοῦ ἐπὶ Ἴλιον ἐστράτευσαν· ἡ ἱστορία παρὰ Ἑλλανίκῳ. Σ.

Σ. 2. Ἐμάχοντο] Ὅτι ἐν τῷ γράμματι τούτῳ τὴν πεδιάδα μάχην ὁ ποιητὴς ἐπὶ τειχομαχίαν μετάγοι· ὡς ἂν μηδὲ τοιαύτην ἰδέαν πολέμου ἀφήσει ἀλογογράφητον, οὗ χάριν καὶ τὴν τειχοποιΐαν φθάσας ἀνέπλασεν ἐν τῷ τέλει τῆς ἡ ῥαψῳδίας. Αὐτὸς τὸ τεῖχος ἐγείρας, αὐτὸς καὶ ἀφανίσας καὶ καταῤῥίψας, ὡς παντελῶς πλάσμα ὂν αὐτοῦ· συναφανίζων τοῖς ἐρειπίοις· καὶ τὸν ἐσύστερον ἔλεγχον, καὶ χαλῶν αὐτὸ διά τε Ποσειδῶνος καὶ Ἀπόλλωνος· ἤγουν διὰ σεισμοῦ, ὡς εἰκὸς, καὶ κατακλυσμοῦ· ὧν τοῦ μὲν αἴτιος ὁ σεισίχθων καὶ ἐννοσίγαιος Ποσειδῶν· τοῦ δὲ ὁ νεφεληγερέτης ἥλιος. Σημειοῦνται δέ τινες χαριέντως ἐντεῦθεν, ὡς οὐ μετὰ πολὺ τῶν Τρωϊκῶν γέγονεν ὁ ποιητής· εἰ γὰρ μὴ τοῦτο, εἶπεν ἄν, φασιν, ὃ καὶ ἄλλως ἦν εἰκὸς ὑπονοεῖν, ὅτι καὶ μήκει χρόνου τὸ τεῖχος ἠφάνισαι, ὡς αὐτοσχεδίως ᾠκοδομημένον, καὶ οὐκ ἂν οἷον αἰτήματι οὕτως ἐργώδει ἐχρήσατο τῷ, ὅτι Ποσειδῶν καὶ Ἀπόλλων ἠφάνισαν αὐτὸ, ποταμῶν ὀκτὼ στόματα τρέψαντες εἰς ἓν, καὶ



НБ ОНУ імені І.І.Мечникова

ἀγαγόντες ἐπ᾽ αὐτὸ ἐφ᾽ ἡμέρας ἐννέα, καὶ τοῦ Διὸς ἅμα συνεχῶς ὕοντος, καὶ Ποσειδῶνος ἀναμοχλεύοντος τὰ θεμέλια, καὶ ἀμάθῳ τὸν τόπον καλύπτοντος, ὡς ἂν αἰγιαλὸς τὸ πᾶν γένηται, καὶ μηδὲ ἴχνος μείνῃ τοῦ ὅλου τείχους. Ε.

Σ. 3. Ὁμιλαδόν] Ἔστι δὲ μάχεσθαι ὁμιλαδὸν, τὸ κατὰ πλῆθος καὶ ἀναμὶξ, καὶ ὅ φασι κατὰ ἴλας, οὐ μὴν μονομαχικῶς, καὶ ὡς ἂν ποιητὴς εἴποι, μονάξ. Ε. — ἀθρόαι. Σ.

Σ. 4. Τεῖχος] Ἔπλασε τεῖχοι ὁ ποιητὴς εἰς τιμὴν τοῦ Ἀχιλλέως· κἄπειτα ἀπολλύμενον αὐτὸ εἰσάγει, ἵνα μὴ ἐλέγχηται αὐτοῦ τὸ ψεῦδος, ὡς μὴ γενομένου, ὑπὸ τῶν μεταγενεστέρων, καὶ τὴν ἀπώλειαν αὐτοῦ εἶπε. Σ. — Σχήσειν] Ἀνθέξειν, κωλύσειν. Σ. — Τετρωμένων τῶν ἀριστέων, μένειν ἐπὶ τῇ πεδιάδι Ἕλληνες οὐκ ἐδύναντο· ἀναγκαίως οὖν τὴν πεδιάδα μάχην ἐπὶ τειχομαχίαν μεταφέρειν βούλεται· — ἐπὶ οὖν τοῦ Τρωϊκοῦ τείχους τοῦτο ἀμήχανον· θεοποίητον γὰρ ἦν. Σ. Β.

Σ. 5. Νεῶν ὕπερ] Ἀντὶ τοῦ πρὸ τῶν νεῶν, ἢ ὑπὲρ ἀσφαλείας. Σ.

Σ. 8. Ῥύοιτο] Φυλάσσοι. Σ.

Σ. 9. Ἔμπεδον ἦεν] Ἑδραῖον, βέβαιον. Σ. — Ἀντίκειται τὸ ἀμαλδῦναι τὸ τεῖχος, ὅπερ ἐστὶν ἀφανίσαι ἐκ τοῦ τόπου ἐν ᾧ ἔμπεδον ἦν· οὐκ ἂν οὖν τὸ ἔμπεδον σημαίνει τὸ ὀρθὸν ὅλον καὶ ἀκίνητον, ἀλλὰ μόνον τὸ, ἐν πεδίῳ κείμενον. Σ. Β.

Σ. 10. Ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην] Ἀπορίαν εἰκότως παρέχει τὰ ἔπη ταῦτα, ὄφρα μὲν Ἕκτωρ, κ. τ. λ. τὸ γὰρ τεῖχος τῶν Ἀχαιῶν οὐκ ἔμενεν ἔμπεδον, ἐφόσον ὁ μὲν Ἕκτωρ ἔζη, καὶ Ἀχιλλεὺς ἐμήνιεν, ἡ δὲ τοῦ Πριάμου πόλις ἀνάλωτος ἔμενεν· μετὰ δὲ τὴν ἅλωσιν Ἰλίου καὶ τὸν ἀπόπλουν τῶν Ἀχαιῶν, τότε κατερίφθη· ἔτι γὰρ τοῦ πολέμου συνεστῶτος, καὶ Ἀχιλλέως μὲν μηνίοντος, Ἕκτορος δὲ περιόντος καὶ ἀριστεύοντος, ὑπὸ τῶν Τρώων τὸ τεῖχος τῶν Ἀχαιῶν κατερίφθη, καὶ διοδεύσιμον γέγονε τοῖς πολεμίοις. — Οἱ μὲν οὖν Γραμματικοὶ ἀπὸ τοῦ πλείστου μέρους ἀξιοῦσι λέγειν ἔμπεδον· ὀλίγον γὰρ εἶναι τὸ σαλευθὲν ὑπὸ τῶν Τρώων· ἀγνοοῦσι δὲ οὗτοι ὅτι τινα κἂν ἐκ μέρους πάθῃ, οὔτ᾽ ἐστὶν ἔμπεδα, οὔτ᾽ ἀρηρότα· — καὶ τεῖχος οὐκέθ᾽ οἷόν τε κρύπτειν καὶ φυλάττειν τοὺς τειχίσαντας, οὐκέτ᾽ ἂν εἴη ἔμπεδον τεῖχος, ἀλλὰ σωρὸς λίθων· μήποτ᾽ οὖν ἡ ἔμπεδον λέξις οὐκ εἴληπται νῦν μεταφορικῶς ἐν ἴσῳ τῷ ἀσφαλὲς καὶ ἀραρός· — ἀλλὰ κυρίως νῦν ἐξενήνεκται,

НБ ОНУ ім. І.І. Мечникова

ὥστε σημαίνοι ἂν ὅτι ἐν τῷ πεδίῳ κείμενον, καὶ μὴ ἀλίπλοον· ἀντέθηκε γὰρ τὸ ἔμπεδον τῷ ἁλιπλόῳ. Σ. Β. — Ἐν δὲ τῷ, ὄφρα Ἕκτωρ ζωὸς ἦν καὶ μήνιεν Ἀχιλλεὺς, ὑποδηλοῖ, δύο πρόσωπα εἶναι τὰ τὴν Ἰλιάδα μάλιστα συνέχοντα, τὸν Ἀχιλλέα τε καὶ τὸν Ἕκτορα. Ε. — προαναφωνεῖ ταῦτα, καὶ λεληθότως λέγει τὴν πόρθησιν τῆς Ἰλίου. Σ.

Σ. 17. Δὴ τότε] Τὸ δὲ δὴ τότε Μιλησίων ἐστὶν ἀναστροφὴ κατὰ τοὺς παλαιούς· τὸ δὲ κοινὸν, τότε δή. Ε.

Σ. 18. Ἀμαλδῦναι] Ἀφανίσαι. Σ. ἴδ. Η, 463.

Σ. 19. Ἀπ' Ἰδαίων ὀρέων] Ἰδαῖα δὲ ὄρη, ἢ αὐτὴν τὴν Ἴδην σεμνύνων πληθυντικῶς ὠνόμασεν, ἢ τὰ τῆς Ἴδης ἄκρα οὕτω κατὰ τοὺς παλαιοὺς εἶπεν· οἷον τὸ Λεκτὸν, τὴν Φαλάκραν, τὸ Γάργαρον, τὸ Σίγειον. Ε.

Σ. 20. Ῥῆσός θ' κ. τ. λ.] Ἰστέον δὲ καὶ, ὅτι ὁ μὲν Ῥῆσος ὁ τῷ προδεδηλωμένῳ Θρακικῷ ἥρωϊ ὁμώνυμος, Ῥοίτης ἐκαλεῖτο κατά τινας. Περὶ οὗ λέγεται καὶ ὅτι ὁ Ῥῆσος ποταμὸς ἀπὸ καλῆς πεύκης ῥέει, ἥτις Ἀδραμυτείου ἀπέχει σταδίους ἐγγύς που διακοσίους. Ὁ δὲ Ἑπτάπορος ὁ καὶ Πολύπορος κατὰ τὸν Γεωγράφον ἑπτάκις διαβαίνεται ἐν τοῖς περὶ καλὴν πεύκην χωρίοις· ὥστε φερωνύμως ὠνόμασται· ἐς τοσαύτας γὰρ ἑλισσόμενος ἀξιολόγους καμπὰς, πολλάκις διαπερᾶται, καθὰ καὶ ὁ Φᾶσις πλεονάκις τοῦτο πάσχει, καὶ ὁ Μαίανδρος. — Ὁ δὲ Κάρησος ἐμβάλλων εἰς τὸν Αἴσηπον, ὕστερον Πίδυς ἐκλήθη· — ὁ δὲ Γεωγράφος λέγει, ὅτι Καρησηνὴ ὀρεινὴ ἀπὸ Καρήσου ποταμοῦ ὃς νῦν φησι καλεῖται Ῥοίτης· δοκεῖ δὲ ἐμβάλλειν εἰς τὸν Γράνικον. — Καλεῖται δέ φασιν ὁ ῥηθεὶς Ῥόδιος, Δάρδανος, καὶ ῥέει ἀπὸ τόπου ἀπέχοντος καλῆς πεύκης σταδίους ἑξήκοντα. — Ὁ δὲ Γρήνικος ῥέει, φασὶ, διὰ τοῦ τῆς Ἀδραστείας πεδίου. Ε.

Σ. 22. Βοάγρια] Τὰ τῶν βοῶν ἀγρεύματα, τοῦτ' ἔστι, τὰς ἐκ βυρσῶν κατεσκευασμένας ἀσπίδας. Σ.

Σ. 23. Ἡμιθέων] Ἡμίθεοι, οἱ ἕνα θεὸν ἔχοντες γονέα, καὶ ἕνα ἄνθρωπον. Σ.

Σ. 24. Ὁμόσε στόματ' ἔτραπε] Στόμα δὲ ποταμοῦ καὶ οἱ μεθ' Ὅμηρον πάντες ἐκ τούτου παραλαβόντες φασὶν, δι' οὗ ἐκβάλλειν καὶ ἐρεύγεσθαι ποταμὸς εἰς θάλασσαν λέγεται. Ε.

Σ. 25. Ἐννῆμαρ] Τὸ δὲ ἐννῆμαρ τινὲς δι' ἑνὸς γράφουσι νῦ καὶ δασύνουσιν· ὧν καὶ ὁ Μαλλώτης Κράτης ἐστίν· ἤγουν ὁ



НБ ОНУ імені І.І.Мечникова

ἀπὸ Μαλλοῦ πόλεως· ὡς ἄτοπον ὄν φησιν Ἕλληνας μὲν τὸ τεῖχος ἡμέρᾳ μιᾷ κτίσαι, Ἀπόλλωνα δὲ καὶ Ποσειδῶνα καὶ Δία δι' ἐννέα ἡμερῶν ἀφανίσαι αὐτό. Ε. — Ῥητέον δὲ, οὐκ εἰς τὸ καταβαλεῖν ταῖς ἐννέα ἡμέραις κέχρηται, ἀλλ' εἰς τὸ ἀλίπλοα γενέσθαι τὰ θεμέλια καὶ εἰς τὴν θάλασσαν κατενεχθῆναι φιτρῶν καὶ λάων τὰ θέσαν μογέοντες Ἀχαιοὶ, καὶ ἔτι λειῶσαί τε τὸν τόπον, καὶ αὖθις δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι. Σ. Β.

Σ. 29. Φιτρῶν] Τὸ δὲ φιτρῶν καὶ λάων, Ἀμαθουσίων γλώσσης ἐστὶν, ὥς φασιν οἱ παλαιοί. Κύπριοι δὲ οἱ Ἀμαθούσιοι· — δοκεῖ δὲ ποιητικὴ μὲν λέξις εἶναι ὁ φιτρὸς, κοινοτέρα δὲ ὁ κορμός. Ε. — Μογέοντες] Ἀντὶ τοῦ ἀτυχοῦντες. Σ. Β.

Σ. 30. Ἀγάῤῥοον] Ἄγαν ῥοώδη· ὅ ἐστι σφοδρὰ ῥεύματα ἔχοντα. Σ. — μάλιστα ἐν τοῖς στενοῖς. Ε.

Σ. 33. Κὰρ ῥόον] Τὸ δὲ κατὰ ῥοῦν τραπῆναι τοὺς ποταμοὺς ταὐτόν ἐστι τῷ, ἔνθα πρώην ῥέοντες ἐπορεύοντο· ὅθεν καὶ παροιμία εἴληπται τὸ κατὰ ῥοῦν τὰ πράγματα φέρεσθαι, ὅ ἐστι μὴ ἀνακόπτεσθαι, ὡς παρεκνεύειν ὧδε κἀκεῖ, ἀλλ' εὐροεῖν τινι τὰ τῆς τύχης· οὐ τὸ ἔμπαλιν, ἀνάῤῥουν χωρεῖν ἐστιν. Ε. — τὸ δὲ ἵεν ἢ ψιλοῦται· κείμενον ἀντὶ τοῦ ἐπορεύετο ὕδωρ· ἢ δασυνόμενον ἀντὶ τοῦ ἔπεμπον οἱ ποταμοὶ νοεῖται. Ε.

Σ. 36. Κανάχιζε] Ἤχει. Σ. — Ἀμφιβολίας ἐστὶ σχῆμα· δηλοῖ γὰρ, ὡς ἡ κανάχιζε τὰ πολεμικὰ δούρατα κατὰ πύργων βαλλόμενα, ἢ ὅτι τὰ ἐν τοῖς πύργοις ξύλα ἐκανάχιζεν ἐν τῷ βάλλεσθαι. Ε.

Σ. 37. Διὸς μάστιγι δαμέντες] Τῇ Διὸς γνώμῃ τὰς ψυχὰς κεκακωμένοι· Διὸς δὲ μάστιξ ὁ κεραυνός. Σ. Β.

Σ. 38. Ἐελμένοι] Συγκεκλεισμένοι. Σ.

Σ. 41. Κύνεσσι καὶ ἀνδράσι θηρευτῇσι] Πρὸς ἓν μόνον ἤνεγκε τὴν εἰκόνα, πρὸς τὸν Ἕκτορα τὸν ἐν τοῖς Τρωσὶν εἰλούμενον καὶ φοβοῦντα τοὺς ἀκοντιστὰς καὶ πολεμικοὺς Ἕλληνας. Σ. Β.

Σ. 42. Βλεμεαίνων] Ἴδ. Θ, 337.

Σ. 43. Πυργηδόν] Ἀντὶ τοῦ δίκην πύργου συντάξαντες· ἢ ἀρηρότες κατὰ πύργον, ὃ δήπου φησὶν ὁ ποιητής· — πύργος δὲ νῦν ἐῤῥέθη διάταξις στρατιωτικὴ τετραγωνοειδὴς, κατὰ πλινθίον συντεταγμένη, πύκνωμα πολὺ ἔχουσα ἐν τῷ τοὺς μὲν προστάτας εἶναι, τοὺς δὲ κατὰ νώτου αὐτοῖς τετάχθαι, τοὺς δὲ καὶ τριστάτας ἵστασθαι, καὶ εἰσέτι τυχὸν ἐπὶ πλέον. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 46. Ταρβεῖ] Ὅτι φανερὰ διαφορὰ παρὰ τῷ ποιητῇ τάρβους καὶ φόβου· ταρβεῖ μὲν γὰρ ὁ ἁπλῶς κατὰ ψυχὴν δειλιῶν· φοβεῖται δὲ ὁ καὶ φεύγων. Ε. — Λέγει οὖν, οὔτε δέδιεν, οὔτε φεύγει. Σ. Β. — Καὶ ὅρα, ὡς ἐν τῇ παραβολῇ συχνοῖς κόμμασι τὸ ἐναγώνιον τῆς θήρας μιμητικῶς ἐνέφηνε· καὶ ὅτι τὸν κάπρον ἢ τὸν λέοντα ὑπὸ ἀγηνορίας πεσεῖν, οὐδὲν εἰς τὴν παραβολὴν συντελεῖ· οὐ γὰρ ὁμοίως καὶ ὁ Ἕκτωρ νῦν ἀναιρεῖται, ὡς Ἀγήνωρ, ἀλλὰ κατὰ τοὺς παλαιοὺς, ἄλλως οὕτω ποιητικὸς αὐτὸ κόσμος λαβὼν ἔχει. Ε.

Σ. 48. Ἰθύσει] Ὅπου δ' ἂν ἐνορμήσῃ. Σ.

Σ. 49. Εἱλίσσετο] Τὸ δὲ ἑλίσσετο, ἀμφεβλήθη· τινὲς μὲν γὰρ ἐδάσυναν· νοοῦντες αὐτὸ ἀντὶ τοῦ εἱλίσσετο, ἐστρέφετο· τινὲς δὲ ἐψίλωσαν, ὡς ἐπὶ παρακλήσεως. Ε. — ἔστιν ἀντὶ τοῦ εἰλεῖτο· οὐδέποτε γὰρ Ἕκτωρ, ὡς ἀλαζὼν παρακαλεῖ· οἱ δὲ, ἀντὶ τοῦ παρεκάλει, ὡς ἂν δυσχεροῦς καὶ κινδυνώδους οὔσης τῆς πράξεως. Σ. Β.

Σ. 50. Τάφρον ἐποτρύνων κ. τ. λ.] Ὅτι γραφικῶς ὁ ποιητής, τουτέστιν ὡς ἔν τινι ζωγραφίᾳ· ἐπὶ τῆς τάφρου τοὺς τοῦ Ἕκτορος ἵππους ἱστᾷ. Ε.

Σ. 52. Ἀπὸ γὰρ δειδίσσετο] Ἀντὶ τοῦ, εἰς δέος ἦγε καὶ φόβον. Σ.

Σ. 53. Κατὰ τοὺς παλαιοὺς εἰπεῖν] Πηδᾶν μὲν τὸ τῆς τάφρου εὖρος κωλύει, διαβῆναι δὲ εἴργει τὸ βάθος. Ε.

Σ. 54. Κρημνοὶ ἐπηρεφέες] Τουτέστιν ὀφρύες τινὲς ἐπὶ τὰ ἔσω κοιλαινόμεναι· ὡς οἷον ἠρέμα σπηλαιοειδεῖς ἢ ὀροφωταί· τοιοῦτον γάρ τι δηλοῖ τὸ ἐπηρεφέες· ὡς ἂν μὴ ἔχοι τις δι' αὐτῶν καταβαίνειν, ἢ ἀναβαίνειν. Ε.

Σ. 57. Πυκνοὺς καὶ μεγάλους] Πυκνοὺς, ὥστε μὴ μεσάζεσθαι, καὶ μεγάλους, ὥστε μὴ ὑπερβαίνεσθαι. Ε. — ἀλεωρήν. φυλακήν, ἔκκλισιν, ἀποφυγήν. Σ.

Σ. 59. Μενοίνεον] Προεθυμοῦντο, ἐνήργουν. Σ.

Σ. 62. Ἀφραδέως] Ὅ ἐστιν ἀνοήτως, ἀβούλως. Ε.

Σ. 66. Στεῖνος] Τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους στενοχώρημα. Ε. — Τρώσεσθαι] Ἐλαττωθήσεσθαι καὶ τραπήσεσθαι. Ἴωνες γὰρ τὰς τροπὰς τρώματα καλοῦσι. Σ. Β.

Σ. 70. Νωνύμνους] Νώνυμοι δὲ, εἴτε νώνυμνοι, οἱ ἐστερημένοι τοῦ ὀνομάζεσθαι ἢ ὑμνεῖσθαι, ὅ ἐστιν οἱ ἀνώνυμοι καὶ ἀκλεεῖς. Ε.

НБОНУ імені І.І.Мечникова

Σ. 71. Παλίωξις] Πάλιν δίωξις· οὕτω γὰρ καλεῖται ἡ τῶν διωκόντων φυγή. Σ.

Σ. 72. Τάφρῳ ἐνιπλήξωμεν] Ἐμπλῆξαι δὲ τάφρῳ, τὸ ἐμπελάσαι ἢ τὸ ἀκουσίως ἐγκροῦσαι, καὶ ὡς εἰπεῖν ἐμπαῖσαι, ἢ ἐμπεσεῖν. Ε.

Σ. 73. Οὐδ᾽ ἄγγελον . . . ἄψορρον] Τὸ δὲ οὐδ᾽ ἄγγελον ἀπονέεσθαι ἄψορρον, παροιμιῶδές ἐστιν, ὅτε πανωλεθρίας που γενομένης, οὐδ᾽ ὁ μηνύσων τὰ σκυθρωπὰ ὑπολέλειπται. Οἱ δὲ μεθ᾽ Ὅμηρον καὶ σκυθρωπῶν καὶ σκυθρωπότητος ἄγγελον τὸν τοιοῦτον φασίν· οἱ δ᾽ αὐτοὶ ἐφ᾽ ὁμοίοις δεινοῖς παροιμιάζονται καὶ τὸ, μηδὲ πυρφόρον ὑπολείπεσθαι. Ε.

Σ. 76. Ἐρυκόντων] Ἀντὶ τοῦ ἐρυκέτωσαν, ὅ ἐστι κατεχέτωσαν. Σ.

Σ. 80. Ἀπήμων] Ἄλυπος. Σ.

Σ. 81. Ἐξ ὀχέων σὺν τεύχεσιν] Εἰκότως οὐδὲ ἀποκρίνεται διὰ τὴν ἔπειξιν. Σ. Β.

Σ. 82. Ἠγερέθοντο] Ἀπαιωροῦντο, ἐκρέμαντο. Σ. (ἀνάγνωθ. ἠερέθοντο.).

Σ. 86. Διαστάντες] Τῶν ἵππων, ἢ ἑαυτῶν. Σ. Β.

Σ. 87. Πένταχα] Εἰς πέντε τάξεις. Σ. — ἰστέον δὲ, ὅτι διακοσμοῦνται οἱ Τρῶες πένταχα, ἢ διότι πέντε ἦσαν ἴσως αἱ τοῦ Ἑλληνικοῦ τείχους πύλαι, ἢ μάλιστα, ἵνα, φασὶν, ἀνὰ δύο ἡγεμονίαι μέσον δορυφοροῖεν ἐπ᾽ ἀσφαλείᾳ τὸν Ἕκτορα. Ἑκάστη δὲ τῶν πέντε τάξεων τρεῖς εἶχεν ἡγεμονίας, ὡς εἶναι τοὺς πάντας δεκαπέντε. Ε.

Σ. 96. Ἀρίσβηθεν] Ἴδ. Ζ, 13.

Σ. 97. Αἴθωνες— Σελλήεντος] Ὅτι Σελλήεις ποταμὸς ἐπ᾽ Ἀσίας οὗτος, ἕτερος δὲ ἐπὶ Θεσπρωτίας. Σ. Β. (Ἴδ. Β, 659. 839.).

Σ. 98. Ἀγχίσαο] Ὁ δὲ μνημονευθεὶς Ἀγχίσης, Κάπυος ἦν· οὗ καὶ Ἀφροδίτης, Αἰνείας. Ὃς ἔτη ζήσας ὀγδώκοντα ἀποίχεται. Ἐδείκνυτο δέ φασι τάφος Ἀγχίσου ἐν τῇ Ἴδῃ, καὶ ἐτίμων αὐτὸν οἱ ἐκεῖ ποιμένες καὶ βουκόλοι κατὰ πᾶν φθινόπωρον τὸν τάφον αὐτοῦ στέφοντες· νεώτεροι δέ τινες ἐν Σικελίᾳ φασὶ τετελευτηκέναι αὐτόν. Ε.

Σ. 103. Εἴσαντο] Ἔδοξαν, κατεφάνησαν. — Διακριδόν] Ὥστε διακεκρίσθαι καὶ φανερὸν εἶναι πᾶσιν. Σ. — Πολλάκις ἀπὸ διαφόρων κλίσεων συνέμπτωσις γενομένη πλανᾷ τοὺς πολλοὺς, ὡς ἑνὸς ὄντος σημαινομένου, ὥσπερ ἔχει τὸ εἴσαντο· σημαί-

НБ ОНУ імені І.І. Мечникова

νει δὲ καὶ τὸ ὑπέλαβον, καὶ τὸ ἐπορεύθησαν, καὶ ἴσος καὶ ὅμοιος γενόμενος· ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ εἴδω, τὸ δὲ ἐπορεύθη ἀπὸ τοῦ ἴω· τὸ δὲ ὁμοιώθην, ἀπὸ τοῦ εἴσκω· τὸ μὲν οὖν δηλοῖ τὰ τοιαῦτα. Σ.

Σ. 105. Τυκτῇσι βόεσσι] Ταῖς εἰργασμέναις βύρσαις· λέγει δὲ ταῖς ἀσπίσι. Οὐδέποτε δὲ βοῦν ἁπλῶς λέγει τὴν ἀσπίδα, ἀλλὰ μετά τινος, ἐξ οὗ γνωρίζεται, οἷον βῶν ἀζαλέην. Β. (Ἴδ. Η, 239.).

Σ. 106. Λελιημένοι] Παρωρμημένοι, ἔνθερμοι. Σ.

Σ. 107. Πεσέεσθαι] Ὅτι ἐπὶ τῶν Τρώων ἀκουστέον, ἐμπεσεῖν ταῖς ναυσίν. Σ. Β.

Σ. 114. Παρὰ νηῶν] Ἀντὶ τοῦ ἀπὸ νηῶν εἴρηται· ἡ γὰρ παρὰ ὥς φασιν οἱ παλαιοὶ κυρίως ἐπὶ ἐμψύχων ἐστί. Ε. — Ἀγαλλόμενος] Τὸ παιδαριῶδες αὐτοῦ ἐσήμανεν ἐν τοιούτῳ καιρῷ καὶ τόπῳ καλλωπιζομένου ἵπποις. Σ. Β.

Σ. 116. Δυσώνυμος] Χαλεπή. Σ.

Σ. 117. Δευκαλίδαο] Δευκαλίωνος παιδός. Γίγνεται δὲ ἐκ Πύῤῥας καὶ Δευκαλίωνος, ὥς φησιν Ἀπολλόδωρος, παῖδες (Ι, 7. 2.)· Ἕλλην μὲν πρῶτος, ὃν ἐκ Διὸς ἔνιοι γεγεννῆσθαι λέγουσι· δεύτερος δὲ Ἀμφικτύων, ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς· θυγάτηρ δὲ, Πρωτογένεια. Σ.

Σ. 118. Εἴσατο] Ὅτι πολλὰ σημαίνει τὸ εἴσατο· νῦν μὲν τὸ ὥρμησεν καὶ ἐπορεύθη, ἀπὸ τοῦ εἶμι, ἐν ἑτέροις δὲ ἐφάνη· εἴσατο δ᾽ ὡς ὅτε ῥινόν· (Ὀδυσσ. Ε. 281). Σ. — καὶ τὸ γνῶναι· Εἴσομαι, αἴ κε μ᾽ ὁ Τυδείδης· (Θ, 532.). Σ. Β. — Ἐπ᾽ ἀριστερά] Ὅπου φασὶν Ἰδομενεὺς καὶ Αἴας ἐνεώλκουν περὶ τὸ Ῥοίτειον ἀκρωτήριον· ἔνθα καὶ ἡ κατὰ τὸν Ἀρίσταρχον ἱππήλατος ἦν πύλη. Ε.

Σ. 120. Διήλασεν] Ἁπλῶς ἀντὶ τοῦ ἤλασεν, ὥς που καὶ τὸ εἰπεῖν διειπεῖν λέγει. (Κ, 425.). Ε.

Σ. 121. Ἐπικεκλιμένας σανίδας] Πύλαι μὲν κατὰ συνήθειαν Ὁμηρικὴν, αὐτὸς ὁ τῆς εἰσόδου τόπος, σανίδες δὲ αἱ θύραι, ὀχεὺς δὲ ὁ μοχλός. Ε. — Ὀχῆα] Τὸν ἐξ ἑκατέρου μέρους ἐπιβαλλόμενον μοχλόν· φησὶ γὰρ, δοιοὶ δ᾽ ἔντοσθεν, ὀχῆες. Σ. Β. — εἰσὶ δὲ ἐπικεκλιμέναι, αἱ συγκεκλεισμέναι αἷς ἀνάπαλιν ἔχουσιν αἱ ἀναπεπταμέναι, ὡς εὐθὺς κατωτέρω κεῖται. Ε.

Σ. 124. Ἰθύς] Κατ᾽ εὐθὺ τῶν πυλῶν. — Φρονέων] Φρονέων δὲ ἐπὶ φρονήματι ἐπαιρόμενος. Σ. Β. — Ἔχε] Ἤγουν ἤλαυνεν. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 125. Κεκλήγοντες] Ῥῆμα προϋπόκειται τὸ κεκλήγω· Συρακουσίων δέ φασι τοῦτο γλώσσης. Ε.

Σ. 128. Λαπιθάων] Λαπίθαι ἥρωες Ἀχαιοὶ (ἀνάγνωθ. ἀρχαῖοι, Σ. Β.) ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης τὸ γένος ἔχοντες. Σ. (ἴδ. Α, 263.).

Σ. 133. Ἤματα πάντα] Δηλοῖ δὲ δρυῶν πολυχρόνιον· διηνεκεῖς δὲ ῥίζαι, αἱ διὰ πολλοῦ τόπου ἐνηνεγμέναι καὶ τεταμέναι, καὶ οὕτως αἴτιαι ταῖς δρυσὶ τοῦ μίμνειν ἄνεμον καὶ ὑετὸν ἤματα πάντα, ἤγουν ἐς διηνεκὲς χρόνου. Ε.

Σ. 134. Διηνεκέεσσι] Ἐπιμήκεσιν. Σ.

Σ. 141. Εἵως] Ἀντὶ τοῦ τέως νῦν κεῖται, οἷον μέχρι τινός. Σ. Β. — πρὶν ἐλθεῖν τοὺς βαρβάρους. Σ.

Σ. 142. Ἔνδον ἐόντες] Ἕως τειχῶν. Σ.

Σ. 146. Ἀγροτέροισι σύεσσιν] Ἡ προκειμένη ἀπὸ τῶν δρυῶν εἰκὼν πρὸς τὴν στάσιν· ἡ δὲ τῶν συῶν πρὸς τὴν καρτερίαν τῶν βελῶν· καὶ τὸ δύο ὄντας ἀνθίστασθαι πολλοῖς ἀτάκτως βάλλουσιν, εἴκασε συσὶ πρὸς πολλῶν κυνηγετῶν ἔφοδον ἀνθισταμένοις. Σ. Β.

Σ. 147. Κολοσυρτὸν] Κολοσυρτὸς δὲ κυρίως κτύπος ὁ ἀπὸ κάλων, ἤγουν ξύλων συρομένων ἐν ὄρει· ἕτεροι δὲ τὴν ἐκ φρυγάνων συρομένων αἰρομένην κόνιν οὕτω καλοῦσι· κόλα γάρ φασι τὰ φρύγανα. Ε. — Τὸ δὲ κολοσυρτὸν παρὰ τὸ κόλα ἐπισύρειν, ἢ τὸν κολώνειον συριγμόν. Σ. Β. — ἢ τὸν κολῳὸν, ἤγουν τὸν συριγμόν. Σ.

Σ. 148. Δοχμώ τ' ἀΐσσοντε] Τὸ δὲ δοχμοὺς ἀΐσσειν καὶ τὴν ὕλην πρυμνόθεν ἀγνύειν κατὰ θυμόν. Ε. — εἰς πλάγιον ὁρμῶντες. Σ. — Ἔστι δὲ δοχμὼ ἀντὶ τοῦ δόχμιοι, ἤτοι πλάγιοι· παρ' ἑκάτερα γὰρ αὐτοῖς πεφύκασιν οἱ ὀδόντες· ἐκτάμνοντες δὲ τὴν ὕλην ἐν τῷ παραθήγειν δηλονότι τοὺς ὀδόντας Σ. Β. — Ἄγνυτον] Κατακλῶσιν, κατατάσσουσι. (ἴσως καταπατοῦσι). Σ.

Σ. 149. Πρυμνήν ἐκτάμνοντες] Πρυμνὴν ἐκ ῥιζῶν, ἐσχάτην. Σ. — ἄκραν, πρόῤῥιζον. Σ. Β. — Ὑπαὶ δὲ] Ὑπὸ δὲ τῶν ὀδόντων. Σ. — Κόμπος] Ὅτι μέλλων εἰπεῖν τὸν χαλκὸν κομπεῖν, ἤγουν ἠχεῖν κατὰ ἰδιότητα ἤχου, καὶ εἰδὼς τὸν κόμπον ἐπὶ συῶν κυμολεκτούμενον, προεθεράπευσε τὴν λέξιν τῇ τῶν συῶν παραβολῇ· — τὸ δὲ κομπεῖν καὶ ἐπὶ σκευῶν ἤχου λέγεται κομπεῖν γοῦν χύτραν ἢ λοπάδα φησὶν ὁ Λαέρτης (Διογ. Λαερτ. σελ. 1.) ἐν τοῖς τῶν σοφιστῶν βίοις. Ε. — ψόφος. Σ.

Σ. 153. Πεποιθότες] Τοῖς ἀπὸ τοῦ τείχους ὄχλοις θαῤῥοῦντες. Σ.

Σ. 156. Νηῶν τ' ὠκυπόρων κ.τ.λ.] Πρὸς τὸ σύντονον καὶ πληκτικὸν τῶν λίθων· εἰς ἐπίτασιν δὲ τὸν ἄνεμον παρέλαβε πρὸς τὸ σφοδροτέραν γενέσθαι τὴν καταφοράν. Σ. Β.

Σ. 157. Ζαής] Μεγάλως πνέων, βίαιος. Σ.

Σ. 160. Ἄϋτευν] Ὅ ἐστιν ἐβόων· — αὖον δὲ βοᾷν διαστέλλεται τῆς τῶν ὑγρῶν βοῆς· ἐκείνη γὰρ ἑτεροία ἐστί. Γενικὴν δὲ ἀοριστίαν ἔχει τὸ βοᾷν αὖον, δηλοῦν κτυπεῖν, δουπεῖν, βομβεῖν, καὶ τοιαῦτά τινα. Μᾶλλον δὲ καί τι τούτων τραχύτερον, οὐ μὴ ῥᾴονος ὄντος ἐν σχεδιασμῷ ταχὺ εὑρεθῆναι, γενικῶς εἶπε τὸν ὑποκείμενον ἦχον, αὔην βοήν, ὅπερ ἐμφαντικώτερόν ἐστι τοῦ ξηράν, ἤ τοιοῦτόν τι εἰπεῖν. Ε.

Σ. 161. Μυλάκεσσι] Μύλακες δὲ λίθοι μυλοειδεῖς, ὅ ἐστι στρογγύλοι. Ε. — τραχέσι λίθοις. Σ.

Σ. 162. Πεπλήγετο] Ἴδ. στ. 125.

Σ. 163. Ἀλαστήσας] Δεινοπαθήσας. Σ.

Σ. 164. Ζεῦ πάτερ κ.τ.λ.] Καὶ ὅρα κἀνταῦθα μωρίαν τοῦ Ἀσίου· οὐ γὰρ φιλοψευδῆ τὸν Δία καλεῖ, διότι ἐκεῖνος αὐτῷ ὑποσχόμενος ἔψευσται ἀλλὰ τὸ τῆς ἐλπίδος αὐτὸν ψευσθῆναι, εἰς Διὸς ἀπάτην ἀνάγων· ὁποῖα τὰ τῶν ἀφρόνων· καὶ μονονουχὶ δοξάζων ὡς ὅπερ ἐφάμην, ἔφατο καὶ ὁ Ζεύς. Ἴσως δὲ καὶ ἄλλως ἀνόητος ὁ Ἄσιος· τὰ γὰρ ἐν τῷ τέλει τῆς θῆτα ῥαψῳδίας γενόμενα τέρατα ὑπὲρ ἑαυτοῦ νοῆσαι δοκεῖ· καὶ ταῦτα κρίνει Διὸς ὑποσχέσεις οὐ διακρίνας καλῶς. — Σημειοῦνται δὲ κἀνταῦθα οἱ παλαιοί, ὡς ἑτοίμως ἔχουσι οἱ δυστυχοῦντες, οὐ μόνον ἄλλως δυσανασχετεῖν, ἀλλά που καὶ τὸ θεῖον καταμέμφεσθαι. Οὕτω γὰρ καὶ ὁ Ἄσιος, ἐπεὶ μὴ ἔσχεν εὐπετῶς ποιῆσαι τὸ προτεθὲν καὶ εἰς φυγὴν τρέψαι τοὺς δύο Λαπίθας, οὐ μόνον ᾤμωξε, καὶ ὡς ἐπὶ θαύματι δὲ μεγάλῳ ἐπλήξατο τοὺς μηρούς, ἀλλὰ καὶ φιλοψευδῆ τὸν Δία ἐκάλεσεν, ὅ ἐστιν ἀπατεῶνα, ψεύδειν εἰδότα, ἤγουν ἀπατᾷν. Ε.

Σ. 167. Μέσον αἰόλοι] Ποικίλοι τὰ μέσα τοῦ σώματος· εἰσὶ γὰρ ἐπτερωμένοι καὶ ξανθοί, ἀφ' οὗ εὐκίνητοι, ὡς καὶ ἀλλαχοῦ φησι αἰόλον ἵππον (Τ, 404)· ἄμεινον δὲ ἀκούειν τοὺς εὐκινήτους. Σ. — αἰόλοι δὲ τὰ μέσα οἱ σφῆκες, ἢ ὡς εὐκίνητοι διὰ τὴν ἐντομήν, καὶ τὴν ἐκεῖθεν πτέρωσιν. Ε. — Ἀξιόπιστος ὁ παρὰ τῶν πολεμίων ἔπαινος· εὐτελεῖ δὲ ζώῳ καὶ θυμικῷ παρέβαλε, τὴν ἀλκὴν ὁμολογεῖν ἀναγκαζόμενος, ἀφαιρούμενος δέ τι τοῦ τῶν ἀνδρῶν ἀξιώματος, διὰ τὴν τοῦ ζώου σμικρότητα. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 168. Παιπαλοέσσῃ] Τῇ πολλὰς ἐκτομὰς ἐχούσῃ, τῇ τραχείᾳ. Σ.

Σ. 169. Κοῖλον δόμον] Φωλεούς. — Σφηκίαν φησί. Σ.

Σ. 170. Θηρητῆρας] Τοὺς ἐρεθίζοντας. Σ.

Σ. 172. Χάσσασθαι] Χωρισθῆναι. Σ.

Σ. 177. Θεσπιδαὲς πῦρ] Τὸ θερμὸν τῆς μάχης πῦρ φησι. Σ. Β. — Κατὰ τὸ ἐμάχοντο δέμας πυρός. (Λ, 595) Ε.

Σ. 179. Ἀκαχείατο] Ἐλελύπηντο. Σ. — Ἐλπίδα ὑποβάλλει τοῖς ἀκροαταῖς, ὅτι οὐκ ἦν ταῦτα ἀρεστὰ θεοῖς, ἀλλὰ διενόουν τὸ μὲν βοηθεῖν· ᾐδοῦντο δὲ Δία. Σ. Β.

Σ. 183. Χαλκοπαρῄου] Χαλκᾶς παραγναθίδας ἐχούσης. Σ.

Σ. 192. Αὐτοσχεδίην] Ἐκ τοῦ πλησίον, ἐκ χειρός. Σ.

Σ. 200. Ὄρνις γάρ σφιν κ.τ.λ.] Δηλοῖ δ' ἐν τούτοις ὁ μὲν τοῦ ὄφεως ἐγκρατὴς ἀετὸς ὁ τοῦ Διὸς ἱερὸς τοὺς ἄρτι ἐκ Διὸς νικῶντας Τρῶας· ὁ δὲ κατεχόμενος δράκων τοὺς τραυματίας μεγαθύμους Ἀχαιούς. Ε. — Ὄρνις δὲ καὶ νῦν συνήθως ἀντὶ τοῦ οἰωνὸς, ἤτοι σημαντικὸς τοῦ μέλλοντος· δύναται δὲ καὶ τὸ μὲν ὄρνις γενικῷ λόγῳ τεθῆναι, τὸ δὲ αἰετὸς, εἰδικῶς. — Ἐπῆλθε] Τὸ δὲ ἐπῆλθε νῦν μὲν ἀντὶ τοῦ ἁπλῶς ἦλθε· παρὰ δὲ τοῖς ὕστερον τὸ κατά τινος ἐλθεῖν ἡ λέξις δηλοῖ. Τὸ δὲ ὑψιπέτης βαρύνεται κατὰ Ἀρίσταρχον, πρὸς διαστολὴν τοῦ ὑψιπετὴς, ὃ δηλοῖ τὸν ἐξ ὕψους πεσόντα. — Ἐπ' ἀριστερὰ λαὸν ἐέργων] Ἀντὶ τοῦ ἀφορίζων ἐπὶ τὰ αὑτοῦ ἀριστερὰ τὸν λαὸν, τὸν Τρωϊκὸν δηλαδή· ὥστε δεξιὸς ἦν τοῖς Ἀχαιοῖς, καὶ διὰ τοῦτο αἴσιος αὐτοῖς. Ε. — ὑποχωρῆσαι συμφέρον, προσημαίνων· ἀριστερὰ γὰρ σημεῖα τὰ ἀπαίσια· δεξιὰ δὲ τὰ συμφέροντα· — καὶ ῥητέον, ὅτι νίκην μὲν ἐβούλετο τοῖς Τρωσὶν, ἐξελεῖν δὲ τὸ δέος τῶν Ἑλλήνων· οὐ γὰρ κατὰ προαίρεσιν αὐτοὺς ἐμίσει, ἀλλὰ χαριζόμενος Θέτιδι. Σ.

Σ. 204. Κόψε] Ἔδωκεν (ἀνάγν. ἔδακεν,) ἔπληξεν. Σ.

Σ. 205. Ἰδνωθείς] Συνειλήσας ἑαυτὸν, καμφθείς. Σ. — Ἐνταῦθα τὸ ἰδνωθῆναι, τὸ δονηθῆναι τὸν ἰνίον, ἤγουν τὸ ὄπισθεν τῆς κεφαλῆς. Ε.

Σ. 207. Πνοιῇσ' ἀνέμοιο] Τουτέστι τῷ λαχόντι πνέειν ἀνέμῳ ἐπιτρέψας ἑαυτόν· — πρὸς ἄνεμον πνέοντα. Ε. — Ὅτι λείπει τὸ ἅμα· — τῷ πνέοντι ἀνέμῳ δοὺς ἑαυτὸν, διὰ τὸ ὀδυνηθῆναι. Σ. Β.

Σ. 208. Αἰόλον ὄφιν] Πέπονθε δὲ ἐπὶ τέλους ὁ στίχος, ἔχων τὸν ἐκ δύο βραχειῶν πυῤῥίχιον, καὶ καλεῖται μείουρος. Σ. — Ὥσπερ ἔμπαλιν ἀκέφαλος λέγεται στίχος, ὁ περὶ τὴν ἀρχὴν,

НБ ОНУ імені І.І. Мечникова

καὶ οἱονεὶ κεφαλὴν συσταλείς· ὁποῖον καὶ τὸ ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο. Αἴτιον δὲ τοῦ ῥηθέντος μειουρισμοῦ ἡ τῆς ἕκτης χώρας ἐν τοῖς ἔπεσιν ἀδιαφορία· ἕτεροι δὲ τὴν ὀξεῖαν τάσιν ἐκτατικὴν εἰδότες ἀπ' αὐτῆς φασι προστεθῆναί τι χρόνου τῇ τοῦ ο φυσικῇ βραχύτητι, ὡς εἰς τροχαίου ἀπάρτισιν· ἄλλοι δὲ ὄπφιν μετέγραψαν, οἷα ὀκνοῦντες διπλάσαι τὸ Φ. Ε.

Σ. 213. Δῆμον ἐόντα] Νῦν τὸν δημότην. Σ. — Παρὲξ] Ἔξω τοῦ δέοντος δημηγορεῖν. Σ. — ἢ παρὰ τὸ κελευόμενον. Ε.

Σ. 225. Οὐ κόσμῳ] Εὐφήμως ὁ Πολυδάμος ἔφρασεν· ἄλλως γὰρ βούλεται εἰπεῖν ὡς ἀκόσμως φευξόμεθα καὶ οὐκ εὐτάκτως εἰς Τροίαν παλινοστήσομεν. Ε.

Σ. 228. Ὑποκρίναιτο] Ἀντὶ τοῦ ἀποκρίναιτο. Σ. Β. (ἴδ. Η, 407).

Σ. 229. Εἰδείη τεράων] Ἡρακλέους πορθήσαντος Ἴλιον, Πρίαμος παραλαβὼν τὴν βασιλείαν, ἔπεμψεν εἰς Δελφούς, μαντευσόμενος περὶ τῶν ἐνεστώτων. Οἱ δὲ πορευθέντες χρησμόν τε λαμβάνουσιν, καὶ Πάνθουν ἕνα τῶν Δελφῶν ἄγουσι, ὅπως κατὰ τὸ συνεχὲς μαντεύσηται Πριάμῳ. Γήμας δὲ οὗτος θυγατέρα Κλυτίου Προνόμην, Πολυδάμαντα γεννᾷ, τήν τε μαντικὴν ἀναδιδάσκει. Σ.

Σ. 232. Οἶσθα καὶ ἄλλον μῦθον] Νομίσας ἴσως ἀληθῶς ἐνδοιάσαι τὸν Πολυδάμαντά, φησιν· οἶσθα καὶ ἄλλον μῦθον. κ.τ.λ. Ε.

Σ. 233. Ἀπὸ σπουδῆς] Ἤτοι σπουδαίως, ἀπὸ σκέψεως καὶ κρίσεως. Ε.

Σ. 239. Εἴτ' ἐπὶ δέξι' ἴωσι] Δεξιὰ τὰ ἀνατολικὰ καλεῖ· ἀριστερά, τὰ δυτικά. Σ. — Λέγει δὲ ταῦτα ὁ Ἕκτωρ, οὐ μαντικήν, φασίν, ἀναιρῶν, ἀλλὰ τὴν γνώμην τοῦ Διὸς προτιμῶν· διὸ καὶ πάνυ σεμνὸς αὐτῷ ὁ λόγος καὶ ὑπέρφρων καὶ οὐδὲν ἔχων ταπεινόν· — σημειοῦνται δ' ἐνταῦθα οἱ παλαιοί, καὶ ὅτι τῇ εἰς ἄτοπον ἀπαγωγῇ φιλοσόφως χρᾶται ὁ Ἕκτωρ· προϋπόκειται μὲν γάρ, ὡς ὁμολογούμενον, ὅτι πειστέον Διῒ ἐπιτάττοντι ἐπελθεῖν ταῖς ναυσίν· ὁ δὲ οἰωνὸς δοκεῖ προτρέπειν ἀναχωρεῖν· εἰ γοῦν ἀναχωρητέον, ὡς δοκεῖ τῷ Πολυδάμαντι, οὐ πειστέον ἄρα τῷ Διΐ· διὸ ἐπάγει· ἡμεῖς δὲ μεγάλοιο. — Ἀνάσσει] Οὐ γὰρ Διὸς μὲν ἐπιληστέον τοῦ μεγάλου, πειστέον δὲ ὀρνέοις τοῖς μὴ τοιούτοις. Ε.

Σ. 243. Εἷς οἰωνὸς ἄριστος κ.τ.λ.] Ὁ δὲ νοῦς τῆς πιθανῆς ταύτης γνώμης τοιοῦτος· πολλῶν ἐπιφαινομένων τανυπτερύγων καὶ οὕτω πετομένων, ὅποι νεύσαιεν, οἰωνῶν, εἷς ἄριστος, ὁ ἀμύνειν τῇ πατρίδι ὑποτιθείς, ἢ δηλῶν, ἢ σημαίνων, ἤ τι τοιοῦ-

НБ ОНУ імені І.І.Мечникова

τον· — δύναται δὲ νοηθῆναι καὶ ὅτι εἷς οἰωνὸς ἄριστος, αὐτὸ τοῦτο τὸ ἀμύνειν τῇ πατρίδι· ἵνα εἴ τι ποθὲν ἴδοι ἢ αὐτὸς ἔχοι προθυμίαν ἐπὶ ἀμύνῃ πατρίδος, ἡγοῖτο τοῦτον οἰωνὸν, ἤτοι σύμβολον ἀγαθοῦ τινος. Ε. —ἐκεῖνος μόνος ἄριστος οἰωνὸς, ὁ ὑπὲρ πάτρης κελεύων ἀγωνίζεσθαι. Σ. Β.

Σ. 244. Τίπτε σὺ δείδοικας] Ἐπὶ δὲ τούτοις καὶ ὑποπτεύων ὁ Ἕκτωρ ὡς διὰ δειλίαν ὁ Πολυδάμας συμβουλεύει ἀναχώρησιν, ὀνειδίζει. Ε.

Σ. 247. Μενεδήϊος] Μένων τοὺς πολεμίους ἐν τῇ μάχῃ, πολεμικός. Σ. — ἔστι δὲ τὸ μενεδήϊος ἴσον τῷ μενεπτόλεμος. Ε.

Σ. 249. Παρφάμενος] Παραλογισάμενος, πείσας. Σ. — παραλογισάμενος πιθανότητι λόγων· — ὅρα δὲ καὶ τὸ ὑπομενετικὸν τοῦ σοφοῦ· ἀμείβεται γὰρ οὐδὲν ὁ συνετὸς Πολυδάμας τὸν θρασὺν ἀπειλητῆρα· ἴσως μὲν, ὑποδεδιὼς, τυχὸν δὲ καὶ ὅτι φωνήσας ταῦτα ὁ Ἕκτωρ, εὐθὺς ἡγήσατο. Ε.

Σ. 253. Ὦρσεν] Ποιητικῶς τοῦτο· συνδραμόντος γὰρ τοῦ πλήθους, εἰκὸς αὐτὴν γενέσθαι. Σ. Β.

Σ. 254. Ἰθὺς νηῶν] Ὅτι τὸ ἰθὺς τοπικῶς τίθησιν, ἀντὶ τοῦ ἐπ' εὐθείας κατ' ἀντικρὺ τῶν νεῶν. Σ. Β.

Σ. 255. Θέλγε νόον] Ὅτι δὲ τὸ θέλγειν οὐκ ἐπὶ ἡδονῆς κεῖται παρὰ τῷ ποιητῇ, ὡς ἡ ὕστερον ἔχει χρῆσις, δῆλον μὲν καὶ νῦν φανερῶς, καὶ ἐν ἄλλοις δὲ πολλαχοῦ ὁ ποιητὴς αὐτὸ παριστᾷ· ὅλως γὰρ φυσικῆς ἐνεργείας ἔκστασιν τὸ θέλγειν δηλοῖ, ὡς φανεῖται καὶ ἐν οἷς ὁ Πάτροκλος πείσεται· ἵνα ᾖ θέλγειν, τὸ οὗ θέλει τις ἀπάγειν. Ε. — ἠπάτα, ἔβλαπτε. Σ.

Σ. 258. Κρόσσας μὲν πύργων ἔρυον,] Κρόσσαι μὲν κατά τινας, αἱ ἄκραι τῶν πύργων, καὶ οἷον κόρσαι καὶ κεφαλαί· διὸ καὶ ἐξοχὰς αὐτοὺς καλοῦσι καὶ κεφαλίδας οἱ παλαιοί· ἃς καὶ καθεῖλκον οἱ Τρῶες, καθαιροῦντες εἰς γῆν. — Ἀρίσταρχος δὲ πολεμικὰς κλίμακας ὑποτρόχους τὰς κρόσσας νοεῖ, ἤτοι μηχανὰς κλιμακώδεις· τινὲς δέ φασιν, ὅτι κρόσσαι λίθοι ἐπὶ κορυφῆς τοῦ τείχους πορνεύοντες· ἐφ' ὧν καὶ ἐπάλξεις ἦσαν· διὸ καὶ συγκαταπίπτουσιν αἱ ἐπάλξεις ταῖς κρόσσαις· οἱ δέ τινές φασιν, ὅτι κρόσσαι αἱ τῶν πύργων ἐξοχαὶ, ὡς καὶ κροσσοὺς ἱματίων φαμέν· ἄλλοι δὲ οὕτω φασίν· κρόσσαι ὄργανα πρὸς τοιχομαχίαν ἐπιτήδεια, ἔχοντα ἔνδον ἀνάβασιν καλυπτομένην, ἕως ἂν εἰς τοὺς πύργους ἀνέλθῃ ὁ τειχομαχῶν· οἱ δὲ τοιοῦτοι καὶ τὸ, κρόσσας μὲν πύργων ἔρυον, οὕτω νοοῦντες, ὅτι τὰς κρόσσας, ὅ ἐςι

НБ ОНУ імені І.І. Мечникова

τὰς τοιαύτας κλίμακας κατὰ τῶν πύργων ἔρυον· ὅπερ οἱ μὴ ἀποδεχόμενοι, φασὶ μὴ εἰδέναι τὸν ποιητὴν τὴν τοιαύτην μηχανήν· ἄλλως τε καὶ τοῦ τείχους ταπεινοῦ φασιν ὄντος, ὡς ἡ τοῦ Σαρπηδόνος δεικνύει προσβολή, ὃς ἔπαλξιν λαβὼν χερσὶ στιβαραῖς κατέρριψεν. Ε. — οὔκ εἰσι δὲ κρόσσαι αἱ κλίμακες, ἀλλὰ μᾶλλον οἱ ἐξέχοντες λίθοι ἐν τοῖς πύργοις, οὓς ποιοῦσιν εἰς τὸ ἐμποδίζειν τὰς τῶν μηχανημάτων ἐμβολάς. Σ. Β. — Τὰς ὑποκρόσσους κλίμακας πύργων ἔρυον ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους εἷλκον, παρετίθεσαν. Σ. — ἐπάλξεις. (ἴδ. Χ, 3.).

Σ. 259. Στήλας προβλῆτας] Ἃς καὶ ἔχματα πύργων εἶπε, τὰ ἐξέχοντα τῶν θεμελίων, ἢ αὐτοὶ οἱ θεμέλιοι, ἐφ' ὧν τὸ τεῖχος ἵσταται· φησὶ γάρ, ἃς Ἀχαιοὶ πρώτας ἐν γαίῃ θέσαν· ὧν τὸ χρήσιμον, δεσμὸς τείχους· — ἕτεροι δὲ στήλας προβλῆτάς φασι τὰς λεγομένας, ἀντηρείδας. Ε. — Ἐμόχλεον] Διὰ μοχλῶν ἐκίνουν. Σ.

Σ. 261. Αὖ ἔρυον] Ἐξέβαλλον. Σ.

Σ. 263. Φράξαντες ἐπάλξεις] Τὰ διάκενα τῶν ἐπάλξεων φράξαντες τοῖς ὅπλοις· αἱ μὲν γὰρ ἐπάλξεις πρόβολοι γίνονται τοῖς στρατιώταις· τὸ δὲ διάκενον αὐτῶν ταῖς ἀσπίσι προσαναπληροῦται. Σ. Β.

Σ. 265. Κελευτιόωντ'] Παρεκελεύοντο. Σ. — κελευτιόωντε. — ἀντὶ τοῦ ἐγκελευόμενοι. Ε.

Σ. 267. Μειλιχίοις] Προσυπακουστέον τὸ ἐκολάκευον. Σ. Β.

Σ. 269. Μεσήεις] Μέσος, κατὰ δύναμιν. Σ.

Σ. 273. Ὁμοκλητῆρος ἀκούων] Τοῦ ἐγκελευομένου, τοῦ ἀπειλοῦντος. Σ.

Σ. 278. Νιφάδες πίπτουσι] Πρὸ ὀλίγων τὴν τῶν πολλῶν λίθων ἄφεσιν νιφάσιν εἴκασεν, ἃς ἄνεμος νέφη δονήσας, χέει, — ὡς ἂν ἡ συντονία δηλωθείη τῆς τῶν βελῶν ἀφέσεως, ἐνταῦθα δὲ κοιμῶνται οἱ ἄνεμοι, καὶ οὕτω νιφάδες χιόνος πίπτουσι συχναί, καὶ δηλοῦται τὸ τῶν βελῶν πλῆθος. Ε.

Σ. 280. Πιφαυσκόμενος] Δηλοῖ δὲ οὐ μόνον τὸ λέγων, ὡς ἐν ἄλλοις, ἀλλὰ καὶ τὸ ἐπιδεικνύμενος. Ε. — Φανεροποιῶν, ἐμφανιζόμενος. Σ. — Κῆλα] Τὰ αὐτοῦ σημεῖα καὶ βέλη, ἃ ἐπιπέμπει κατὰ χόλον· βέλος δὲ νῦν εἴρηκε τὸν χειμῶνα. Σ.

Σ. 281. Κοιμήσας] Τὸ δὲ κοιμήσας ἀνέμους, καὶ ὅσα τοιαῦτα, οἱ μὲν μεθ' Ὅμηρον ὡς ἀπὸ τοῦ κοιμίζω κινοῦσιν, ὁ δὲ ποιητὴς καὶ οἱ κατ' αὐτόν, ἐκ τοῦ κοιμῶ· καὶ δηλοῖ Σοφοκλῆς γράψας, κοιμῶ τὸ δ' ἕλκος· τινὰ μέν τοι τῶν ἀντιγράφων, ἀκολούθως τῷ κοινῷ καὶ ὑστερογενεῖ, κοιμίσσας ἔχουσι διὰ

НБ ОНУ імені І.І. Мечникова

τοῦ ῑ ἐν δυσὶ σίγμασιν, ὡς ἐκ τοῦ κοιμίζω. — Ἔμπεδον] Τὸ δὲ ἔμπεδον τὸ ἀτίνακτον δηλοῖ τῆς τῶν νιφάδων καταφορᾶς, ἐν τῷ τοὺς ἀνέμους καθεύδειν. Ε.

Σ. 282. Πρώονας] Προβολὰς ὀρῶν, ἐξοχάς. (Ἴδ. Θ, 555.).

Σ. 283. Λωτεῦντα] Τὰ ἔχοντα λωτὸν, βοτάνην δηλαδὴ αὐτοφυῆ, οὐ μὴν δένδρον κατὰ τὸ ἐν λωτοφάγοις. Ε. — ἀνθοῦντα. Σ. — Πίονα ἔργα] Νῦν γεώργια. Σ.

Σ. 286. Εἰλύαται] Κεκάλυπται. Σ. — Ἐπιβρίσῃ] Ἐπιβαρήσῃ, πολὺς καὶ μέγας ἐπέλθῃ. Σ. — Διὸς ὄμβρος] Ὁ χιὼν νῦν. Σ. — Διὸς δὲ ὄμβρον φιλοσόφως ἀπὸ τῆς ὕλης τὴν νιφάδα, τῆς χιόνος καλεῖ· ὕλη γὰρ χιόνος ἐστὶν ὑγρὸν εἰς ὄμβρον συναχθέν. Ε.

Σ. 287. Λίθοι κ.τ.λ.] Ὅρα, ὅτι τε θηλυκῶς εἶπε τὸ λίθοι, καὶ ὅτι ἐλλειπτικῶς ἔχει τὸ, αἱ μὲν ἐς Τρῶας· λείπει γὰρ τὸ ἐξ Ἀχαιῶν. Ε.

Σ. 289. Δοῦπος ὀρώρει] Ἀντὶ τοῦ εἰς τὰ ὕπερθε τοῦ τείχους κτύπος ἦν. Ε.

Σ. 283. Βουσὶν ἕλιξιν] Ἕλιξ, ἡ ἁπλῶς συστροφὴ, ἐπὶ ὁδοῦ τυχὸν ἢ ὕδατος ἢ καμπτῆρος· ἔτι δὲ καὶ ἕλιξ ἀμπέλου, τὸ λεπτότατον, οἷά τι νῆμα, ᾧ δράττεται ὅσον καὶ χειρὶ τῶν παραπεφυκότων. Λέγεται δὲ ἕλιξ καί τι μηχανῆς εἶδος, ὃ πρῶτος εὑρὼν Ἀρχιμήδης, εὐδοκίμησέ φασι δι' αὐτοῦ. Ε. (Ἴδ. Φ, 448).

Σ. 295. Ἐξήλατον] Τὸ δὲ ἐξήλατον οἱ μὲν ἐδάσυναν, διὰ τὸν ἓξ ἀριθμὸν, ἵνα δηλοῖ τὴν ἑξαθέλυμνον, ὡς ἓξ ἐλάσματα ἔχουσαν· εἰ δὲ τοῦτο, εἴη ἂν καὶ τῆς ἑπταβοείου ἐμβριθεστέρα ἔτι δὲ καὶ τῆς τοῦ Ἀχιλλέως πέντε καὶ μόνας πτύχας ἐχούσης ἀπὸ στερεᾶς ὕλης, αὐτὴ ἓξ ἔχουσα ἐλάσματα καὶ ἔτι βοείας ἐντὸς καὶ ταύτας οὐ μίαν ἢ δύο, ἀλλὰ θαμειάς. Ὁ μέντοι Νικάνωρ, φασὶν, ἐψίλωσεν, ὡς ἔχουσαν ἔξωθεν ἔλασμα χαλκοῦ βύρσαις ἐπικείμενον· ὃ καὶ Ὁμήρῳ ἀρέσκειν φαίνεται, ἐτυμολογικῶς ἐπαγαγόντι τὸ, ἣν ἄρα χαλκεὺς ἤλασεν. Ε.

Σ. 297. Ῥάβδοισι] Τοῖς κανόσιν, οἷς εἴχοντο αἱ ἀσπίδες. Σ. — Ἰστέον δὲ, ὅτι δοκεῖ μὲν οὐ καλῶς ῥάβδους τοὺς ῥηθέντας κανόνας νοηθῆναι· οὐ γὰρ οἰκεῖον εἰπεῖν ἐπὶ κανόνων τὸ ῥάπτεσθαι καὶ ταῦτα διηνεκῶς περὶ κύκλον· πλὴν εἴ τις ἀνεπιβούλως ἐπιβαλεῖ, ἔχοι ἂν νοῆσαι τὰς ἐντὸς βύρσας διά τινος ἠπητηρίου κύκλῳ συῤῥαφῆναι, ὡς προφαίνειν ἔξω τῆς κατὰ τὴν ἀσπίδα περιφερείας, ῥάβδους ὀρθὰς κύκλῳ συνεχεῖς προφαινομένας εἰς κόσμον διὰ τὸ ἀπὸ χρυσέου, ὡς εἰκὸς, ῥάμματος

НБ ОНУ імені І.І.Мечникова

παρειλκύσθαι τὰς τοιαύτας ῥάβδους. Ε. — Περὶ κύκλον] Ὥστε ἐκ τῆς ῥαφῆς κύκλον ἐπιτελεῖσθαι. Σ.

Σ. 299. Λέων ὀρεσίτροφος] Ὅτι λέοντι ἁπλῶς καὶ συντόμως πρὸ ὀλίγων Ὅμηρος εἰκάσας τὸν Σαρπηδόνα, ἐνταῦθα διασκευάζει καὶ οἵῳ λέοντι ἔοικεν· ὅτι δηλαδὴ πάνυ πεινῶντι καὶ διὰ τοῦτο θανατοῦντι. Ε.

Σ. 301. Πυκινὸν δόμον] Ἀσφαλῆ; λέγει δὲ τὴν ἔπαυλιν. Σ. — Ἐπεξειργάσατο τὴν προκειμένην εἰκόνα· ἐνταῦθα γὰρ καὶ λιμώττει ὁ λέων, καὶ οὐ νενομένῳ ζώῳ ἐπιτυγχάνει· εἰς ἔπαυλιν δὲ αὐτὸν ὁ λιμὸς ἄγει. Σ. Β.

Σ. 302. Βώτορας] Βοσκήτορας, βουκόλους. Σ.

Σ. 304. Ἀπείρητος] Ἄνευ ἐπιβουλῆς, ἄπειρος. Σ. — μέμονε προεθυμεῖτο. Σ. — σταθμὸς καὶ νῦν ἀγροτικὴ ἔπαυλις, ζωοστάσιον. Ε. — Δίεσθαι] Διωχθῆναι. Σ.

Σ. 310. Τίη δὴ νῶϊ] Καὶ ὅρα, ὡς εὐγενὴς ἡ τοῦ Σαρπηδόνος αὕτη γνώμη· ἐν ᾗ καὶ τοιαῦτα ῥητορεύουσιν οἱ παλαιοί· ὡς τὸ μὲν ἀποθανεῖν, κοινὸν ἀποφαίνει πάντων, τὸ δὲ μετ᾽ εὐκλείας θανεῖν, τῶν ἀγαθῶν μόνον ἴδιον· καὶ τὴν παραυτίκα σωτηρίαν οὐκ ἀπαλλαγὴν θανάτου δοξάζει, ἀλλὰ μικρὰν χρόνου ἀναβολὴν ἀκλεῆ· καὶ διδάσκει μὴ προσίεσθαι χρόνου μῆκος δυσκλεές· — αἰδήμων δέ φασιν ὁ Σαρπηδών, καὶ εὐγνώμων, καὶ μεγαλόψυχος· αἰδεῖται μὲν γὰρ τιμαῖς μὲν μάλιστα πλεονεκτεῖν τῶν ἄλλων, καὶ πρῶτος εἶναι, ἀνδραγαθίαις δὲ μειονεκτεῖν, καὶ θεῶν ἐν μοίρᾳ τεταγμένος, μηδὲ εἰς ἄνδρα λογίζεσθαι ἀγαθόν· εὐγνωμονεῖ δὲ ὁμολογῶν τὰς τιμὰς τῶν πολιτῶν· μεγαλόψυχος δὲ ὤν, καταφρονεῖ θανάτου, διδάσκων, ὡς οὐ δεῖ μὴ προκινδυνεύοντας βασιλέας τιμᾶσθαι. Ε.

Σ. 311. Ἕδρῃ] Ἕδρην δὲ τὴν προεδρίαν φησί. Ε. — Πλείοις δεπάεσσιν] Ἐν δὲ τῷ δεπάεσσι, σημειωτέον, ὅτι, καθ᾽ Ὅμηρον μέν, δέπας ἁπλῶς τὸ ποτήριον, παρὰ δὲ τοῖς παλαιοῖς εὕρηται, ὅτι δέπας ἀνήρυσις, κοτύλη, οἰνοχόη· καὶ ὅτι οἰνιαστήρια, (οἰνιστήρια ἴσ.) σπονδὴ τελουμένη τῷ Ἡρακλεῖ ὑπὸ τῶν ἐφήβων πρὶν ἀποκείρασθαι. Ἐν δὲ τῷ πλείοις δεπάεσσιν ἐνθυμητέον καὶ τό, σὸν δὲ πλεῖον δέπας αἰεὶ ἕστηχ᾽ ὥσπερ ἐμοί. (Δ, 262.) Ἐν γὰρ τοῖς συμποσίοις οἱ κοῦροι διακονούμενοι τοῖς μὲν ἐντιμοτάτοις ἀεὶ πλήρες παρεῖχον τὸ ποτήριον, τοῖς δ᾽ ἄλλοις ἐξ ἴσου διένεμον. Ὡς δὲ καὶ φιλοπόται δοκοῦσιν εἶναι οἱ ἐν Λυκίᾳ, δηλοῦσιν οἱ παρώνυμοι ἐκεῖθεν

Λυκιουργεῖς φιάλαι· καὶ ἄλλως δὲ Λυκιουργοὶ ἐπίχρυσοι λεγόμεναι. Εἰ γὰρ καὶ λέγεται καλεῖσθαι οὕτω ἀπὸ Λύκωνος τεχνίτου τινὸς ἢ ἐπινοητοῦ αὐτῶν, ὡς καὶ Κονώνιοι ἀπὸ Κόνωνος, ἢ κατά τινας ἀπὸ Λυκίου Βοιωτίου ἀνδριαντοποιοῦ, ἀλλὰ ὁ ῥήτωρ Ἀθήναιος ἐπιπλήττει τοῖς οὕτω λέγουσι, φάμενος, ὅτι ὁ σχηματισμὸς τῶν τοιούτων ὀνομάτων οὐκ ἄλλοθεν γίνεται, ἀλλὰ ἀπὸ πόλεων ἢ ἐθνῶν. Ἀριστοφάνης γοῦν ἐν Εἰρήνῃ, Ναξιουργής φησι κάνθαρος· καὶ Κριτίας, κρήνη Μολοσσιουργής· (ἀνάγνωθ. κλίνη Μιλησιουργός) τοιοῦτον δὲ καὶ τὸ Χιουργὴς καὶ Κορινθιουργής· ὥστε κατ' αὐτὸν καὶ Λυκιουργὴς φιάλη ἡ ἐν Λυκίᾳ, ἢ παρὰ Λυκίοις εἰργασμένη. Ε.

Σ. 313. Τέμενος] Ἴδ. Ζ, 194.

Σ. 314. Φυλακιῆς] Ἴδ. Ζ, 195.

Σ. 316. Ἀντιβολῆσαι] Ἴδ. Δ, 342.

Σ. 320. Οἶνον τ' ἔξαιτον] Ὁ ἐκ τοῦ ἐξαίρετον συγκέκοπται. Ε. — ἐκ κοινοῦ τὸ πίνουσι. Σ. Β.

Σ. 328. Ἴομεν] Πάνυ σεμνῶς πέφρασται· μεγεθύνει γὰρ καὶ τούσδε τοὺς βασιλεῖς, εἰ τοιοῦτόν τινα ῥίψουσιν, ὃς αὐτοῖς εὖχος δώσει, καὶ τὸν ἴσως δὲ αὐτοὺς τοιούτους ὄντας ῥίψοντα ἐφ' οἷς εὖχος ἐκεῖνος ἕξει. Ε.

Σ. 333. Πάπτηνεν κ. τ. λ.] Ἰστέον δὲ, ὅτι καὶ ἐν τούτοις κεῖται τόπος ἀμφίβολος ἐξ ὑποδιαστολῆς, τὸ, πάπτηνε δ' ἀνὰ πύργον Ἀχαιῶν· ἢ γὰρ πάπτηνεν ἀνὰ πύργον τοῦ τείχους, εἴπου ἴδοι Ἀχαιῶν τινα, ἢ πάπτηνεν ἀνὰ πύργον Ἀχαιῶν, ἤγουν ἀνὰ παράταξιν πυκνὴν, εἴπως ἴδοι τῶν τινα ἡγεμόνων. Ε.

Σ. 334. Ἀρήν] Βλάβην. Σ. — τὸ φιλόστοργον αὐτοῦ ἐνδείκνυται· οὐ γὰρ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῶν ἑταίρων δέδοικε. Σ. Β.

Σ. 337. Βώσαντι γεγωνεῖν] Ἴδ. Θ, 223. — τὸ δὲ βώσαντι ἐκ βοήσαντι κέκραται. Ε.

Σ. 340. Πάσας γὰρ ἐπῴχατο] Πάσας γὰρ ἐπῴχετο ὁ κτύπος δηλαδὴ, ἢ ἐπῴχατο, ἤγουν ἐπεπορεύθησαν οἱ Τρῶες· ἢ μᾶλλον ἐπώχατο, ὅ ἐστι δι' ὀχέων ἤτοι μοχλῶν ἠσφαλίσαντο κλείσαντες οἱ Ἀχαιοί. Ἰστέον δὲ, ὅτι τὸ ἐπῴχατο σημαίνει ποτὲ ἐν ἄλλοις καὶ τὸ ἀνεῳγμέναι ἦσαν, ἀπὸ τοῦ ᾦκτο, ὡς τέτευκτο τετεύχατο, Ἰωνικῶς, φασι, καὶ Ἀττικῶς· τοιαύτης δὲ σκευωρίας καὶ ὁ τούτου παρακείμενος τὸ ἐπῴχαται ἀπὸ τοῦ ᾦκται. Ε. (ἴδ. Ἀπολλόν. σελ. 752.).

Σ. 346. Ἔδρισαν] Ἐπεβάρησαν. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 347. Ζαχρηεῖς] Ἴδ. Ε, 525.

Σ. 356. Ἀντιάσητον] Ἀπαντήσητε, μετάσχητε. Σ.

Σ. 371. Ὄπατρος] Ὁμόπατρος. Σ.

Σ. 380. Μαρμάρῳ] Ἰστέον δὲ, ὅτι ἐν τῷ μαρμάρῳ λείπει τὸ λίθῳ· διὸ καὶ ἀρσενικῶς εἴρηται, ὡς δηλοῖ τὸ, ἔκειτο μέγας ὑπέρτατος· — ὑπέρτατος δὲ ὁ τοῦ αὐτόθι σωροῦ τῶν λίθων ὑπερκείμενος. Ε.

Σ. 382. Χείρεσσιν ἀμφοτέρῃς φέροι (Σ. Β. ἔχοι)] Ἄκρως τὸ ἔχοι· οὐ γὰρ ἔφη βάλοι, καί τοι ἐγχωροῦντος τοῦ μέτρου· ἔστιν οὖν ἐπίτασις, ὃν οὐδὲ κατέχειν ἀμφοτέραις ἐδύνατό τις, τοῦτον ῥηϊδίως τῇ ἑτέρᾳ ἀφίησιν Αἴας· καὶ τὸ μάλα δὲ ἡβῶν πρὸς ἐπίτασιν πλείονα ἔγκειται. Σ. Β.

Σ. 385. Ἀρνευτῆρι ἐοικώς] Κυβιστῇ, ἢ δύτῃ· καὶ οὗτοι γὰρ ἐπὶ κεφαλὴν ἑαυτοὺς ῥίπτουσι. Σ.

Σ. 388. Ἐπεσσύμενον] Ἀντὶ τοῦ κατεπεμβαίνοντα τοῦ τείχους. Ε.

Σ. 389. Γυμνωθέντα βραχίονα] Ἀρίστου γὰρ τοξότου τὸ ἐσκεμμένως βάλλειν, καὶ τὰ καίρια τηρεῖν. Σ. Β.

Σ. 390. Ἆλτο λαθών] Ἵνα μὴ τοῖς ἑτέροις Τρωσὶν αἴτιος γένηται δειλίας, καυχήσεως δὲ τοῖς Ἀχαιοῖς. Σ. Β.

Σ. 400. Ὁμαρτήσαντες] Ὁμοῦ καὶ ὑπὸ τὸν αὐτὸν καιρὸν ἀφιέντες τὰ δόρατα, καὶ ἐπιτυχόντες. Σ.

Σ. 414. Ἐπέβρισαν] Βαρεῖς ἐπῆλθον τοῖς Ἀχαιοῖς. Σ. — μετὰ τῆς συνήθους βαρύτητος ἦλθον εἰς τὸν Σαρπηδόνα. Ε.

Σ. 421. Δηριάασθον] Φιλονεικοῦσι. Σ.

Σ. 422. Μέτρ' ἐν χερσίν] Μέτρα δέ φασιν ἐνταῦθα οἱ παλαιοὶ τὰς τὴν γῆν μετρούσας ἀκαίνας, αἷς τὰ πολεμικὰ ἐοίκασιν ἀκόντια· ὥσπερ αὖ πάλιν αἱ διείργουσαι τὸν στρατὸν ἐπάλξεις ἀναλογοῦσι λίθοις, οἳ ἐνιαχοῦ τίθενται ἔμμεναι οὖρον ἀρούρης· κάμακες δέ τινες αἱ ῥηθεῖσαι ἄκαιναι. Ε. — τοὺς γεωμετρικοὺς καλάμους· ἐπὶ ξυνῷ δὲ, κοινοὺς ὅρους ἐχούσῃ. Σ. Β.

Σ. 423. Περὶ ἴσης] Τὸ δὲ περὶ ἴσης δηλοῖ τὴν ἰσομοιρίαν. Ε.

Σ. 426. Λαισήϊα] Ὅτι καὶ ἐνταῦθα φανερῶς διαφορά ἐστιν ἀσπίδος καὶ λαισηΐου· — καί εἰσι κατὰ τοὺς παλαιοὺς λαισήϊα, τὰ ἐν τῇ λαιᾷ φερόμενα ἀμαζονικὰ, ἐξ ἀκατεργάστων ὄντα βυρσῶν. Ε. ἴδ. Ε, 453. — τὰ καὶ τῇ λαιᾷ δυνάμενα πάλλεσθαι ἀσπίδια. Σ. Β.

Σ. 428. Ὅτῳ στρεφθέντι] Ζηνόδοτος ὅτεῳ, καὶ ἐμφαίνει



НБ ОНУ імені І.І. Мечникова

Ὁμηρικὸν χαρακτῆρα· καὶ γὰρ ἀλλαχοῦ φησι τῷ ὅτεῳ τε πατὴρ κέλεται. (Ὀδυσσ. Β. 114.). Σ. Β.

Σ. 431. Ἐῤῥάδατ'] Τὸ δὲ θέμα τοῦ ἐῤῥάδα Ἰωνικοῦ ῥήματος, ῥάζω φασὶν οἱ παλαιοὶ, ὅπερ τὸ ῥαίνω δηλοῖ· καὶ γίνεται ἐκ τοῦ ἔῤῥαστο ἑνικοῦ τρίτου προσώπου παθητικοῦ ὑπερσυντελικοῦ ἀποβολῇ τοῦ σ, καὶ πλεονασμῷ τῆς δα συλλαβῆς, ὁμοίως τῷ ὠνόμασται ὠνομάδαται, ἐρήρεισται ἐρηρέδαται. Ε. — ἐῤῥαμένοι ἦσαν. Σ.

Σ. 433. Τάλαντα] Νῦν μὲν τὸ ὄργανον· — ἀλλαχοῦ δὲ, καὶ τὰ ἐν αὐτῷ σταθμιζόμενα. — Χερνῆτις] Χερνῆτις δὲ, ἡ διὰ χειρῶν νήθουσα ἔριον· — ταύτης δέ ἐστι καὶ ἀρσενικόν· φασὶ γοῦν οἱ παλαιοὶ, χερνήτης, λάτρις, χειροτέχνης, ἀπὸ χειρὸς ζῶν· καὶ πάλιν, χερνήτης, πένης, χειρόβιος. Ἐπαινεῖται δὲ, ὡς οὔτε δέσποιναν εἰσάγει ταλαντεύουσαν, αὐτὴν γὰρ οὐ πολλὰ λυπεῖ τὸ παρὰ βραχὺ ἴσον, οὔτε θεράπαιναν, οὐδὲ γὰρ αὐτὴ λίαν ζητεῖ τ' ἀκριβές· ἡ μέντοι ἀληθὴς χερνῆτις πάνυ τοῦτο ποιεῖ· οὔτε ἀποστερῆσαι θέλουσα, ὑπόκειται γὰρ ἀληθὴς, οὔτε αὐτὴ τοῦτο παθεῖν, πένησσα γάρ. Ε. — Ἀληθής] Δικαία καὶ ἀκριβής. Σ. (ἴδ. Εὐριπ. Ὀρεστ. στ. 424.).

Σ. 434. Ἀνέλκει] Τὸ δὲ ἀνέλκειν καιριωτάτη λέξις ἐνταῦθα, ἧς ἀνάπαλιν καθέλκειν τὸ κάτω ῥέπειν. Ε.

Σ. 435. Ἀεικέα μισθόν] Τὸ δὲ ἀεικέα μισθὸν δηλοῖ μὲν μισθώτριαν καὶ τὴν χερνῆτιν εἶναι· εὐτελίζει δ' ἐν τῷ καθόλου τὸ τοῦ μισθοῦ χρῆμα, ὡς ἀνελεύθερον ὂν μισθαρνεῖν. Ε. — Ἀεικέα] Εὐτελῆ καὶ οἰκτρόν. Σ. — Ἄρηται] Τὸ δὲ μισθῷ οἰκεῖον καὶ τὸ αἴρεσθαι· — καθότι καὶ ἀντίκειται τὸ τίθεσθαι καὶ τὸ αἴρεσθαι. — Φασὶ δὲ τὸν ποιητὴν τὰ καθ' ἑαυτὸν ἐμφαίνοντα ἐπὶ τῇ ἑαυτοῦ διασκευάσαι μητρὶ τὰ ῥηθέντα, ἣν ἐπαινεῖ μὲν ὡς ἀληθῆ, ὡς δὲ ἀεικῶς ζῶσαν, οἰκτίζεται· ἱστορεῖ γὰρ ἐν τοῖς περὶ Ὁμήρου Ἡρόδοτος, οὕτω τὴν Κρηθηίδα ἐργαζομένην ἀποτρέφειν τὸν ποιητήν. Ε.

Σ. 446. Πρυμνός] Τὸ δὲ πρυμνὸς, ἀντὶ τοῦ ἔσχατος πρὸς τοῖς θεμελίοις· ἕτεροι δὲ ὑφὲν ἀνέγνων, πρυμνοσπαχύς· ἵνα λέγει, ὅτι τὰ ἔσχατα καὶ κάτω παχύς· διὸ ἐπάγει· αὐτὰρ ὕπερθεν ὀξύς. Ε.

Σ. 447. Ἀνέρε δήμου] Ὥσπερ καὶ τὸ, ὃν ἂν εὕρῃ δήμου ἄνδρα, περίφρασίς ἐστι δημότου. Ε.

Σ. 450. Τὸν οἱ ἐλαφρὸν ἔθηκε] Ἡ διπλῆ, ὅτι ἐκλύει

НБ ОНУ імені І.І.Мечникова

τὴν τοῦ βαστάζοντος δύναμιν· καὶ Ἀριστοφάνης ἠθέτει, Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. Σ. Β.

Σ. 453. Σανίδων] Τῶν θυρῶν. Σ. — Ἰστέον δὲ, ὅτι ἐν μὲν τοῖς πρὸ τούτων, ἔδοξε φανῆναι, σανίδας μὲν ἄλλο τι, ἕτερον δὲ τὰς πύλας ῥηθῆναι· νῦν δὲ ταὐτὸν μὲν σανίδες καὶ πύλαι· σαφεστέρα δὲ ὅμως λέξις τὸ πύλαι· — διὸ καὶ παρακατιὼν ἐρεῖ τὰς πύλας μὲν βληθείσας ἠχῆσαι, τὰς σανίδας δὲ διατμαγῆναι. — Ἰστέον δὲ, ὅτι παρασημειοῦνται οἱ παλαιοὶ ἐνταῦθα, ὡς πανταχόθεν ὁ ποιητὴς ἐκίνησε τὴν τῆς μάχης ἐνέργειαν, ἢ τὴν τοῦ λόγου ἐνάργειαν· ἐκ τοῦ βαλόντος ἥρωος, ἐκ τοῦ μεγάλου λίθου, ἐκ τῶν ὑψηλῶν πυλῶν, καὶ ἀκριβῶς ἠσφαλισμένων, ἐκ τῶν διαῤῥιπτομένων σανίδων, ἐκ τοῦ ἐκεῖνον εἰσπηδῆσαι καὶ φοβερὸν βλέπειν, ἐκ τῆς τῶν ὅπλων λαμπηδόνος, καὶ ἐφεξῆς, ἐκ τῶν ὑπερβαινόντων τὸ τεῖχος, ἐκ τῶν κατ' αὐτὰς τὰς πύλας εἰσχεομένων, ἐκ τῆς φυγῆς τῶν Δαναῶν· καὶ ὅλως μέγα τὸ πρᾶγμα παριστᾷ τῇ πολλῇ δυνάμει τοῦ λόγου. Ε.

Σ. 455. Δικλίδας] Διθύρους. — Ὀχῆες] Οἱ μοχλοὶ ἀπὸ τοῦ συνέχειν τὰς θύρας. Σ. Ὁ μοχλὸς, ἡ νῦν λεγομένη σειρὰ, ἤγουν σέρα. Ε.

Σ. 456. Ἐπημοιβοί] Ἐπ' ἀμοιβῆς ἀλλήλοις ἐπικείμενοι· εἷς ἐφ' ἕνα. Σ. — εἰς μέσον συνάπτοντες. Σ. Β.

Σ. 458. Εὖ διαβάς] Διαβὰς δὲ, ὁ διαστήσας τὰ σκέλη, τουτέστι τὴν βάσιν πρὸς ἀντέρεισιν. Ε.

Σ. 459. Θαιρούς] Θαιρὸς δὲ νῦν μὲν στρόφιγξ θύρας· ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ὅτι θαιρὸς ὁ ἄξων παρὰ Σοφοκλεῖ. Ε.

Σ. 461. Διέτμαγεν] Διεσχίσθησαν, διεχωρίσθησαν. Σ.

Σ. 463. Ὑπώπια] Διὰ τὴν δεινότητα· — ὑπώπια δὲ λέγει τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἁπλῶς μέρη, τὴν πρόσοψιν· καὶ οὕτω μὲν ὁ ποιητής· οἱ δὲ ὕστερον, ὑπώπια φασὶ τὰς περὶ τοὺς ὀφθαλμοὺς πληγάς· ἐξ ὧν ὡς ἐκ μέρους καιριωτάτου, καὶ τὸ ὑπωπιάζειν, καὶ σώματος ὑπωπιασμὸς μεταφορικῶς, ὁ κατὰ σύνταξιν. Ε.

Σ. 471. Ἀλίαστος] Ἣ ὃν οὐκ εἶχον διεκφυγεῖν οἱ Ἀχαιοὶ, ἢ ὁ πολυλίαστος, ὁ εἰς πολὺν δηλαδὴ φόβον παρακινῶν. Ε. — Ἀμετάτρεπτος, ἄπαυστος. Σ.



НБОНУ імені І.І. Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Ν.

Σ. 2. Τοὺς μὲν ἔα] Ἐὰν ἐπ' ἀμφοτέρων λέγῃ Τρώων καὶ Ἑλλήνων, ἁπλούστερόν ἐστιν· ἐὰν δὲ περὶ τῶν Τρώων μόνων, ἐμφαίνεται ἦθος κατακερτομοῦντος τοῦ ποιητοῦ, ὅτι μάτην ἐπόνουν· οὐ γὰρ ἔμελλον ἀλλοκότως ὑπὸ βαρβάρων ἁλώσεσθαι. Σ. Β.

Σ. 3. Πάλιν τρέπεν ὄσσε] Τουτέστιν ἀλλαχοῦ τὴν θέαν ἔτρεψεν, ἀφεὶς ἐκείνους μάχεσθαι. Ε. — Τὸ πάλιν τὴν ἀπὸ τοῦ εὐθέως μεταστροφὴν δηλοῖ. — Δηλοῖ δὲ ταῦτα ἡ λέξις, τὸ ἀλλαχοῦ, ὡς ἐνταῦθα· τὸ ἐκ δευτέρου, ὡς τὸ πάλιν ποίησε γέροντα (Ὀδυσσ. Π, 456)· τὸ εἰς τοὐπίσω, ὡς τὸ, χειρὶ πάλιν ἐρύσασα (Ἰλιάδ. Ε, 836.)· καὶ τὸ ἐναντίως, ὡς τὸ, οὐδὲ πάλιν ἐρεεῖ· (Ἰλιάδ. Ι, 56). Σ. Β.

Σ. 4. Ἱπποπόλων] Περὶ ἵππους πολούντων, ἐξ οὗ πολεμικῶν. Σ. — Θρακῶν] Ὧν πέρας εἴτε καὶ ἀρχὴ ὁ Ἑλλήσποντος· — φίλιππον ἔθνος οἱ Θρᾶκες. Ε.

Σ. 5. Μυσῶν] Τῶν ἐν Μακεδονίᾳ τε καὶ Ἴστρῳ. Ε. — Ἀγχεμάχων] Τῶν συστάδην καὶ ἐκ τοῦ πλησίον μαχομένων. Σ. — Ἀγαυῶν Ἱππημολγῶν] Ἐφ᾽ ὧν, ὥς φασιν οἱ παλαιοὶ, ἄδηλον, εἴτε τὸ ἀγαυῶν ἔθνους ἐστὶν ὄνομα, τὸ δὲ ἱππημολγῶν ἐπιθέτως λέγεται, ἢ καὶ ἔμπαλιν, τὸ μὲν ἀγαυῶν ἐπίθετον, ἴσον τῷ εὐειδῶν, τὸ δὲ ἱππημολγῶν, κλῆσις ἐθνικὴ, ὃ καὶ κάλλιον. Θρυλλεῖται γὰρ ἐν ἱστορίαις ἔθνος Ἱππημολγοί· περὶ Σκυθίαν δὲ τὸ τοιοῦτον ἔθνος, δηλαδὴ τὸ τῶν ἀγαυῶν Ἱππημολγῶν, οὓς

НБ ОНУ імені І.І. Мечникова

καὶ γαλακτοφάγους καλεῖ, καὶ ἀβίους καὶ δικαίους. — Γλακτοφάγους μὲν προσειπὼν, ὅ ἐστι κατὰ ἐντέλειαν γαλακτοφάγους, ὡς ἱππημολγοὺς καὶ ἀπὸ γάλακτος τρεφομένους καὶ γαλακτοπότας πρός τινων δι' αὐτὸ λεγομένους· ἀφ' ὧν καὶ ἱππάκης, κατὰ Αἴλιον Διονύσιον, βρῶμα Σκυθικὸν διὰ γάλακτος ἱππείου σκευαζόμενον. Ἀβίους δὲ, ἢ ὅτι ὀλιγόβιοι, εὐτελεῖς γάρ εἰσι καὶ ἁπλοῖ τὴν δίαιταν· ἢ διότι ἅμα βίῳ πορεύονται, ὡς ἁμαξόβιοι. Νομάδων γὰρ ἐνταῦθα μέμνηται κατὰ τὸν Γεωγράφον ὁ ποιητής· — καὶ ἄλλως δὲ ἀβίους τοὺς ἅμα βιῷ, τουτέστι τόξῳ, τοξόται γάρ· ἢ ὅτι βίαν οὐκ οἴδασιν, ἐλεύθεροι γὰρ ἢ ὅτι ἄοικοι, διὰ τὸ Σκυθικὸν νομαδικόν· — ἢ ὅτι μακρόβιοι, κατ' ἐπίτασιν τοῦ ᾱ· ἢ πολύβιοι, ὅ ἐστι πολυδύναμοι, ἀνδρεῖοι γάρ· καὶ οὕτω μὲν ἄβιοι· δικαιότατοι δὲ, διὸ κοινὰ ἔχουσι πάντα, καὶ ὅτι τοὺς ὁδίτας τρέφοντες ἄλλος ἄλλῳ διαπέμπονται. Αὐτόματον δὲ ἡ γῆ φέρει βίον αὐτοῖς καὶ οὐδὲν ζῶον ἐσθίουσιν· εἰσὶ δέ φασι καὶ ἀνεπίμικτοι, καὶ οὐκ ἠθέλησαν συστρατεῦσαι Ἀμαζόσι κατὰ τῆς Ἀσίας. — Ἀρριανὸς δέ φησιν, ὅτι οἰκοῦσι τὴν Ἀσίαν οἱ Ἄβιοι Σκῦθαι αὐτόνομοι διὰ πενίαν καὶ δικαιότητα. Ε. (ἴδ. Στράβ.).

Σ. 10. Ἀλαοσκοπιήν] Ματαίαν τὴν κατασκοπὴν, ὅ ἐστιν, ἐπιμελῶς ἐσκόπει· ἀλαὸς γὰρ ὁ τυφλός. Σ.

Σ. 11. Θαυμάζων] Θεωρῶν, ὡς τὸ, ἱστάμενοι θαύμαζον. Σ. Β.

Σ. 12. Σάμου ὑληέσσης] Ἡ παρὰ τοῖς ὕστερον Σαμοθρᾴκη· ἣν καὶ ὡς ὀρινὴν ὑλήεσσαν λέγει καὶ ὑψηλὴν δὲ, εἴπερ ἐκ τῶν ἐκεῖσε ἄκρων ἐφαίνετο κ.τ.λ. — Ἰστέον δὲ, ὅτι ὑψηλοτέραν τινὲς εἶπον τοῦ Ἄθω τὴν ἄκραν τῆς Σάμου· — ἰστέον καὶ ὅτι Θρηϊκίη λέγεται ἡ Σάμος αὕτη πρὸς διαστολὴν ἑτέρας τῆς Ἰωνικῆς, ἤδη δὲ καὶ τῆς ἐν Ὀδυσσείᾳ Κεφαλληνιακῆς· καὶ ὅτι ἡ Θρᾳκικὴ αὕτη κατὰ τὸν Γεωγράφον Σάμος καλεῖται διὰ τὸ ὕψος, σάμοι γάρ φησι τὰ ὕψη. Θρηϊκίη δὲ ἡ τοιαύτη, ἢ διὰ τὸ ἀντιπαρακεῖσθαι τῇ κατὰ Θρᾴκην χέρσῳ, ἢ ἀπό τινων Θρᾳκῶν οἰκησάντων ἐκεῖ ποτε. Λέγει δὲ ὁ Γεωγράφος καὶ ὅτι Σάμιοι ἐκ Μυκάλης πάλαι ᾤκισαν ἐν αὐτῇ, ἐρημωθείσῃ κατὰ ἀφορίαν καρπῶν, ὥστε καὶ οὕτω κληθῆναι Σάμον. Ἄλλοι δὲ περὶ τῆς τοιαύτης μετοικίας φασὶν, ὅτι Σάμιοι ἐξ Ἰωνίας μετὰ διακοσιοστὸν ἔτος τῶν Τρωϊκῶν, καὶ μικρόν τι πρὸς, εἰς τὴν Σαμοθρᾴκην μετῴκισαν· ὡς μὴ ἂν διὰ τοὺς τοιούτους Σαμίους κληθῆναι Σαμοθρᾴκην, ἀλλὰ μάλιστα διὰ τὰς πρώτας δύο αἰ-

НБ ОНУ імені І.І. Мечникова

τίας. Ἱστορεῖ δὲ ὁ Γεωγράφος, καὶ Μελίτην πρότερον τὴν Σαμοθράκην καλεῖσθαι, καὶ πλουσίαν δὲ εἶναι. Κίλικες γάρ φησι πειραταὶ προσπεσόντες λάθρα, τὸ ἐν Σαμοθράκῃ ἐσύλησαν ἱερὸν, καὶ ἀπήνεγκαν τάλαντα πλείω χιλίων. Ε. — Σάμιοι οἱ ἐν Ἰωνίᾳ μετὰ διακοσιοστὸν καὶ ἔνατον ἔτος τῶν Τρωϊκῶν, χρησμὸν ἔλαβον παρὰ τοῦ Πυθίου, εἰς τὴν ἐν Τρωάδι Θράκην μετοικῆσαι, ἀφ' ὧν ἡ Σαμοθράκη προσηγορεύθη· ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ. Σ. (ἴδ. Ἀπολόδ. σελ. 1122. Χαύν.) — Τὸ μέντοι ἐν αὐτῇ ὄρος Σαώκη καλεῖται. Σ. — Οὐκ ἀπίθανον δὲ ἡ χωρὶς τοῦ μ. γραφὴ, Σάου, ἀντὶ τοῦ Σάμου· τὴν γὰρ Σαώκην τὸ ὄρος φησὶ παραδηλοῦσθαι. Σ. Β.

Σ. 20. Τὸ δὲ τέτρατον] Προσληπτέον ὀρεξάμενος. Σ. — ἤγουν κατὰ δὲ ὄρεγμα ποδῶν, ἤτοι κατὰ βῆμα τέταρτον ἦλθεν εἰς τὸ τῆς ὁδοῦ τέλος. Ε. — Ὀρέξατ'] Τὸ δὲ ὀρέξασθαι οὐ μόνον ἐπὶ χειρῶν, ὡς πολλαχοῦ ἐφάνη, ἀλλ' ἰδοὺ καὶ ἐπὶ ποδῶν συντόνου τάσεως καὶ διαστάσεως ἢ ἐκτάσεως· διὸ ἐκ τοῦ τοιούτου ὀρέγω καὶ ἡ ὀργυιὰ κατὰ συγκοπήν. Ε.

Σ. 21. Αἰγάς] Ἡ τὰς ἐν Εὐβοίᾳ, λέγει ἔνθα μυθεύεται· τὸ κατὰ τὰς ἐφημέρους ἀμπέλους, αἵ φασιν ἕωθεν ἀνθοῦσαι πρὸς μεσημβρίαν πεπαίνουσι βότρυας, ἑσπέρας δὲ ἄκρατον χορηγοῦσι δαψιλῆ τῷ χορῷ τῶν τελουμένων τῷ Διονύσῳ, ἢ τῶν μαινάδων· ὁσάκις ἀναλίσκονταί φασι, τοσαυτάκις ἐνδαψιλευόμεναι· ἢ κατὰ Νικόστρατον Αἰγὰς νοητέον, νῆσον περὶ τὸν Αἰγαῖον, περὶ ἧς παραδοξολογία φέρεται, ὡς οἱ προσορμιζόμενοι ἐκεῖ νυκτὸς ἀφανεῖς γίνονται, διὸ μηδὲ προσπελάζειν τινά· — ἕτεροι δέ φασιν, Αἰγὰς ἐνταῦθα λέγειν τὸν ποιητὴν, τὰς ἐν Πελοποννήσῳ, ἤτοι Ἀχαϊκάς· ἔνθα καὶ Ποσειδῶνος ἑορτὴν ἄγεσθαι, καὶ τὰ Διονύσια ὀργιάζεσθαι. — Ὁ δὲ Γεωγράφος φησὶν, ὅτι περὶ τὴν τῶν Ἀχαιῶν εἰσιν ἄλλαι Αἰγαί· αἵτινες καὶ ἑνικῶς λέγονται ἡ Αἰγὰ, ἔνθα καὶ πόλις τὸ Αἴγιον· ἧς οἱ πολῖται Αἰγιεῖς· ὅπου μῦθος τὴν Αἶγα τῷ Διὶ μαζὸν ἐπισχεῖν, ἣν ὁ Ἄρατος Ὠλενίαν φησὶν, ἀπὸ Ὠλένης ἢ Ὠλένου ἐγχωρίας πόλεως. Ε.

Σ. 22. Χρύσεα] Ὅτι καὶ ἀλλαχόθι μὲν ὁ ποιητὴς τὰ δαιμόνια πράγματα κοσμεῖ χρυσῷ τῷ δοκοῦντι ἀφθίτῳ διὰ τὸ ἀνίωτον, τιμῶν τὰ ἐκείνων ὕλῃ τῇ παρ' ἡμῖν ἀξιουμένῃ. Καὶ ἐνταῦθα δὲ τὰ τοῦ Ποσειδῶνος ὁμοίως ἀποσεμνύνει· μεταλλείαν ὅλην μύθου ἀνασκαλεύων ἐπ' αὐτῷ. Ε.

Σ. 25. Γέντο] Τουτέστιν εἵλετο. — Ἰστέον, ὅτι Δωρική ἐστιν ἡ λέξις. Ε.

Σ. 27. Ἄταλλε δὲ κήτε] Ἰστέον δὲ, ὅτι ὡς ὑπὸ δεσπότη τῷ Ποσειδῶνι τά τε κήτεα ἀτάλλει, τουτέστι σκιρτᾷ, καὶ ἡ θάλασσα διίστατο ὁδοποιοῦσα οἷον αὐτῷ. Τῷ μέντοι Ἑρμῇ ἐν Ὀδυσσείᾳ διὰ θαλάσσης ἰόντι οὐδὲν τοιοῦτον ποιοῦσι· οὐ γὰρ ἐπιστατεῖ θαλάσσης ὁ Ἑρμῆς. Ε.

Σ. 28. Ἐκ κευθμῶν] Ἐκ τῶν καταδύσεων καὶ φωλεῶν. Σ.

Σ. 31. Εὔσκαρθμοι] Εὐκίνητοι, ταχεῖς. Σ.

Σ. 33. Τενέδοιο] Ἰδ. Α, 38. — Ἴμβρου] Ἰδ. Φ, 43.

Σ. 39. Φλογὶ ἶσοι] Πρὸς τὸ εὐκίνητον καὶ ἁρπακτικὸν καὶ ἠχητικὸν τούτοις εἰκάζει, ὅθεν οὐδ' ἐμψύχοις οἷον λέουσιν, ἢ λύκοις, διὰ τὴν ἄλογον ὁρμήν. Σ. Β. — Δηλοῖ δὲ τὸ ἄβρομοι, αὐΐαχοι, τὸ ἅμα βρόμῳ, ἅμα ἰαχῇ· ὧν βρόμος μὲν, ἐπὶ φλογὸς, ἰαχὴ δὲ ἐπὶ θυέλλης· αἰολικὴ δὲ ἡ τοῦ υ ἐπένθεσις ἐν τῷ αὐΐαχοι· ὅτι βρόμος κυρίως ἐπὶ ἀνέμου καὶ ἐπὶ πυρὸς, ἀφ' ὧν καὶ τὸ βρέμειν. Ε.

Σ. 45. Εἰσάμενος Κάλχαντι] Ἐπεὶ ὑπὲρ Ἀχιλλέως κατ' Ἀγαμέμνονος μέλλει λέγειν, πρὸς τὸ πιστευθῆναι Κάλχαντι εἴκασται. Σ. Β.

Σ. 49. Ἄλλῃ — οὐ δείδια] Κατὰ ἄλλην παράταξιν· πένταχα γὰρ ἦσαν κοσμηθέντες. Σ. Β.

Σ. 50. Ὁμίλῳ] Τουτέστιν ὁμιλαδὸν, παμπληθεί.

Σ. 51. Ἔξουσι] Ἤτοι κωλύσουσι. Ε.

Σ. 53. Λυσσώδης] Ὁ μεμηνώς. Σ.

Σ. 54. Εὔχεται] Ἀλαζονεύεται. Σ. Β. — Ψεύδεται οὖν ἡγεμονικῶς καὶ οἰκονομικῶς ἐρεθίζων τοὺς Ἀχαιοὺς, ἵνα καὶ αὐτὸν ἀντιστάντες, εἶεν οὕτω φῶτες ἰσόθεοι. Ὥρμηται δὲ ἡ διαβολὴ ἐκ τοῦ, τιοίμην ὡς τίεται Ἀθηναίη καὶ Ἀπόλλων· (Θ, 540.) Ε.

Σ. 56. Ἑστάμεναι κρατερῶς] Δῆλον, ὅτι ἀρετὴν ἀγαθοῦ στρατηγοῦ ὑπογράφει τὸ αὐτόν τέ τινα ἑστάμεναι καρτερῶς καὶ κελεύειν ἄλλοις. Ε.

Σ. 57. Καὶ ἐσσύμενον] Ὑπερβολικῶς δὲ καὶ σεμνῶς εἴρηται, ὡς οἱ Αἴαντες καὶ ἐσσύμενόν περ διώξουσι τὸν Ἕκτορα, εἰ καὶ ὁ Ζεὺς αὐτὸς ἐγείρει. Ε. — Ἐρωήσαιτε] Ἀποστρέψοιτε καὶ ἀπελάσοιτε τῶν νηῶν. Σ.

Σ. 59. Σκηπανίῳ] Κορηναῖοι οὕτω καλοῦσι τὸ σκῆπτρον· σκῆπτρον δὲ δόρυ Ποσειδῶνος, ἡ τρίαινα. Σ. Β. — Ἰστέον δὲ,

ὅτι πᾶσα θεία ῥάβδος παρ' Ὁμήρῳ δρᾷ μέγα τι καινόν· οἷον ἡ τῆς Ἀθηνᾶς εἰς Ὀδυσσέα· ποτὲ μὲν, νέον ποιοῦσα· ποτὲ δὲ, γέροντα· ἡ τοῦ χρυσοῤῥάπιδος Ἑρμοῦ, ἐπὶ τοῖς ἐγρηγορόσιν ἢ καθεύδουσιν· ἡ τῆς Κίρκης κατὰ τῶν πινόντων κυκεῶνα· οὕτω κἀνταῦθα τὸ τοῦ Ποσειδῶνος σκηπάνιον ἤτοι σκῆπτρον ἐρεθίζει τεραστίως τοὺς Αἴαντας. Ε.

Σ. 60. Κεκοπώς] Ἐπὶ ἁπλῶς κρούσεως, ἐνταῦθα τὸ κεκοπώς, καθὰ καὶ τὸ, τίς ὁ κόπτων τὴν θύραν. Ε. — πλήξας. Σ.

Σ. 61. Πόδας καὶ χεῖρας ὕπερθεν] Προσυπακουστέον δὲ εἰς τοὺς πόδας, τὸ ἔνερθεν· (Ψ, 75.) — Γυῖα] Τὰ δὲ γυῖα τὰς χεῖρας ἰδίᾳ δηλοῖ πολλαχοῦ. Ε.

Σ. 62. Ἴρηξ] Τὸ δὲ ἴρηξ, ἰωνικῶς ψιλοῦται, εἰ καὶ τὸ ἱέραξ δασύνεται. Ε.

Σ. 64. Ὄρνεον ἄλλο] Τουτέστιν ἕτερον τῷ εἴδει, ἀλλόφυλον. Ε. τῶν γὰρ ὁμοφύλων ἱέραξ οὐχ ἅπτεται. Σ. Β.

Σ. 71. Ἴχνια γὰρ — ἔγνων] Ὡς οἷα τοῦ Ποσειδῶνος ἐν τῷ ταχὺ ἀπιέναι καὶ κοῦφα θέειν, ἢ μηδὲ ἴχνη ἐντυποῦντος ὡς χαράξεις ποδῶν τὴν γῆν ἀπομάξασθαι· ἢ καὶ πλατὺ διαβαίνοντος, ὡς πολὺ διεστάναι ἀλλήλων τὰ ἴχνη καὶ μὴ κατὰ βῆμα ἀνθρώπου· ἢ καὶ ὡς λίαν ταχὺ καὶ ἀχρόνως ἴχνος ἐπὶ ἴχνει ποιοῦντος· τὸ δὲ εἶναι τὸ θεῖον ἀρίγνωτον, οὐχ ἁπλῶς ἐῤῥέθη, ἀλλ' ὅτε δηλαδὴ ἐνέργημά τι οἰκεῖον ἐκφήνῃ· ὅπερ οὐ κατὰ τὰ ἀνθρώπινά ἐστι. Ε.

Σ. 73. Ἐμοὶ αὐτῷ] Ἰστέον δὲ, ὅτι τε τὸ, ἐμοὶ αὐτῷ συνήθως Ὁμήρῳ πέφρασται ἀντὶ τοῦ ἐμαυτῷ, ἐπεὶ μηδὲ οἶδε σύνθετον ἀντωνυμίαν, καὶ ὅτι τὸ οἷος Ἕκτορι μάχεσθαι, ὅπερ διαλελυμένως μονομαχίαν περιλαλεῖ, ἐπὶ μὲν τῷ Τελαμωνίῳ λεχθῆναι μικροπρεπῶς ἔχει. Τί γὰρ μέγα, εἴπερ ὁ τοιοῦτος Αἴας μόνος δίχα τοῦ Λοκροῦ μαχεῖται μόνῳ τῷ Ἕκτορι. Ἔστι δὲ ἀληθῶς μεγαλοπρεπὲς, εἰ μόνος ἐκ πάντων Ἀχαιῶν ὁ Τελαμώνιος ἀντικατασταίη τῷ νῦν τηλικούτῳ Ἕκτορι. Ε.

Σ. 82. Χάρμῃ γηθόσυνοι] Τινὲς οὐ τὴν μάχην αὐτὴν χάρμην φασὶν, ἀλλὰ τὴν εἰς μάχην προθυμίαν· καὶ ἄλλως δὲ, ἡ μάχη μετὰ θυμοῦ. Ε.

Σ. 90. Ῥεῖα μετεισάμενος] Πρὸς αὐτοὺς ἀφικόμενος, μετελθὼν, ἢ μεταβληθείς. Ε.

Σ. 95. Κοῦροι, νέοι] Ἔμφασιν ἔχει πλείονα τὸ κοῦροι χωριζόμενοι τοῦ νέοι. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 96. Νῆας ἁμάς] Ἡμετέρας. Σ. — Ἔγωγε πέποιθα κατ' ἐξοχὴν ἐῤῥέθη, ὡς ἂν λέγῃ, ὅτι κἂν μὴ οἱ ἄλλοι, ἀλλ' ἐγὼ πέποιθα. Ε.

Σ. 98. Νῦν δὴ εἴδεται ἦμαρ κ.τ.λ.] Νῦν ἀνεφάνη ἡ ἡμέρα, ἐν ᾗ, ὑπὸ τῶν Τρώων ἀναιρεθήσεσθε. Σ. — Ἐντέχνως δὲ τὸ φιλότιμον αὔξει τῶν νέων, τὴν αἰτίαν τοῦ σωθῆναι καὶ ἀπολέσθαι αὐτοῖς ἀναφέρων. Σ. Β.

Σ. 101. Τρῶας — ἰέναι νέας] Ἐν ἤθει μετὰ θαύματος· μεγάλη δὲ ἡ ἔμφασις· ἔστι γὰρ μυρία προσυπακοῦσαι· οἷον, τοὺς βαρβάρους ἐπὶ τὰς Ἑλληνικάς, τοὺς δειλοὺς ἐπὶ τὰς τῶν γενναίων, τοὺς ὀλίγους ἐπὶ τὰς τῶν πλεόνων. Σ. Β.

Σ. 102. Φυζακινῆς κ.τ.λ.] Ἐντέχνως τῷ ψόγῳ τῶν Τρώων ἐνέβαλε τὴν κατηγορίαν Ἑλλήνων· ποῖοι γὰρ ἂν ἦσαν οἱ ὑπὸ τοιούτων ἡττωμένοι. Σ. Β.

Σ. 103. Θώων] Ἰστέον δέ, ὡς περὶ Θώων ἱστοροῦντες οἱ παλαιοί, φασὶ καὶ ὅτι ζῶον ὁ θώς, ὑαίνῃ παραπλήσιον, οὗ ἡ βάδισις μετὰ ἅλματος, ὃ τεχθέν, ἅμα βαδίζει· — οἱ θῶες καὶ πρὸς λέοντα θρασύνονται. Ε. — Πορδαλίωντε] Ἴδ. Φ, 571. — Ἤια βρώματα] Κυρίως δὲ τὰ ἐν τῇ ὁδῷ ἐπιτήδεια ἐφόδια· — καὶ τὰ ἄχυρα δὲ ἤια λέγεται. Σ.

Σ. 104. Ἠλάσκουσαι] Ἐκκλίνουσαι, πλανώμεναι. Σ.

Σ. 106. Ἐθέλεσκον] Οὐκ ἠδύναντο. Σ.

Σ. 115. Ἀκεώμεθα] Ἀλλ' ἰασώμεθα διὰ τάχους τὸ γεγονὸς ἁμάρτημα. — Ἀκεσταί] Εὐθεράπευτοι, εὐίατοι· ὁ δὲ λόγος, αἱ τῶν ἀγαθῶν φρένες ῥᾳδίως πρὸς τὸ κρεῖττον μετατίθενται, εὐθεράπευτοι οὖσαι. Σ.

Σ. 118. Μαχεσσαίμην] Ἀντὶ τοῦ ὀνειδιστικῶς λαλήσω, ἢ μέμψομαι· οὐ γὰρ κυριολεκτεῖται ἡ λέξις ἐνταῦθα· καιριώτερον δὲ εἰπεῖν, ἀντὶ τοῦ νεμεσήσω, διὸ ἐπήγαγεν· ἡμῖν δὲ νεμεσσῶμαι. Ε.

Σ. 119. Λυγρὸς ἐών] Χαλεπός, ἄδοξος. Σ.

Σ. 120. Πέπονες] Πέπονες δὲ νῦν, οὐχ οὕτως οἱ φίλοι, ὡς οἱ ἔκλυτοι· τοιοῦτοι γὰρ οἱ μεθιέντες. Ε. — Τὸ δὲ κακὸν μεῖζον προαναφωνητικῶς ἐῤῥέθη διὰ τὴν πλείω φυγὴν καὶ τὸ κατὰ τῶν νηῶν πῦρ· αἰδοῦς δὲ καὶ νεμέσεως, ἡ μὲν αἰδὼς ἐξ ἡμῶν αὐτῶν· ἡ δὲ νέμεσις ἐξ ἄλλων, πρὸς οὓς τὴν αἰδῶ ἔχομεν. Ε.

Σ. 124. Ὀχῆα] Καὶ ὅρα, ὅτι πρὸ τούτων ὀχῆας εἰπών, νῦν

ἑνικῶς ὀχῆα εἶπε, καὶ αὐτὸν μακρὸν, τρόπῳ συλλογισμοῦ· δηλοῖ γὰρ οὕτω πυλῶν μέγεθος. Ε.

Σ. 127. Ὀνόσαιτο] Οἱ τῇ μάχῃ ἐπιστατοῦντες, ἀλλὰ δηλονότι θαυμάσειαν· ὁ μὲν Ἄρης τῆς ἀνδρίας καὶ τοῦ θάρσους· ἡ δὲ Ἀθηνᾶ τῆς συνέσεως. Ε.

Σ. 128. Λαοσσόος] Ἡ τοὺς λαοὺς σεύουσα, τουτέστιν εἰς φυγὴν ἄγουσα. Σ.

Σ. 130. Φράξαντες δόρυ δουρὶ] Ἐῴκει φασὶν ἡ τάξις αὕτη πύργῳ· διὸ καὶ Ἕκτωρ μετ᾽ ὀλίγα φησὶ, μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες, ὅ ἐστιν ἀσφαλῶς, διὰ τῆς πυκνώσεως. Εἰκάζεται δὲ πύργῳ ἡ τοιαύτη σύνταξις, ἴσως μὲν διὰ τὴν ἐρείδουσαν ἐπάλλαξιν τῆς τε τῶν ὅπλων συνθέσεως, καὶ τῆς τῶν στρατιωτῶν στάσεως, ἐοικυῖαν λίθων συνθέσει, δι᾽ ὧν πύργος γίνεται· ἴσως δὲ καὶ διὰ τὸ ἐν ἑτερομήκει τετραγώνῳ, τουτέστι, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, ἐν πλινθίου σχήματι ἐπιστοιβασθῆναι τὴν σύνταξιν· φασὶ γὰρ οἱ παλαιοὶ οὕτω πως διατετάχθαι αὐτούς· οἱ μὲν πρωτοστάται κατὰ τὸ μέτωπον προβεβλημένα εἶχον τὰ δόρατα· κατόπιν δὲ, οἱ δευτεροστάται, κατὰ δεξιὰ πλευρὰ τῶν πρωτοστατῶν, παραβεβλημένοι δόρατα μείζω δυσὶ πήχεσι· καὶ οἱ τρίτοι ὀπίσω ἔτι παρ᾽ ἀμφοτέρους, μείζοσι δόρασι τὴν αὐτὴν τάξιν πληροῦντες· ὥστε τρεῖς ἀκμὰς ἔχειν τὰ τοῦ μετώπου προεξέχοντα δόρατα· τέταρτοι μέν τοι καὶ πέμπτοι τὰς αἰχμὰς εἶχον ὀρθὰς, ὡς ἂν εἴπου κενωθείη ἡ τάξις, αὐτοὶ τὸ λεῖπον ἀναπληροῖεν· καὶ ἦν φασιν οὕτως ἡ τάξις ἀμφίστομος. Ἰστέον δὲ, ὅτι ἐν τῇ τοιαύτῃ τάξει συνέφραττον μὲν οἱ στρατιῶται φαλαγγηδὸν ἐν τῷ ἵστασθαι, εἰς μάχην μέντοι συμβάλλοντες διέλυον τὴν φάλαγγα· πῶς γὰρ ἦν ἄλλως ὁρμᾶν αὐτοὺς καὶ ὑποχωρεῖν καὶ σκυλεύειν, εἴπερ ἐπὶ σχήματος μένοντες, ἀεὶ ἐν τῷ αὐτῷ ἦσαν ἀμετακινήτως πυκνώματι. Ἐφυλάττετο οὖν ἡ πυργοειδὴς σύμφραξις, ὅτε μόνον ἀνάγκη, στάντας τὴν μάχην ἀναδέχεσθαι. Ἑρμόλυτος δὲ ὁ τακτικός φησιν, ὅτι Λυκοῦργος μὲν ἐνομοθέτησε Λακεδαιμονίοις ὕστερον τὸν τοιοῦτον συνασπισμὸν, Λύσανδρος δὲ ὁ Λάκων ἐν ἔργοις αὐτὸν ἐδίδαξε, καθὰ καὶ Ἐπαμινώνδας Θηβαίους, καὶ Χαρίδημος Ἀρκαδάς τε καὶ Μακεδόνας. Ὅρα δὲ ἐν τῷ ῥηθέντι χωρίῳ καὶ τὰ συχνὰ κόμματα, καὶ τὸ ἐν αὐτοῖς ἀσύνδετον· — συντροχάζοντες τοῦ λόγου τῇ τοῦ ἔργου σπουδῇ· — τὸ δὲ φράξαντες τοὺς

НБ ОНУ імені І.І. Мечникова

μεθ' Ὅμηρον φρακτικοὺς καὶ καταφράκτους ὁπλίτας παρήγαγε· δηλοῖ δὲ ἡ λέξις τὸ πυκνῶσαι. Ε. — Προθελύμνῳ] Ἴδ. Ι, 537.

Σ. 132. Ψαῦον] Ἠρέμα ἥπτοντο. Σ. — Ἱππόκομοι] Αἱ ἱππείους ἔχουσαι κόμας· προπαροξυτονητέον τὸ ἱππόκομοι· ἡ γὰρ κόμη ἔγκειται, οὐ τὸ κομῶ· — τότε μέν τοι παροξυτονητέον τὸ ἱπποκόμος, ὅτε τὸ κομεῖν ἔγκειται. Σ. Β. — τὸ δὲ ἱπποκόμος δηλοῖ τὸν ἐπιμελητὴν τῶν ἵππων. Ε. — Φάλοισι] Φάλοι δὲ κατά τινας τῶν παλαιῶν συρίγγιά τινα ἐπὶ τῶν μετώπων, εἰς ἃ καθίεντο οἱ λόφοι. Ε. (Ἴδ. Γ, 362.).

Σ. 134. Ἐπτύσσοντο] Εἰς τὸ αὐτὸ συνήγετο, καὶ ἐκάμπετο κραδαινόμενα. Σ.

Σ. 135. Ἰθὺς φρόνεον] Ταὐτόν ἐστιν ἰθὺς φρονεῖν καὶ προθυμεῖσθαι εἰς ἀντιπρόσωπον μάχην. Ε.

Σ. 136. Προὔτυψαν] Ἀντὶ τοῦ προέκρουσαν, προενέβαλον εἰς πόλεμον. Ε.

Σ. 137. Ὀλοοίτροχος] Λίθος περιφερής, στρογγύλος, ὁ ἐν τῷ τρέχειν ὀλοός, τουτέστιν ὀλέθριος, ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπίπτον βλάπτει. Σ.

Σ. 138. Στεφάνης] Περικεφαλαίας, ἢ ὄρους ἐξοχῆς· νῦν δὲ λείας πέτρας. Σ.

Σ. 139. Ἀναιδέος] Τραχείας. Σ. (Ἴδ. Δ, 521.). — Ἔχματα] Δηλοῖ συνοχήν, ἣν ῥήξας ὁ πολὺς ὄμβρος, κατέῤῥηξε τὸν ὀλοοίτροχον. Ε.

Σ. 141. Ἀσφαλέως] Παραμόνως. Σ. ἀνεμποδίστως. Σ. Β.

Σ. 146. Ἐγχριμφθείς] Ταὐτὸν μέν ἐστι τῷ, ἐν χρῷ τοῖς πολεμίοις γενόμενος. Ε. — ἐνερείσας. Σ.

Σ. 147. Ἀμφιγύοισιν] Ἀμφίγυα δὲ λέγει ἔγχη, ἢ τὰ ἀμφοτέρωθεν ἐπάγοντα γύον, ἀπό τε τῆς ἔμπροσθεν αἰχμῆς, καὶ τοῦ ἐν πέρατι σιδηρέου στύρακος, ὡς οἱονεὶ ἀμφίγοα, καὶ αἰολικῶς ἀμφίγυα, ἢ τὰ ἀμφοτέρωθεν γυῶσαι, ὅ ἐστι βλάψαι δυνάμενα, ὡς ἀμφίστομα· ἢ τὰ ἀμφοτέρωθεν ἐνεργὰ καὶ πρακτικά, παρὰ τὰ γυῖα, ὃ καὶ χεῖρας δηλοῖ. Ε.

Σ. 158. Ὑπασπίδια προποδίζων] Τουτέστιν εὐρύθμως ἐντὸς τῆς ἀσπίδος βαίνων καὶ οὐ προβάλλων τὰ ἴχνη, ἀλλ' ὑπ' αὐτὴν τὸ σῶμα κρύπτων· — ἀντὶ τοῦ ἐνόπλια οἷον ὀρχούμενος. Ε.

Σ. 162. Ἐν καυλῷ] Λέγει δὲ καυλόν, καθιέμενον ξύλον εἰς τὴν ἐπιδορατίδα, ἤγουν εἰς τὸ κοῖλον αὐτῆς. Ε.

Σ. 168. Οἰσόμενος] Οἴσων μὲν γὰρ ἑτέρῳ· οἰσόμενος δὲ ἑαυτῷ. Σ.

Σ. 172. Πήδαιον] Τόπος οὐκ ἐπίσημος περίπου τὰ κατὰ Τροίαν. Ε. — Πήδασος· πόλις Καρίας. Σ.

Σ. 175. Μετέπρεπε] Ὅ ἐστι διαπρεπὴς ἦν· ὃ παρεφράσθη ἐκ τοῦ, ἔπρεπε καὶ διὰ πάντων. Ε.

Σ. 176. Ναῖε δέ] Νῦν δηλαδὴ, ἐν τῷ καιρῷ τοῦ πολέμου, πὰρ Πριάμῳ. Ε.

Σ. 180. Τέρενα] Ἔοικε δὲ ὥσπερ συναλγῶν τῷ δένδρῳ τοιαῦτα εἰρηκέναι. Σ.

Σ. 186. Νισσόμενον] Παραγιγνόμενον. Σ.

Σ. 198. Καρχαροδόντων] Ἰδ. Κ, 360.

Σ. 199. Ῥωπήϊα] Οἱ τόποι, ἐν οἷς ῥῶπες φύονται· ῥῶπες δὲ πολύφυλλα καὶ ἱμαντώδη φυτὰ δρυῶν. Σ.

Σ. 200. Γαμφηλῇσι] Γόμφοις, σιαγόσι· παρὰ τὸ κεκάμφθαι. Σ.

Σ. 203. Κόψεν Ὀϊλιάδης] Ποιεῖ δὲ τοῦτο οὐχ ὁ μέγας, ἀλλ' ὁ λοιπὸς Αἴας· ἐπειδὴ νεωτέρῳ ἔπρεπε τὸ ἔργον, καὶ θερμοτέρῳ τὸν τρόπον· καὶ οὐκ ἦν ἡ πρᾶξις κατὰ τὴν τοῦ Τελαμωνίου μεγαλοπρέπειαν. Ὠμὸν μὲν οὖν φασι τὸ ἔργον καὶ οὐκ Ἑλληνικόν· οὕτω νεκρὸν σῶμα λυμαίνεσθαι, καὶ κωφὴν γῆν αἰκίζεσθαι· πλὴν συγγνωστέον τῷ ὑπὲρ φίλου ἀγανακτοῦντι· ὅς, ὡς ἐῤῥέθη, κεχολωμένος ἦν Ἀμφιμάχοιο. Καὶ Ἀγαμέμνων δὲ Ἀντιμάχου παῖδα ἐν τοῖς ἔμπροσθεν τοῦ αὐχένος ἀπέτεμε, καὶ τῶν χειρῶν· θεμέλιοι δὲ Ὁμηρικῆς ἀπολογίας ταῦτα πρὸς τὴν ἐν τοῖς ἐφεξῆς τοῦ Ἀχιλλέως ὠμότητα, ὃς δι' ὀργὴν παρανομεῖ τὰ δεινότατα. Ε.

Σ. 206. Περὶ κῆρι] Ἐκ ψυχῆς. Σ.

Σ. 212. Κατ' ἰγνύην] Ἀγκύλην ἢ τὸ ὄπισθεν τοῦ γόνατος. Σ.

Σ. 217. Πλευρῶνι] Ἀντὶ τοῦ Πλευρῶνος καὶ Καλυδῶνος· εἰσὶ δὲ πόλεις Αἰτωλίας. Αἰτωλὸς παῖς μὲν ἦν Ἐνδυμίωνος, ὃς ἀκούσιον φόνον δράσας, ἔφυγεν εἰς τὴν ἀπ' αὐτοῦ προσαγορευθεῖσαν Αἰτωλίαν κἀκεῖ τεκνοῦται Πλευρῶνα· ἀφ' οὗ ἡ ἐν Αἰτωλίᾳ πόλις Πλευρὼν ἐκλήθη. Τούτου δὲ γίγνονται δύο παῖδες, Κούρης καὶ Καλυδών· ἀφ' ὧν ἄλλαι δύο πόλεις ἐν Αἰτωλίᾳ προσηγορεύθησαν. Σ.

Σ. 223. Οὔτε τινὰ δέος . . . ὄκνῳ] Καὶ σημείωσαι, ὅτι σοφώτατα ὁ ποιητὴς ἐνταῦθα ἐξέθετο πᾶν αἴτιον οὗ ἕνεκα

НБ ОНУ ім. І.І. Мечникова

φεύγομεν τὰ δεινά· εἰσὶ δὲ τρία αἴτια, ἀπειρία καὶ δέος καὶ ὄκνος. Ε.

Σ. 224. Δέος ἀκήριον] Τὸ ἀψυχοποιόν. Σ.

Σ. 225. Ἀνδύεται πόλεμον] Τὸ δὲ ἀναδύεσθαι, κατὰ τοὺς παλαιοὺς, ἀπὸ ζώων εἴληπται, ἃ προθύμως μὲν ἔχοντα, δύεται ὑπὸ ζυγὸν, μὴ προθυμούμενα δὲ, ἀναδύεται· καὶ ἄλλως δὲ ἔστιν εἰπεῖν, ὡς δύεσθαι μὲν καὶ καταδῦναι ὅμιλον τὸ θαῤῥεῖν εἰς μάχην δηλοῖ, καὶ οὕτως εἰς βάθος αὐτῆς χωρεῖν· ἀναδύεσθαι δὲ τὸ ἄλλως ἀναχωρεῖν, ὁμοίως τοῖς καθ' ὑδάτων δυομένοις ζώοις. Ε.

Σ. 227. Νωνύμνους] Ἴδ. Μ, 70.

Σ. 228. Μενεδήϊος] Δῆλον δὲ, ὡς ταὐτὸν μενεδήϊόν τινα εἰπεῖν καὶ μενεχάρμην καὶ μενεπτόλεμον, οἷς ἐναντίον ὁ φυζανικὸς καὶ μάλιστα ὁ φύξηλις. Ε. — μένον τοὺς δηΐους. Σ. Β.

Σ. 233. Μέλπηθρα] Μέλπηθρα ἀντὶ τοῦ παίγνια· μετὰ κόρον γὰρ οἱ κύνες ἐμπηδῶσί τε τῷ λοιπῷ σώματι τοῦ νεκροῦ, καὶ τὰς σάρκας διασπῶντες οἷον σφαιρίζουσι. Ε.

Σ. 236. Σπεύδειν] Ὅτι τὸ σπεύδειν οὐκ ἔστιν ἐπὶ τοῦ ταχύνειν, ἀλλ' ἐπὶ τοῦ ἐνεργεῖν μετὰ κακοπαθείας καὶ ταλαιπωρίας. Σ. Β.

Σ. 237. Συμφερτὴ δ' ἀρετή] Ἀντὶ τοῦ συμφορητή· τὸ δὲ ὅλον καὶ ἡ τῶν δειλῶν καὶ ἀνάνδρων καὶ μάλα λυγρῶν δύναμις εἰς ταὐτὸ συνελθοῦσα, ἀρετὴν γεννᾷ, οὐδὲ μία πρόφασις λείπει τοῖς ἀνδρείοις· εἴγε καὶ δειλοὶ, ἀλλήλοις συνιόντες, ἐνάρετα δρῶσι. Καὶ μάλα λυγρῶν ἀνδρῶν συμφορητὴ γένεται ἀρετὴ, πόσῳ μᾶλλον καὶ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μάχεσθαι. Σ.

Σ. 238. Νῶϊ δὲ καὶ κ' ἀγαθοῖσιν κ. τ. λ.] Τὸ φορτικὸν ἐξέφυγεν, εἰπὼν, ὅτι καὶ γενναίοις ἰσόμαχοί ἐσμεν ἡμεῖς· ἐπιστάμεθα γὰρ ἀντὶ τοῦ δυνάμεθα. Σ. Β.

Σ. 239. Ἀμπόνον] Ἐπὶ τὸν πόλεμον. Σ.

Σ. 241. Γέντο] Ἴδ. Θ, 43.

Σ. 257. Κατεάξαμεν, ὃ πρὶν ἔχεσκον] Ὅτι σχῆμα καινὸν, τὸ εἰπεῖν, ἔγχος κατεάξαμεν, ὃ πρὶν ἔσχεσκον, ἀσπίδα βαλών· ὤφειλε γὰρ Μηριόνης ἢ κατέαξα εἰπεῖν, οἷον ὅτι τὸ ἔγχος κατέαξα βαλὼν τὴν τοῦ ἐχθροῦ ἀσπίδα, ἢ ἄλλως, ὅτι τὸ ἔγχος κατεάξαμεν βαλόντες τὴν ἀσπίδα. Ε. πληθυντικῷ ἑνικὸν ἐπήγαγεν Αἰολικῶς. Σ. Β.

Σ. 260. Δήεις] Εὑρήσεις. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 261. Ἐνώπια] Ἴδ. Θ, 435.

Σ. 262. Ἀποαίνυμαι] Ἀφαιροῦμαι. Σ.

Σ. 263. Πολεμίζειν] Οὐκ ἀλαζονεύεται, ἀλλ' ἐρεθίζει αὐτὸν, λεληθότως ἐπιδεικνὺς, ὥς ἐστι καὶ πολεμίου δόρατι ὡπλισμένον μὴ ἀργεῖν. Σ. Β.

Σ. 265. Γανόωντες] Ἤγουν γάνος ἐμποιοῦντες τῷ βλέποντι. Ε. στίλβοντες. Σ.

Σ. 268. Οὐ σχεδόν ἐστιν] Ἀλλ' οὐκ ἔστι μοι ἐγγὺς ὥστε λαβεῖν. Σ.

Σ. 269. Λελασμένον] Ἀντὶ τοῦ ἐπιλήσμονα, ἢ ἐπιλαθέσθαι. Σ. Β.

Σ. 271. Νεῖκος ὀρώρηται] Τουτέστιν, ὅτε πόλεμος ἐγείρεται. — Τὸ δὲ ὀρώρηται τοῦ ὄρωμα παρακειμένου ἤρτηται, ἀναχθέντος εἰς ἐνεστῶτα τὸν ὀρώρω. Ε.

Σ. 276. Λεγοίμεθα] Καταριθμοίμεθα. Σ. — τὸ ἑξῆς ἐστιν, εἰ γὰρ νῦν λεγοίμεθα εἰς λόχον, οὐδέ κεν ἔνθα τεόνγε μένος· τὰ δὲ λοιπὰ διὰ μέσου, πρὸς κατασκευὴν τοῦ δυσυπομένητον εἶναι, καὶ τοῖς ἀνδρειοτάτοις τὴν ἐνέδραν. Σ. Β.

Σ. 277. Ἐς Λόχον] Ὅρα δὲ καὶ οἷόν τι ὁ λόχος, ὃς ἐξ ὀλίγων συνειλεγμένος ταράσσει μὲν διὰ τοῦτο τοὺς δειλοὺς, ἐκφαίνει δὲ τοὺς ἀλκίμους, οἳ τῷ λόχῳ ἐγγυμνασάμενοι καὶ μονομαχεῖν ἕλοιντο ἄν. Ἰστέον δὲ, ὅτι τε λόχος διττῶς λέγεται, αὐτό τε γὰρ τὸ ἔργον, ἤγουν τὸ λοχᾷν, καὶ τὸ τάγμα δὲ τῶν ἀνδρῶν τὸ τόσον, ἐξ οὗ ὁ λόχος ἀπαρτίζεται. Καὶ ὅτι τὸ λεγοίμεθα πάντες ἄριστοι, ὅ ἐστιν ἐπιλεγοίμεθα, τὸ ῥῆμά ἐστιν, ἐξ οὗ παράγεται ὁ λόχος. Ἐν λόχῳ γὰρ ἔκκριτοι ἐπιλέγονται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάντες· ἐκεῖ γὰρ οὐ τοσοῦτον ποσότητος χρεία, ὅσον ποιότητος τῆς κατ' ἀνδρίαν. Τὸ δὲ μάλιστα διαείδεται δηλοῖ, ὡς καὶ ἐν τῷ ἑτέρῳ μὲν πολέμῳ διαφανεῖς οἱ ἄριστοι, μάλιστα δὲ ἐν τῷ λόχῳ. Οὐ γὰρ ἐπισκοτοῦνται τῷ ὄχλῳ, ἀλλ', ὡς εἰπεῖν, διαείδονται, ὅ ἐστιν ὡς ἐν ἡμέρᾳ διαφαίνονται, οὐ μετὰ πλήθους ὄντες. Περιττὴ δὲ ἡ διὰ πρόθεσις ἐν τῷ διαείδεται, καθὰ καὶ ἐν τῷ διειπεῖν, καὶ ἐν ἄλλοις. Ε.

Σ. 279. Ἄλλυδις ἄλλη] Ἀντὶ τοῦ, ἄλλοτε ἄλλως. Ε. — ἐπ' ἄλλου (ἴσ. ὑπ' ἄλλου) εἰς ἄλλο κατάστημα. Σ.

Σ. 280. Ἀτρέμας ἧσθαι κ. τ. λ.] Τὸ δὲ ἀτρέμας ἧσθαι, γλυκέως ἐπὶ ψυχῆς κεῖται ἀντὶ τοῦ βεβαίως μένειν. Τὸ δὲ μὴ ἐρητύεσθαι ἐν φρεσὶ θυμὸν, ταὐτόν ἐστι τῷ μὴ κατέχεσθαι, ἀλλά που ἔξω στηθέων ἐκθρώσκειν, ὅπερ ἀλλαχοῦ που

НБ ОНУ імені І.І. Мечникова

φησὶν ὁ ποιητής· λέγει οὖν, ὅτι οὐκ ἐπέχεται τῷ δειλῷ ἡ ψυχὴ, ὥστε ἀτρέμας ἧσθαι.

Σ. 281. Μετοκλάζει] Τοῦ δὲ μετοκλάζειν πρωτότυπον τὸ κλῶ. — Σημείωσαι δὲ, ὅτι τε τὸ ἐπ' ἀμφοτέρους ἵζει πόδας, ἐφερμηνευτικόν ἐστι τοῦ μετοκλάζει, ὃ ἐστι κλᾶται, ὃ πάσχει καὶ ὁ καθίζων, καὶ ὅτι τοὺς οὕτω ἵζοντας ἐπ' ἀμφοτέρους πόδας καὶ γονυκρότους τηνικαῦτα δριμέως ἐστὶ προσειπεῖν, καθὰ καὶ οἱ παλαιοὶ δηλοῦσιν, ἐν οἷς φασιν ὅτι γονύκροτοι οἱ βλαισοί. Ἀνακρέων δὲ κέχρηται καὶ ἐπὶ δειλῶν. Ε.

Σ. 283. Κῆρας οἰομένῳ] Θάνατον προσδοκῶντι. Σ. (ἴδ. Α, 228.). — Πάταγος ὀδόντων] Εἴη δ' ἂν ἐνταῦθα ταὐτὸν πατάσσειν καὶ βαμβαίνειν εἰπεῖν. Ε.

Σ. 284. Οὔτε τι λίην] Τὸ δὲ οὐ λίαν ταρβεῖ, τινὲς μὲν ἀντὶ τοῦ οὐδόλως, ὁμοίως τῷ οὐ πάμπαν· ἕτεροι δὲ ἁπλούστερον ἀντὶ τοῦ οὐ πάνυ, κατὰ τὸν τῆς ἀνδρίας κανόνα· ταρβήσει μὲν γάρ ποτε καὶ ὁ ἀνδρεῖος, οὐ λίαν δὲ, κατὰ τὸ, μηδὲν ἄγαν. Ε.

Σ. 286. Μιγήμεναι ἐν δαῒ λυγρῇ] Οὐ χρὴ νοεῖν, μιγῆναι τῇ μάχῃ, ἐμποδίζει γὰρ εἰς τοῦτο ἡ ἐν πρόθεσις, ἀλλ' ὅτι ἠρᾶτο μιγῆναι τοῖς Τρωσὶν, ἢ τοῖς πολεμίοις ἐν τῇ δαΐδι, ἐξ ἧς ἀποκέκοπται τὸ δαΐ. Ε.

Σ. 287. Χεῖρας ὄνοιτο] Ἐν δὲ τῷ χεῖρας ὄνοιτο λείπει ὄνομα, οἷον τὸ τίς. Ε.

Σ. 288. Βλεῖο πονεύμενος] Ἐν δὲ τῷ βλεῖο, ἢ τυπείης φανερὰ διαφορὰ τοῦ βάλλειν καὶ τύπτειν· διὰ διφθόγγου δὲ γράφεται τὸ βλεῖο, οἷα εὐκτικὸν μέσου ἀορίστου δευτέρου ἀπὸ τοῦ βλῆμι ἀχρήστου ῥήματος· οὗ δεύτερος ἀόριστος, ἔβλην, μέσος δὲ ἐβλέμην, καὶ εὐκτικὸν βλείμην βλεῖο. Ε. — Πονεύμενος] Ἐνεργῶν, πολεμῶν. Σ.

Σ. 291. Ὀαριστύν] Ἐν τῇ τῶν προταγωνιστῶν ὁμιλίᾳ καὶ συναναστροφῇ. Σ. — τὴν μάχην, μεταφορικῶς· κυρίως γὰρ ὀαρίζων (ἴσ. ὀαρίζειν) τὸ διδόναι τι καὶ λαμβάνειν καὶ ὁμιλεῖν. Σ. Β.

Σ. 293. Ὑπερφιάλως] Ὑπερηφάνως, μεγάλως. Σ. — τὸ ὑπερφίαλος τὸ πολὺ σημαίνει καὶ ἄμετρον· — ὑπερφίαλος γὰρ ὁ ὑπερβάλλων τῇ ἀμετρίᾳ τὸ μέτρον τῆς φιάλης. Σ. Β.

Σ. 299. Τῷ δὲ Φόβος κ. τ. λ.] Ὡς ὁ Φόβος τῷ πατρὶ ἕπεται ἐν τῇ τάξει, οὕτω καὶ ὁ Μηριόνης τῷ φίλῳ· νέος τε πρεσβυτέρῳ καὶ τὴν τοῦ θεράποντος χώραν ἔχων. Σ. Β.

Σ. 301. Ἐκ Θρῄκης] Ὅτι δὲ φιλεῖται τῷ τῶν Θρακῶν ἔθνει ὁ πόλεμος, δηλοῖ καὶ ὁ εἰπὼν, ὡς περὶ Θρᾴκην ὁ Ἄρης καλός· ἔνθα στίζονται, εὐγενὲς τοῦτο κρίνουσι· καὶ γῆν μὲν ἐργάζεσθαι, ἄτιμον οἴονται· ζῆν δὲ ἀπὸ πολέμου καὶ λῃστείας κάλλιστον. Ε. — Ἐφύρους] Ἐπὶ τοὺς Ἐφυραίους πάλαι καλουμένους· νῦν δὲ Κραννωνίους· Ἰστέον δὲ, ὅτι Ἐφύραι εἰσὶ δ'· μία μὲν ἡ κατὰ Θεσσαλίαν· δευτέρα δὲ ἡ κατὰ τὴν Ἤπειρον· τρίτη δὲ ἡ τῆς Ἤλιδος· καὶ τετάρτη ἡ νῦν καλουμένη Κόρινθος· νῦν οὖν λέγει τοὺς καλουμένους Κραννωνίους ἐν Θεσσαλίᾳ, ὡς Ἀπολλόδωρος ἱστορεῖ. Σ.

Σ. 302. Φλέγυας] Φλέγυας Γόρτυναν κατοικοῦντες, παρανομώτατον καὶ λῃστρικὸν διῆγον βίον, καὶ κατατρέχοντες τοὺς περιοίκους, χαλεπῶς ἠδίκουν. Θηβαῖοι δὲ πλησιόχωροι ὄντες, ἐδεδοίκεισαν, καὶ μέχρι πολλοῦ, εἰ μὴ Ἀμφίων καὶ Ζῆθος, οἱ Διὸς καὶ Ἀντιόπης, ἐτείχισαν τὰς Θήβας. — Τούτων μὲν οὖν ζώντων, οὐδὲν οἱ Φλέγυες τοὺς Θηβαίους ἠδύναντο διαθῆναι κακόν· θανόντων δὲ αὐτῶν, ἐπελθόντες, σὺν Ἐρυμάχῳ τῷ βασιλεῖ, τὰς Θήβας εἷλον. Πλείονα δὲ τολμῶντες ἀδικήματα, κατὰ Διὸς προαίρεσιν, ὑπὸ Ἀπόλλωνος διεφθάρησαν. Οὗτοι δὲ ἐνέπρησαν καὶ τὸν ἐν Δελφοῖς ναὸν τοῦ Ἀπόλλωνος· ἡ ἱστορία παρὰ Φερεκύδει. Σ. Β. — Οἱ Φλεγύαι, ὅμοροι τοῖς Ἐφύροις ὄντες· ἢ κάτοικοι τῆς ἐν Φωκίδι Γυρτώνης· ἢ περὶ τὴν Δαυλίδα τῆς Φωκίδος· — οὕτω δὲ ἦσαν βίαιοι καὶ ὑβρισταὶ, ὥστε καὶ τὸ ὑβρίζειν φασὶ δι' αὐτοὺς παρὰ Φωκεῦσι φλεγυᾷν λέγεσθαι. Μῦθος δέ ἐστι ταρταρωθῆναι αὐτοὺς ὑπ' Ἀπόλλωνος Θηβαίοις ἐπιχειροῦντας. Λέγονται δὲ οὐ μόνον Φλεγύαι ἀπὸ τοῦ Φλέγυς Φλέγυος, ὡς νέκυος. — Ἐν δὲ τοῖς τοῦ Γεωγράφου δηλοῦται, Ἐφύρους μὲν λέγεσθαι τοὺς Κραννωνίους, Φλέγυας δὲ τοὺς Γυρτωνίους, οὕτω πρότερον καλουμένους ἀπὸ Φλεγύου ἀδελφοῦ Ἰξίονος. Γυρτῶνα δὲ πόλιν λέγει Μαγνῆτιν, πρὸς ταῖς τοῦ Πηνειοῦ ἐκβολαῖς. Ε.

Σ. 307. Δευκαλίδη] Ἀπὸ τοῦ Δευκαλιωνίδη κατὰ συγκοπὴν ἐγένετο· τὸ δὲ πῆ ἀντὶ τοῦ ποῦ. Σ. Β.

Σ. 310. Δεύεσθαι πολέμοιο] Ὅ ἐστιν, οὐδαμοῦ οἶμαι απολεμήτους εἶναι. Ε. — οὐδαμοῦ, φησιν, ἐνδεεῖς τοσοῦτον οἶμαι τῶν βοηθησόντων εἶναι τοὺς Ἀχαιοὺς, ὅσον ἐπὶ τὰ ἀριστερά. ἐκεῖ γὰρ ἐῤῥάγη τὸ τεῖχος, καὶ ὁ Ἕκτωρ ἐκεῖ ἐμάχετο. Σ. Β.

Σ. 315. Ἄδην ἐλόωσιν] Ἤγουν, δαψιλῶς καὶ εἰς κόρον οἱ

НБ ОНУ імені І.І. Мечникова

Αἴαντες καὶ Τεῦκρος διώξουσι καὶ ἐσσύμενον πολέμοιο Ἕκτορα, καὶ εἰ μάλα καρτερός ἐστι. Ε. — εἰς κόρον ἔλωσιν· ὅ ἐστι πολέμου κορεσθῆναι ποιήσωσι. Σ.

Σ. 322. Δημήτερος ἀκτήν] Τὴν ἀπὸ σίτου καὶ τῶν σιτωδῶν λέγει τροφήν — καὶ γίνεται ἀπὸ τοῦ ἄγω, ἤτοι κλῶ καὶ συντρίβω· μυλήφατος γὰρ σῖτος χρήσιμος εἰς τροφήν. ἵνα ᾖ ἀκτὴ Δήμητρος τὸ κλάσμα τοῦ ἄρτου — ἢ ἀπὸ τοῦ ἄγω, τὸ προάγω καὶ προτιμῶ, ἡ προαχθεῖσα καὶ προτιμηθεῖσα τῶν ἄλλων. λείπει δ' ἐνταῦθα τὸ, δωρεὰν, ὡς ἂν εἴη τὸ πλῆρες τοῦ λόγου, Δημήτερος ἀκτὴν δωρεάν. Ε. — τὸν σῖτον· ἐπεὶ κατασσόμενος (ἴδ. Ἐτυμολ. Μεγ. καταγνύναι) καὶ ἀλούμενος ἄρτος γίνεται. Σ.

Σ. 323. Ῥηκτός] Σιδηρότρωτος. Σ.

Σ. 326. Ἐπ' ἀριστέρ' ἔχε] Κἀνταῦθα τὸ ἐπ' ἀριστερὰ ἔχειν ἐστὶν ἐλαύνειν. Ε.

Σ. 332. Ἐπ' αὐτῷ] Ἤγουν κατ' αὐτοῦ, τοῦ Ἰδομενέως δηλαδή. Ε.

Σ. 333. Ὁμὸν ἵστατο νεῖκος] Τουτέστιν ὁμοῦ ποιοῦν εἶναι αὐτούς· — ἰστέον δὲ, ὅτι δύναται τρόπον ἄλλον τὸ ὁμὸν νεῖκος ὅμοιον εἶναι τῷ, ἴση μάχη. Ε. — Ἰσοῤῥεπές. Σ. — Ἰσοβαρές· λέγει δὲ τῶν περὶ Ἰδομενέα Τρώων· πρύμνῃσι δὲ, ταῖς ἐσχάταις. Σ. Β.

Σ. 334. Σπέρχωσιν] Ὅ ἐστι κατεπείγουσιν ἄελλαι. Ε.

Σ. 336. Ἄμυδις] Ὁμόσε, ὁμοῦ εἰς τὸν αὐτὸν τόπον. Σ.

Σ. 340. Ἄμερδεν] Ἐστέρησεν, ἠμαύρου. Σ. ἐστέριτκε τοῦ ὁρᾷν. Σ. Β.

Σ. 341. Αὐγὴ χαλκείη] Τὸ δὲ αὐγὴ χαλκείη, τολμηρόν φασιν ἐνταῦθα εἶναι οἱ παλαιοί. Οὐ γὰρ παραβολικῶς εἶπεν, ὡς ἐν ἄλλοις, χαλκὸς ἐλάμπετο, εἴκελος αὐγῇ πυρὸς, ἤ τι τοιοῦτον· ἀλλὰ μονονουχὶ ἐφλόγωσε τὰ ὅπλα, ἡλίου ἤ τινα τοιαύτην λαμπηδόνα προσπλάττων αὐτοῖς. Ε.

Σ. 343. Ἐρχομένων ἄμυδις] Τὸ δὲ ἐρχομένων, ἀρσενικοῦ γένους ἐστὶ, λεχθὲν περὶ τῶν πολεμούντων, εἰ καὶ ἡ συνθήκη τῆς φράσεως εἰς οὐδέτερον φαντάζει αὐτό. Ε.

Σ. 344. Οὐδ' ἀκάχοιτο] Τὸ δὲ οὐδ' ἀκάχοιτο, ἀσφαλῶς εἴρηται· οὐ γὰρ ἀρκεῖ πρὸς φρίκην· μόνον τὸ μὴ γηθῆσαι, εἰ μή τις καὶ ἀκάχοιτο· ὥστε καὶ ἐν τῷ, οὐδ' ἄρα τώγε ἰδὼν γήθη-

σεν Ἀχιλλεύς, (Α, 330.) οὐκ ἀρκεῖ μόνον τὸ οὐκ ἐγήθησεν εἰς παράστασιν σαφῆ τοῦ, ἀλλ' ἐλυπήθη. Ε.

Σ. 345. Τὼ δ' ἀμφὶς φρονέοντε] Τὸ ἀμφὶς φρονεῖν ἐναντίον ἐστὶ τῷ, ὁμὰ φρονεῖν, ὅπερ συνθέτως ὁμοφρονεῖν λέγεται. Ε.— διάφορα καὶ κεχωρισμένα φρονεῖν. Σ.

Σ. 349. Ἀχαιϊκὸν] Ἰστέον δὲ, ὅτι κοινότερον μὲν οἱ ὕστερον ὡς ἀπὸ τῆς Ἀχαίας, Ἀχαϊκὸν λέγουσιν, οἱ δὲ παλαιοὶ ῥήτορες Ἀχαιϊκόν φασι δεῖν γράφειν διὰ τῶν δύο ῑ, ὡς καὶ ἀρχαιϊκόν φασι καὶ γυναιϊκὸν καὶ δικαιϊκόν. Ε.

Σ. 351. Ὀρόθυνε] Εἰς ὁρμὴν ἤγαγε. Σ.

Σ. 352. Ὑπεξαναδύς] Ἡ μὲν ὑπὸ πρόθεσις ἢ τὸ κρύφα δηλοῖ, ἢ τὸ ὑποκάτω· ἡ δὲ ἐξ, τὸ ἐκτὸς τοῦ ὕδατος· ἡ δὲ ἀνὰ, τὸ ἄνω γενέσθαι καὶ παντελῶς ἀπηλλάχθαι τοῦ ὑγροῦ γενόμενον πρὸς τῇ γῇ ὑποκειμένῃ τῆς θαλάσσης. Ε.

Σ. 355. Πλείονα ᾔδη] Τοὺς πρεσβυτέρους ἀεὶ πολυπειροτέρους φησὶ, ἄμφω δὲ εἰς σύστασιν παρέλαβε, τό, τε τῆς ἡλικίας καὶ τῆς σοφίας· οὐ γὰρ περὶ τῆς δυνάμεως εἶπεν. Σ. Β.

Σ. 356. Ἀμφαδίην] Εὐστάθ. ἀμφαδίῃ· ἐλλειπτικῶς καὶ αὐτὸ εἴρηται· λείπει γὰρ τὸ μάχῃ· ἵνα δηλοῖ τὸ ἐν φανερᾷ μάχῃ· ταύτης δὲ τῆς δοτικῆς ἡ αἰτιατικὴ, ἀμφαδίην· ὅθεν τὸ σύνηθες ἐπίῤῥημα. Ε. ἀμφαδίην φανερῶς. Σ.

Σ. 359. Πεῖραρ ἐπαλλάξαντες] Ὅτι παραδηλῶν ὁ ποιητὴς τὸ ἰσόῤῥοπον καὶ δυσαπάλλακτον τοῦ νῦν πολέμου καὶ ἀδιάλυτον, καὶ ὡς οὐ δυνατὸν παύσασθαι τὴν ἄρτι μάχην, χρᾶται παραβολῇ ἀλληγορικῇ, λέγων, ὅτι Ζεὺς καὶ Ποσειδῶν ἔριδος κρατερῆς — γούνατ' ἔλυσεν· ἡ δὲ μεταφορὰ γέγονεν εἰς τὴν μάχην ἀπὸ τῶν ἐν τοῖς σχοίνοις, ἢ τοῖς ἱμᾶσι δεσμῶν, ἃ δήσαντές τινες ἐξ ἄκρων, εἶτα διαστάντες, τανύουσιν, ὡς ἂν ὁ δεσμὸς πυκνωθεὶς καὶ σφιγχθεὶς ἀσφαλισθῇ. Παλαιὸς δέ τις φησὶν οὕτω· πεῖραρ ἐπαλλάξαντες, ἀντὶ τοῦ μάχην τείναντες, ἀπὸ τῶν ἐπιπλεκομένων σχοινίων κατὰ τὰ πέρατα. —Ἔστι δὲ τὸ ἐπαλλάξαντες ἀντὶ τοῦ συνάξαντες, συνδήσαντες, συνάψαντες. Ε. Πεῖραρ πέρας, τέλος· — ἐπαλλάξαντες· ἐπιπλέξαντες τὰς κῆρας, καὶ οἱονεὶ δήσαντες. — Ὁ δὲ Ζεὺς καὶ Ποσειδῶν τὰ πέρατα τῆς μάχης καὶ τοῦ πολέμου τείναντες κατὰ ἀμφοτέρων τῶν στρατῶν, ἔδησαν ἰσχυρῷ δεσμῷ, ὃς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο, Τέλος γὰρ ἀποτίθεται ἀλ-

НБ ОНУ імені І.І. Мечникова

ληγορικῶς τὰς ἑκατέρωθεν ἐξοχὰς ἐπιπεπλεγμένως, μίαν μὲν Τρώων, μίαν δὲ Ἑλλήνων κατὰ Ποσειδῶνος καὶ Διὸς γνώμην τῶν ἐν καταπεπλεγμένων (ἀνάγν. ἐγκαταπεπλ.) ἀπὸ τῶν ἐξοχῶν, τῶν μὴ δυναμένων, μήτε ῥαγῆναι, μήτε λυθῆναι. Ταῦτα οὖν ἀλληγορεῖ εἰς τὸ ἰσόῤῥοπον αὐτῶν τὴν ἰσχὺν συστῆναι διὰ τὰς τῶν θεῶν βοηθείας. Σ.

Σ. 361. Μεσαιπόλιος] Ὅτι μεσαιπόλιον ἐνταῦθα τὸν Ἰδομενέα ἱστορεῖ, καὶ ὅμως δυνάμενον τοὺς ἀναντίους φοβεῖν. Ἐςι δὲ μεσαιπόλιος, ὁ μήπω πάντη πολιὸς, ἀλλ' ὑπερβὰς μὲν τὸν ἀκμαῖον, παραγγείλας δὲ καὶ εἰς ὑπέρακμον, ἢ καὶ ὠμογέροντα, καὶ μέσως πως ἔχων τῶν πολιῶν, ὡς οἷα μιξόθριξ κατὰ τὸ ὑποπόλιον. Ε. — ὁ λεγόμενος σπαρτοπόλιος, ᾧ διεσπαρμέναι εἰσὶν αἱ πολιαί· ὁ μεσῆλιξ. Σ.

Σ. 363. Καβησόθεν] Κάβησος, πόλις Ἑλλησποντὶς, ἢ Θράκης τῆς κατὰ τὸν Αἶμον· οἱ δὲ Καππαδοκίας φασὶ, τὰ λεγόμενα Κάβησα· τινὲς δὲ Λυκίας, οἳ καὶ Λύκον τὸν Ὀθρυονέα φασὶ, καὶ Σαρπηδόνος ἀδελφόν. Ε. — Ἔνδον ἐόντα] Ἀπὸ Καβήσου πόλεως ἐνδεδημηκότα Σ. — ἤτοι ἔνδον τοῦ οἴκου Πριάμου, ἔνδον Ἰλίου· ἄμεινον δὲ τὸ ἔνδον ἐόντα ἀντὶ τοῦ ἐνόντα καὶ παρόντα. Σ. Β.

Σ. 366. Ἀνάεδνον] Ἄνευ τῶν πρὸ γάμου διδομένων δώρων. Σ. — Τὸ δὲ ἀνάεδνον τὴν Κασάνδραν ζητεῖν, ὅ ἐστι μὴ δόντα ἔδνα πρὸς ἐκείνην, ὥς φασιν οἱ παλαιοὶ, γλίσχρου ἤθους καὶ χρημάτων ἥττονος· — ἕτεροι δὲ, ἀνάεδνον τὴν ἄπροικόν φασι, διὰ τὴν πρὸς ἐκείνην ἔρωτα· ὡς ἔδνων λεγομένων οὐ μόνον τῶν ἀπ' ἀνδρὸς πρὸς γυναῖκα πρὸ τοῦ γάμου δωρεῶν, ἀλλά ποτε καὶ αὐτῆς τῆς γυναικείας προικὸς, — ἧς δίχα ζητεῖ τὴν Κασάνδραν κατὰ ἔρωτα Ὀθρυονεύς. Ε.

Σ. 368. Πρίαμος ὑπό τ' ἔσχετο] Τὸ τῆς ἀλαζονείας πέρας καραδοκῶν. Ε.

Σ. 371. Ὕψι βιβάντα] Ἤγουν πηδῶντα ἐνθουσιωδῶς· ἴσως δὲ καὶ κατά τι ὀρχήσεως εἶδος ἐνόπλιον. Ε.

Σ. 374. Ὀθρυονεῦ κ.τ.λ.] Ὅτι πατὴρ ὢν Ὅμηρος καὶ κωμῳδίας καθὰ καὶ τῶν ἄλλων ῥητορικῶν εἰδῶν, ἐν Ὀδυσσείᾳ μὲν πλεονάζει, καὶ ἀφειδέστερον ἢ καὶ αὐθαδέστερον χρῆται αὐτῇ οἷα καὶ χορηγούντων αὐτῷ τῶν ἐκεῖ προσώπων ὕλην γελοιασμοῦ, διὰ τὸ τῆς ποιήσεως ἐκείνης ἠθικώτερον· ἡ δὲ Ἰλιὰς, πολὺ ἔχει τὸ ἡρωϊκὸν καὶ σεμνὸν, καὶ οὐκ ἴδιον ἐν αὐτῇ γε-



НБ ОНУ імені І.І.Мечникова

λῆν, καὶ μᾶλλον κατὰ τοὺς πολέμους, καὶ μάλιστα νῦν, ἔνθα ἔφη μάλα θρασυκάρδιον εἶναι τὸν γηθήσοντα· Ὅμηρος μέντοι τεχνικῶς μιγνύων τὰ ἄμικτα, παραῤῥίπτει καὶ ἐνταῦθά τινας ἀστεϊσμοὺς ἐκ μεγαλαυχίας ἡρωϊκῆς, οἳ τοῖς μὲν ἀκροαταῖς ἔξω βελῶν ἑστῶσι παρασύρουσι τὰ χείλη πρὸς μειδίαμα ὑπανοίγοντες· αὐτοῖς δὲ τοῖς τότε μαχομένοις ὑπανῆπτε τὸν θυμὸν ἐπὶ πλέον. Ε.

Σ. 381. Συνώμεθα] Τὸ δὲ συνώμεθα, ἔστι μὲν ποιητικὴ λέξις, δηλοῖ δὲ τὸ συνθώμεθα, μᾶλλον δὲ συμβῶμεν, ἀπὸ τοῦ συνιέναι· καὶ γίνεται ἀπ᾽ αὐτοῦ συνημοσύνη, ὃ δηλοῖ συνθήκην καὶ συμβίβασιν. Ε. — συνθώμεθα συνθήκην ποιησώμεθα.

Σ. 382. Ἀμφὶ γάμῳ] Περὶ γάμου. Σ. — Ἐεδνωταί] Προικοδόται. Σ. — Ἑεδνωταὶ δὲ, κηδεσταί, πενθεροί· οὗτοι γὰρ τὰ ἕδνα παρὰ τῶν μνηστευομένων ἐνεδέχοντο. Σ. Β.

Σ. 385. Πνείοντε κατ᾽ ὤμων] Καταπνέοντες αὐτοῦ τὸ μετάφρενον. Σ.

Σ. 388. Λειμὸν ὑπ᾽ ἀνθερεῶνα] Ἐν δὲ τῷ, λαιμὸν ὑπ᾽ ἀνθερεῶνα, δηλοῦται, ὡς μετὰ τὸν ἀνθερεῶνα εὐθὺς ὁ λαιμός. Ε.

Σ. 389. Ἀχερωΐς] Ἡ λεύκη· παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους, στεψαμένου αὐτῇ ἐπὶ τῇ τοῦ Κερβέρου νίκῃ. Σ. — ὡς ἄκαρπος δὲ ἡ ἀχερωΐς, τῷ ᾅδῃ ἀνάκειται· διὸ καὶ ἰτέαι καὶ αἴγειροι τὸν τῆς Περσεφόνης πληροῦσι λειμῶνα. Ἕτεροι δὲ, ἀντὶ τοῦ ἀχερωΐς, ἀχελωΐς γράφουσιν, ὡς ἂν τις εἴποι ὑδατοτρεφής· ὡς Ἀχελῴου λεγομένου παντὸς ὕδατος· — καὶ νοοῦσιν ἀχελωΐδα τὴν αἴγειρον, ὡς ὕδασι χαίρουσαν. Ε.

Σ. 390. Πίτυς βλωθρή] Βλωθρὴ δὲ πίτυς, ὥς φασιν οἱ παλαιοί, κατὰ Τυῤῥηνοὺς μὲν, ἡ ηὐξημένη ἢ εὐαυξής· ὑψηλὴ δὲ κατὰ Βοιωτούς. — Ἀρκάδες δὲ βλωθρὴν τὴν ἁπαλήν φασι· Μάγνητες τὴν φλοιοδαρῆ. Δρύοπες τὴν τραχεῖαν· Καρύστιοι τὴν σκληράν. Ε. — Βλωθρή] Μακρὰ, παρὰ τὸ βλώσκειν, ὅ ἐστιν βαίνειν· εὐαυξὴς γάρ. Σ.

Σ. 391. Νενήκοσι] Νεωστὶ ἠκονημένοις. Σ. — Νήϊον εἶναι] Ἴδ. Γ, 62.

Σ. 393. Βεβρυχώς] Βρυχόμενος, σπώμενος, συντρίβων τοὺς ὀδόντας, ἢ δάκνων· μεμίμηται δὲ τὸ γιγνόμενον πάθος περὶ τοὺς βιοθανοῦντας (Σ. Β. βιοθανατοῦντας)· εἰώθασι γὰρ τοὺς ὀδόντας βρύχειν. Σ. — Δεδραγμένος] Ἤτοι ἀπρὶξ ἐχόμενος τῆς γῆς, χερσὶν ἢ ὀδοῦσι· καὶ ἔστι φασὶ τοῦτο ἐναργὲς εἴδωλον

НБ ОНУ імені І.І.Мечникова

ἥρωος ἐν αὐτῷ τῷ θυμῷ τὴν ψυχὴν ἀφιέντος, καὶ διὰ τοῦτο βρυχομένου· καὶ ἐν τῷ σφαδάζειν, δραττομένου γῆς πεφυρμένης τῷ αὐτοῦ αἵματι. Ε.

Σ. 407. Δινωτήν] Δινωτὴ δὲ ἡ πάντοσε ἴση, τουτέστι περιφερής, ὡς εἴπερ ἦν τορευτή· δῖνος γὰρ ὁ τόρνος. Ε. — Κανόνεσσι] Κανόνεσσι· (Ἴδ. Θ, 193).

Σ. 408. Ἔαλη] Κοινῶς ἥλην ἥλης ἥλη, καὶ διαλύσει, ἑάλη, ὡς ἐάγη· ὃ συγγενές ἐστι τῷ ἐκρύφθη, οἷα συντελοῦν εἰς κρύψιν. Ε. — Συνειλήθη καὶ συνεκρύβη. Σ. Β. — Ὑπέρπτατο] Σφοδρὰν δηλοῖ δόρατος ἄφεσιν, καθ' ἣν ὑπερπετασθῆναι τῆς ἀσπίδος λέγεται. Ε.

Σ. 409. Καρφαλέον] Ξηρόν. Σ. Ἴδ. Μ, 160. — Ἐπιθρέξαντος] Ἐπιψαύσαντος, ἢ ἐπελθόντος. Σ.

Σ. 413. Ἔκπαγλον] Ἴδ. Γ, 415.

Σ. 414. Ἄτιτος] Ἀτιμώρητος. Σ.

Σ. 415. Πυλάρταο] Ἴδ. Θ, 367.

Σ. 416. Ὤπασα] Ἴδ. Ζ, 157.

Σ. 420. Περίβη] Καὶ νῦν περιβῆναι, τὸ στῆναι περί τινα πεσόντα, ἐπὶ σκέπῃ αὐτοῦ. Ε. — ἵνα μὴ ὑπὸ πολεμίων σκυλευθῇ. Σ. Β.

Σ. 421. Ἐρίηρες] Ἴδ. Γ, 47.

Σ. 423. Φερέτην] Κυριολεκτεῖται δὲ καὶ ἐνταῦθα ὡς μάλιστα τὸ φέρειν, ἐπὶ νεκροῦ λεχθέν· οὗ καὶ ἡ κλίνη, φέρτρον, ἀλλοῖόν τι οὖσα παρὰ τὸ φορεῖον. Ε.

Σ. 424. Λῆγε μένος] Τὸ δὲ ἔληγε μένος, οἱ μεθ' Ὅμηρον, ἔληγε μένους, ἐροῦσιν ἄν. — Ἔστι δὲ τὸ μὲν ἔληγε μένος, ἀντὶ τοῦ ἔπαυσε· τὸ δὲ ἔληγε μένους· ἀντὶ τοῦ ἐπαύσατο. Ε.

Σ. 426. Δουπῆσαι] Τοῦ δὲ δουπῆσαι παρακολούθημα τοῦ ἐν μάχῃ θανεῖν. Ε.

Σ. 429. Ὤπυιε] Ἐγεγαμήκει. Σ.

Σ. 430. Περὶ κῆρι φίλησε] Περισσῶς ἐφίλησεν. Ε.

Σ. 431. Ἐκέκαστο] Πασῶν γὰρ τῶν ὁμηλίκων τῷ κάλλει διέφερε. Σ.

Σ. 435. Θέλξας] Ὅτι τὸ θέλγειν πανταχοῦ παρὰ τῷ ποιητῇ ἐκτροπήν τινα δηλοῖ καὶ μετάθεσιν τοῦ κατὰ φύσιν, διὰ φόβον ἢ λύπην, ἢ ἡδονήν, ἢ ἕτερόν τι πάθος ὑπερβάλλον, καὶ ὃς ἂν ἐνεὸς μείνῃ παθών τι τοιοῦτον, ὁ τοιοῦτος θέλγεσθαι λέγεται· καὶ ἔστι τὸ τοιοῦτον θέλγειν, ἢ ἀντὶ τοῦ ἀπάγειν τινὰ οὗ ἐθέλει ἢ τὸ εἰς ὃ θέλει ὁ ἐχθρὸς ἄγειν· τὸ δὲ ἦν

НБ ОНУ імені І.І.Мечникова

ἐνταῦθα, τὸ μεταβαλεῖν τῆς ὀξυωπίας καὶ στήσειν ἀκίνητον. Ε. (ἴδ' Ἰλ. Μ, 255.). — ἀπατήσας, ἀμαυρώσας. Σ.

Σ. 436. Ἀλέασθαι] Τῇ εἰς πλάγιόν τι δηλαδὴ ἐκκλίσει. Ε.

Σ. 441. Αὖον] Ξηρὸν, ὀξύ. Σ. — Ἐρεικόμενος] Σχιζόμενος, διακοπτόμενος ὁ χιτών. Σ.

Σ. 443. Οὐρίαχον] Οὐρίαχος δὲ τὸ ἀντικείμενον τῇ αἰχμῇ, καὶ οἷον οὐρὰ δόρατος, ὃ καὶ στύραξ λέγεται καὶ σαυρωτήρ. Ε. (ἴδ. Κ, 153.) — Πελέμιξεν] Ἐδόνησε, διέσεισε. Σ.

Σ. 444. Ἔνθα — ἀφίει] Ἔνθα, τουτέστι περὶ τὴν παλλομένην καρδίαν ἀφῆκε τὸ μένος ὁ σίδηρος, ἤγουν ἔστη τῆς προσωτέρω ὁρμῆς ἢ καὶ ἄλλως, ἔνθα ὁ σίδηρος ἐποίησε τὸν τετρωμένον ἀφεῖναι τὸ ψυχικὸν μένος, ἤγουν θανεῖν. Ε.

Σ. 446. Ἦ ἄρα δή τι ἐΐσκομεν] Ἆρα ἀξίως καὶ δεόντως δοκοῦμέν σοι αὐχεῖν, τρεῖς ἀνθ' ἑνὸς πεφονευκότες; Σ.

Σ. 447. Αὔτως] Ἤγουν ἁπλῶς οὕτως, ἢ μάτην. Ε.

Σ. 450. Ἐπίουρον] Φύλακα. Σ. — Ταὐτὸν δ' εἰπεῖν βασιλέα. Ε.

Σ. 456. Ἑταρίσσαιτο] Ἑταῖρον καὶ συνεργὸν λάβοι. Σ. — ἁπλῶς μέν τοι ἑταιρίζεσθαι, τὸ φιλιοῦσθαι· διχῶς δὲ λέγεται καὶ αὐτὸ, κατὰ δὲ πάθος ὡς ἐνταῦθα, καὶ κατ' ἐνέργειαν, ὡς ἐν τῷ τέλει τῆς Ἰλιάδος. (Ω, 335.) Ε.

Σ. 458. Δοάσσατο] Ἔδοξε. Σ. — τοῦ δοκῶ παράγωγόν ἐστι· δοκῶ, δοκήσω, δοκάσω, ἐδοκάσσατο, δοκάσσατο ἀποβολῇ τοῦ κ δοάσσατο, Σ. Β.

Σ. 459. Ἐπ' Αἰνείαν] Τροίας ἁλούσης Αἰνείας Ἀγχίσην παραλαβὼν τὸν πατέρα ἔφυγε· ναυαγίῳ δὲ περιπεσὼν περὶ τὸν Ἄθω, ἀνήει σὺν τῷ πατρί· καὶ Ἀγχίσης μὲν πρὸς τῷ Καλαύρῳ ὄρει, πλησίον Ἀνθέμου ποταμοῦ τελευτᾷ. Θάψας δὲ αὐτὸν Αἰνείας, ὅπου καὶ νῦν τάφος ἐστὶν Ἀγχίσου λεγόμενος ἐν Πυάνῃ, κατὰ βούλησιν τῆς μητρὸς Ἀφροδίτης, πόλιν ἔκτισε τὴν ἀπ' αὐτοῦ Αἰνειάδα προσαγορευθεῖσαν. Τελευτήσαντος δὲ τούτου ὁ ἐξ αὐτοῦ γενόμενος παῖς λάθρα ἐπὶ τὴν πατρῴαν ἀρχὴν παραγενόμενος, καὶ πόλιν ἀναστήσας, παραλαβών τε τὸν στρατὸν, μετῴκισεν εἰς Ἰταλίαν. Σ.

Σ. 460. Ἐπεμήνιε] Ὑποπτεύετο γὰρ ὡς βασιλειῶν· ὑπῆν δέ φασι καὶ χρησμὸς, ἁλούσης τῆς Ἰλίου Αἰνείαν βασιλεῦσαι, καθὰ καὶ ὁ ποιητὴς ἐρεῖ ἐν τοῖς ἑξῆς. Ε.

Σ. 470. Φόβος] Οὐκ ἔλαβεν· ἤγουν οὐκ ἠθέλησε φυγεῖν. Ε. — Τηλύγετον ὥς] Ἤγουν ὡς γέροντα καὶ ἤδη τῆλε γε-

НБ ОНУ імені І.І. Мечникова

νόμενον, τουτέστι πόῤῥω ἡλικίας ἥκοντα· μεσαιπόλιον γὰρ φθάσας εἶπεν αὐτόν· ἕτεροι δὲ τηλύγετον ἐνταῦθα εἶπον τὸν μεμονωμένον· — διὸ καὶ προϊὼν ἐρεῖ· καί μοι οἴῳ ἀμύνετε. Ε. (Ἴδ. Γ, 175.).

Σ. 472. Κολοσυρτόν] Ἴδ. Μ, 147. — τινὲς δὲ τὸν μέγαν θόρυβον οὕτω νοοῦσι, κόλον γὰρ παρ' αὐτοῖς, τὸ μέγα. Ε.

Σ. 473. Οἰοπόλῳ] Οἰοπόλος δὲ χῶρος κἀνταῦθα, ὁ ἔρημος· ἐν ᾧ οἶός τις, ὅ ἐστιν μόνος πολεῖ· ἢ ἔνθα οἰῶν πώεα πολοῦσι βοσκόμενα. Ἔνθα σημείωσαι, ὡς εἰ καὶ τὸ πωλεῖν καὶ πωλεῖσθαι, ὅ ἐστιν ἀναστρέφεσθαι ὁ ποιητὴς ἐκτείνει, ἀλλὰ τὰ ἐκεῖθεν, οἷον οἰωνοπόλος, ὀνειροπόλος, οἰοπόλος, ἱπποπόλος, καὶ ὅσα τοιαῦτα, ἐν τῷ ο μικρῷ γράφεται· τὸ μέν τοι εὔπωλος γῆ ἑτεροίαν παρὰ τὰ ῥηθέντα ἔχει σύνθεσιν, διὸ οὐδὲ γράφεται κατ' αὐτά. Ε. — Φρίσσει δέ τε νῶτον ὕπερθεν] Τὸ δὲ φρίσσει νῶτον ὕπερθεν οἱ μεθ' Ὅμηρον φρίσσει φασὶ λοφιάν.

Σ. 475. Θήγει] Θήγειν δὲ ὀδόντας ἐν τῷ θυμοῦσθαι, ἴδιον μάλιστα συός. Ἔστι δὲ θήγειν ὀδόντας, τὸ εἰς θοὸν ἄγειν, ἤγουν εἰς ὀξὺ, τὸν δὲ ἐντεῦθεν κτύπον, φθάσας κόμπον ἔφη. Ε. — ἀκονᾷ. Σ.

Σ. 477. Βοῇ θοὸν] (Εὐστάθ.) — εἰ μή τι ἄρα βοηθόον ἐκεῖνο συνθέτως τις ὑφὲν ἀναγνῶναι θελήσει, πρὸς ὁμοιότητα τοῦ βοηθόον ἅρμα τιταίνων. Ε. (Ρ, 481.).

Σ. 484. Ἥβης ἄνθος] Τὸ ἀκρότατον τῆς ἀκμῆς. Σ.

Σ. 486. Ἠὲ φέροιτο—ἠὲ φεροίμην] Λείπει τὸ κατ' ἐμοῦ, καὶ κατ' αὐτοῦ. Σ. Β.

Σ. 493. Πιόμενα ἐκ βοτάνης] Ἀντὶ τοῦ μετὰ βόσκησιν· καὶ ἔστι φασὶν ὅμοιον τῷ, ἐξ ἀρίστου παρέσομαι, ἀντὶ τοῦ μεθὸ ἀριστήσω· τὸ δὲ πιόμενα, ὤφειλε μὲν εἶναι πιούμενα, ἤγουν πιεῖν μέλλοντα, μετὰ καὶ συστολῆς τῆς ἀρχούσης· ἔπαθε δὲ καὶ αὐτὸ χρόνου ἐναλλαγὴν, ἀναχθὲν εἰς ἐνεστῶτα κατὰ καὶ τὸ ἴομεν. Ε.

Σ. 497. Ξυστοῖσι] Τοῖς ἐξεσμένοις δόρασι. Σ.

Σ. 498. Τιτυσκομένων] Ἴδ. Γ, 80.

Σ. 507. Θώρηκος γύαλον] Τὸ κοῖλον τοῦ θώρακος. Σ. (Ἴδ. Ε, 99.).

Σ. 508. Ἤφυσε] Διήντλησε καὶ διέκοψε τὰ ἔντερα αὐτοῦ τὸ δόρυ. Σ.

Σ. 514. Ἐν σταδίῃ] Ἴδ, Π, 240.

НБ ОНУ імені І.І.Мечникова

Σ. 515. Τρέσσαι] Τρέσσαι δὲ τὸ κατὰ δειλίαν φυγεῖν, ταὐτὸν δ' εἰπεῖν, μετὰ δέους τραπῆναι. Ε.

Σ. 516. Βάδην] Ἠρέμα ἀπερχομένου. Σ.

Σ. 517. Ἐμμενὲς αἰεί] Κότος γὰρ κυρίως ὁ ἐχόμενός τινε ἐμμενὲς αἰεί, καὶ οὕτως ἀποκείμενος· — καὶ ὅρα τὸ αἰεί, ἁπλῶς οὕτω νῦν κατὰ τοὺς παλαιοὺς παραῤῥιφὲν ἐπὶ ὀλιγίστου χρόνου κατὰ συνήθειαν Ἀττικήν· ὥσπερ καὶ τὸ πάλαι καὶ τὸ ποτὲ παρὰ τοῖς ἀττικίζουσιν οὐκ ἐπὶ μακροῦ χρόνου ἀεὶ τίθεται. Ἕτεροι δὲ ἀκολουθοῦντες τῇ Σιμωνίδου καὶ Ἰβύκου ἱστορίᾳ, φασὶν ὡς ἀληθῶς ἀεὶ ἐνεκότει τῷ Ἰδομενεῖ Δηίφοβος, ὡς ἀντεραστῇ· ἦρα γάρ φασι καὶ αὐτὸς τῆς Ἑλένης. Ε.

Σ. 520. Ἔσχεν] Ἀντὶ τοῦ διέσχισε, διῆλθε τοῦ ὤμου. Ε.

Σ. 521. Πέπυστο] Οὐδέπω ἐμεμαθήκει· ἐζήτηται δέ, πῶς Θεὸς ὢν ὁ Ἄρης ἐκ εἴδει περὶ τοῦ υἱοῦ; ῥητέον οὖν, ὅτι παρὰ τῷ ποιητῇ οἱ θεοὶ σωματικῶς λαμβανόμενοι, ἀνθρωποειδῶς ἐπίστανται, (ἐφίστανται Σ. Β.) καὶ ἀθανασίᾳ μόνον διαφέροντες ἀνθρώπων, τοῖς αὐτοῖς ἐνέχονται (ὑπόκεινται Σ. Β.) πάθεσι. Σ. — Βριήπυος] Μέγα καὶ βαρὺ βοῶν· παρὰ τὸ ἠπύειν, ὅ ἐστι φωνεῖν. Σ. — διὰ τὰς ἐν μάχῃ βοάς. Ε.

Σ. 524. Ἐελμένος] Ἤγουν εἰλόμενος, ὅ ἐστιν, ἐκκλειόμενος τοῦ πολεμεῖν. Ε.

Σ. 527. Πήληκα] Περικεφαλαίαν, λόφον. Σ.

Σ. 528. Ἥρπασε] Ὡς ἐπὶ τὸ πολὺ σκυλεύοντες εὑρίσκονται οἱ Ἕλληνες· ἐνταῦθα δὲ ὁ Δηίφοβος ὥσπερ κλοπῇ κέχρηται καὶ ὀξυλαβείᾳ, καὶ ὅρα τὸ ῥῆμα· οὐ γὰρ ἐσκύλευσεν ἔφη, ἀλλ' ἥρπασε τὴν πήληκα, πλὴν οὐδὲ οὕτως ἀποφέρεται τὸ σκῦλον οὗτος, ἀλλὰ τρωθεὶς ἀφίησιν αὐτό. Σ. Β.

Σ. 530. Αὐλῶπις] Ἴδ. Ε, 182. — τὸ δὲ βομβεῖν ὠνοματοπεποιημένον ὂν καὶ ἐπὶ λίθου ἀφειμένου ἐν Ὀδυσσείᾳ (Θ, 190.) κεῖται. Ε.

Σ. 532. Πρυμνοῖο βραχίονος] Τοῦτο βαθεῖάν τινα πληγὴν σημαίνει· οὐ γὰρ ἂν ἴσως εἴη ἐπιπολῆς πληγὴ ἡ ἐν πρυμνῷ βραχίονι. Ε. — τοῦ ἐσχάτην ἔχοντος ἀπὸ τῆς ἐκφύσεως τὴν ἀρχὴν ἐπὶ τὸν νῶτον. Σ. — ἄκρου, τοῦ πρὸς τὸν ὦμον. Σ. Β.

Σ. 534. Τιτήνας] Περὶ τὰ μέσα αὐτοῦ τὰς χεῖρας διατείνας καὶ συλλαβών. Σ.

Σ. 539. Νεουτάτου] Νεοτρώτου. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 542. Λαιμόν] Τὸν βρόχον· (βρόγχον ἴσ. βρόχθον (ἴδ. Ἐτυμολ. Μέγ. βρόχθος). Σ.

Σ. 543. Ἐάφθη] (Εὐστάθ.) ὅ ἐστιν ἠκολούθησεν, ἀπὸ τοῦ ἕπω· ἵνα ὥσπερ ἀπὸ τοῦ εἱλῶ γίνεται τὸ ἐάλη, οὕτω καὶ ἀπὸ τοῦ ἕπω τὸ ἐάφθη. Ε. — ἐπεκατήχθη δὲ αὐτῷ ἡ ἀσπίς, ὅ ἐστιν ἐπικατηνέχθη παρὰ τὸ ἕπεσθαι. Σ. — ὁ Τυραννίων ἐκδέχεται ἀπὸ τοῦ ἅπτω, οὗ γίνεται ἀόριστός, φησιν, ἥφθη, καὶ ποιητικῶς ἄφθη, προσόδῳ δὲ τοῦ ε, ἐάφθη, ὅτι καὶ τὸ προσερχόμενον ε ταῖς δασυνομέναις λέξεσι μεταληπτικὸν γίνεται τῆς ἐκείνων δασύτητος, πρόδηλον κἀκ τοῦ ἕερσα, ἕεδνα, ἑήνδανε, ἑώρων, οὕτως οὖν καὶ τὸ ἐάφθη ἔχει. Σ. Β.

Σ. 544. Θυμοραϊστής] Δηλοῖ τὸν τοῦ θυμοῦ ῥαίστην, ὥσπερ καὶ κυνοραϊσταὶ λέγονται τὰ τῶν κυνῶν φθαρτικὰ ζωΰφια. Ε. — ὁ τὴν ψυχὴν φθείρων. Σ.

Σ. 546. Ἔκερσεν] Ὅλην δὲ ἀπέτεμε τὴν νωτιαίαν φλέβα. Σ. — φλέβα δέ φασι λέγει τὴν καλουμένην κοίλην, ἢ νωτιαίαν, ἐκ δεξιῶν τῆς ῥάχεως ἀπὸ τοῦ ἥπατος ἀνιοῦσαν καὶ κατὰ τὸ διάφραγμα χωροῦσαν ἐπὶ τὴν καρδίαν, καὶ ἀπ' αὐτῆς ἐπὶ τὸν τράχηλον. Ε.

Σ. 557. Ἔχ' ἀτρέμας] Ἤγουν εἶχεν ἀτρεμεῖ, τουτέστιν ἠτρέμει καὶ ἡσύχαζε. Ε.

Σ. 558. Ἐλέλικτο] Εἱλεῖτο, ἐστρέφετο. Σ.

Σ. 562. Ἀμενήνωσεν] Ἀντὶ τοῦ ἀμενηνὸν ἐποίησε καὶ ἠχρείωσεν. Ε. — ἀσθενῆ γενέσθαι ἐποίησε. Σ.

Σ. 563. βιότοιο μεγήρας] Φθονήσας τοῦ βίου, ὅ ἐστι τῆς ζωῆς. Σ. Σαλαμινίων δέ φασι λέξις ἐστὶ τὸ μεγαίρειν. Ε.

Σ. 564. Σκῶλος] Σκῶλος δὲ πυρίκαυστος εἶδος σκόλοπος, ὃν ἀποξύναντες ἀγρόται πυρακτοῦσι, ὡς ἂν τὸ ἄκρον ἐξικμασθὲν καὶ πιληθὲν καὶ οἷον βαφὲν εἴη ἀντὶ βέλους, περονᾷν δυνάμενον, ὡς οἷον αἰχμή· — ἕτεροι δὲ εἶδος ἀκάνθης τὸν σκῶλόν φασιν, ἥτις πυρωθεῖσα, εὔτονος γίνεται. Ε.

Σ. 567. Μετασπόμενος] Ἐπιδιώξας, ἐπακολουθήσας. Σ.

Σ. 569. Γίγνετ' Ἄρης] Τουτέστι πληγὴ καὶ τραῦμα· — διὰ τὸ νευρῶδες εἶναι δηλονότι τὸ ἦτρον, καὶ ὀδυνᾶσθαι τῇ πληγῇ. Ε.

Σ. 570. Ἑσπόμενος] Κατασχεθείς, περιπαρεὶς τῷ δόρατι. Σ.

Σ. 571. Ἤσπαιρε] Ἴδ. Γ, 293.

Σ. 572. Ἱλάσιν] Τοῖς ἐξ ἱμάντων πεπλεγμένοις δεσμοῖς. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 577. Θρηϊκίῳ] Μόνοι γὰρ οἱ Θρᾷκες μεγίστοις ξίφεσι χρῶνται. Σ. Β. — Ἄραξεν] Ἀράσσειν δὲ γένεται μὲν ἀπὸ τοῦ ἄρης, ὁ σίδηρος, δηλοῖ δὲ τὴν ῥᾳδίαν καὶ ἄπονον ἐκκοπήν. Ε. — ἀπέκοψε. Σ.

Σ. 583. Τόξου πῆχυν] Ὅ ἐστι τόξον περιφραστικῶς. Ε. — οἱ μὲν, κατὰ Δωριεῖς, τὴν νευράν· οἱ δὲ, τὸ κέρας· οἱ δὲ, τῷ πήχει τὸ τόξον εἷλκεν. Σ. Β.

Σ. 584. Ὁμαρτήτην] Τὸ δὲ ὁμαρτήτην, οἱ μὲν ἐπίῤῥημα νοοῦσιν ἀντὶ τοῦ ὁμοῦ· ἕτεροι δὲ ῥῆμα κρειττόνως φασὶν, ἀντὶ τοῦ ἠκολούθησαν κατὰ τὴν βολήν· οἱ δέ φασι τριπλῆν ἐνταῦθα εἶναι γραφὴν, ἁμαρτήδην, καὶ ὁμαρτήδην, καὶ διὰ τοῦ ταῦ ὁμαρτήτην· ἐν πᾶσι δὲ δηλοῦσθαι τὸ ὁμοῦ· εἰ δὲ καί ἐςι ῥῆμα τὸ ὁμαρτήτην παραληγόμενον τῷ ἦτα, ἐκ τοῦ ὁμαρτησάτην συγκέκοπται. Ε. (ἴδ. Ε, 656.).

Σ. 585. Ἀπὸ νευρῆφι] Ἐν δὲ τῷ ἀπὸ νευρῆφιν ὀϊστῷ, προσυπακουστέον τὸ ἔβαλεν· οὐ γὰρ δήπου ὡς ὁ Μενέλαος δόρατι, οὕτως ἀκοντίζει τις καὶ διὰ νευρᾶς· καὶ ἔστι τὸ σχῆμα σύλληψις. Τὸ δὲ ἀπὸ νευρῆφιν, εἰ καὶ νοεῖται κοινότερον ἀντὶ τοῦ ἀπὸ νευρᾶς, ἀλλ' οὐκ ἂν ἔχοι καὶ ἀπὸ γενικῆς γενέσθαι τοῦ νευρῆς ἀποβολῇ τοῦ σ· εἴη δὲ ἂν μάλιστα ὡς ἐπίῤῥημα ἔχον περιττὴν συνήθως τὴν ἀπὸ πρόθεσιν, ἵνα ᾖ ὡς βίῃ βίηφι, οὕτω καὶ νευρῇ νευρῆφι, καὶ μετὰ προθέσεως ἀπὸ νευρῆφι. Ε.

Σ. 586. Ἔπειτα] Ἀργὸν οὕτω κεῖται τὸ ἔπειτα, ἀντὶ τοῦ δὴ κατὰ τοὺς παλαιοὺς, οὐ μὴν ὑστεροχρονίαν δηλοῖ· ὁμαρτήδην γὰρ, ὅ ἐστιν ἅμα καὶ ὁμοῦ ἀφῆκαν Ἕλενος ὀϊστὸν, καὶ δόρυ Μενέλαος. Ε.

Σ. 588. Ὡς δ' ὅτ' ἀπὸ πλατέος] Θαυμάζουσι δ' ἐν τούτοις οἱ παλαιοὶ τὸ ποιητὴν, καὶ ὡς πρᾶγμα ταπεινὸν τὸ κατὰ κυάμους καὶ ἐρεβίνθους καὶ ἔννοιαν εὐτελῆ, ἐπιθέτοις δὲ ὑψώσας ἐσέμνυνεν, ἐπικαλύπτων τὸ ταπεινὸν καὶ λέξεσι μεμεγεθυσμέναις ἐπῆρε. — Ἀπὸ .... πτυόφιν] Πτύου· πτύον δέ ἐστιν ἐν ᾧ τὰ ἠλοημένα γεννήματα ἀναβάλλουσι, χωρίζοντες τοῦ ἀχύρου. Ε.

Σ. 594. Ἡ ῥ' ἔχε] Καθ' ὃ μέρος κατεῖχε. Σ. Β.

Σ. 595. Ἐλήλατο] Ἐνεπάγη. Σ.

Σ. 599. Οἰὸς ἀώτῳ] Λέγει δ' ἐνταῦθα ὁ σχολιαστής, ὅτι ἐρίοις πάλαι τὰ κῶλα τῆς σφενδόνης συνέπλεκον, καὶ οὐ νεύροις, ὡς ὕστερον, ἵνα τοῦ ἐρίου ὑπενδιδόντος, διατείνοιντο αὐτὰ ἐν τῇ ἀποῤῥίψει. Σημείωσαι δὲ, ὅτι ὡς ἐν περιφράσει ἄωτον

НБ ОНУ імені І.І. Мечникова

οἰὸς εἰπὼν ἁπλῶς τὸ ἔριον, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. Ε. — καλῶς περιεστραμμένῳ ἐρίῳ, τουτέστιν ἐρίᾳ σφενδόνῃ· οἰὸς γὰρ ἀώτῳ, προβάτου ἄνθει, ὅ ἐστιν ἐρίῳ. Σ. — πολλὰ δὲ δηλοῖ τὸ ἄωτον, ὥς φησιν Ἐπαφρόδιτος, νῦν δὲ τὸ τοῦ ἐρίου λεπτότερον καὶ καθαρώτερον, ὅθεν καὶ αἱ σφενδόναι ἐπλέκοντο. Σ. Β:

Σ. 605. Παραὶ δὲ οἱ ἐτράπετ' ἔγχος] Ἤγουν οὐ κατ' εὐθὺ ἦλθεν, ἀλλ' εἰς πλάγιον ἐστράφη. Ε.

Σ. 608. Ἔσχεθε] Ἐπέσχε τὴν ὁρμὴν τοῦ δόρατος· καυλῷ δὲ, τῷ τῆς ἐπιδορατίδος αὐλῷ, εἰς ὃν ἀνίεται τὸ ξύλον. Σ. Β.

Σ. 612. Ἀξίνην εὔχαλκον] Ὅρα δὲ, ὅτι ἀξίνην φέρει Πείσανδρος, καινότερον ὁπλιζόμενος. — Βαρβαρικὸν δὲ τὸ ἀξίναις μάχεσθαι καὶ πελέκεσσι. Ε. — ἀξίνην· τὴν ὑπὸ τὴν ἀσπίδα κρυπτομένην· ἔφερον γὰρ πρὸς τὸ σχίσαι τὰς ναῦς, ἀλλὰ καὶ πρὸς τὴν μάχην ἐχρῶντο αὐταῖς. Σ. Β. — Ἐλαΐνῳ] Παρὰ τὸ ἐλαία· ἐλαΐϊνος γὰρ ἦν, καὶ Ἀττικῶς ὑφῄρηται τὸ ι. Σ. Β. — Πελέκκῳ] Πέλεκκον δὲ οὐδετέρως, ὁ στειλειὸς, τουτέστιν ἡ λαβὴ τοῦ πελέκεως, ἤτοι τῆς ἀξίνης, διπλασιασθέντος τοῦ κ, ὡς καὶ ἐν τῷ ἡμιπέλεκκα· ἐκεῖνά γε μὴν οὐ στειλειοὺς δηλοῖ, ἀλλὰ μικρούς τινας πελέκεας. Καινότερον δὲ καὶ ἐνταῦθα ἡ ἀμφὶ πρόθεσις δοτικῇ σύγκειται ἐν τῷ πελέκκῳ· ὃ μακρὸν μὲν λέγεται, ὡς μὴ σκεπάρνου ὄν, ἀλλὰ ἀξίνης. Ε.

Σ. 613. Ἀλλήλων ἐφίκοντο] Τὸ δὲ ἀλλήλων ἐφίκοντο, ἀντὶ τοῦ καθίκοντο καὶ ἥψαντο, οἷα τῆς ἐπὶ προθέσεως ἀντὶ τῆς κατὰ ἐπὶ ἐναντιώσει κειμένης καὶ ἐνταῦθα. Εἰ δὲ γράφεται ἀφίκοντο, λείπει ἡ κατὰ πρόθεσις, καὶ δηλοῖ, ὡς ὁμοῦ κατ' ἀλλήλων ὥρμησαν. Ε.

Σ. 616. Λάκε δ' ὀστέα] Λακεῖν δὲ οὐχ ἁπλῶς τὸ φωνεῖν ἢ λαλεῖν, ὡς οἱ τραγικοὶ, διθυραμβικώτερον χρῶνται, — ἀλλὰ ποιόν τινα ἦχον ἀψύχων σωμάτων ἡ λέξις δηλοῖ· ὅθεν καὶ ἡ ἐν ἱματίοις ἢ σαρκίοις λακὶς ὠνοματοπεποίηται· καὶ νῦν μὲν ἐπὶ ὀστέων τὴν λέξιν ὁ ποιητὴς ἔθηκε· προϊὼν δέ που ἐπὶ ξίφους αὐτὸ θήσει. (Ξ, 25.) Ε. — ἐσχίσθη. Σ.

Σ. 618. Ἰδνώθη δὲ πεσών] Τὸ δὲ ἰδνώθη πεσὼν, ταὐτόν ἐστι τῷ, ἰδνωθεὶς ἔπεσεν. Ε. (ἴδ. Β, 266.).

Σ. 620. Λείψετέ θην] Ἤγουν καταλείψετε δὴ οὕτω γε. Ε. λείπει δὲ εἰς τὸ οὕτω γε ἀναιρούμενοι. Σ. Β.

Σ. 622. Οὐκ ἐπιδευεῖς] Οὐκ ἐνδεεῖς, ἀλλὰ πλήρεις ἐστέ.

Σ. — τοῖς εἰς ἐμὲ ὑμῖν πραχθεῖσιν ἄλλο οὐδὲν ἐνδεῖται γενέσθαι δεινόν. Σ. Β. — φησὶ κατά τι ἀντιθετικὸν σχῆμα, ὅτι οἱ Τρῶες μάχης τέ εἰσιν ἀκόρητοι, καὶ λοιπῆς δὲ κακίας κεκορεσμένοι καὶ ἀπροσδεεῖς. Ε.

Σ. 626. Κουριδίην ἄλοχον] Ἴδ. Α, 114. — φασὶν οἱ παλαιοί, ὡς οὐκ ἄρα οἶδεν ὁ ποιητὴς κατὰ τοὺς νεωτέρους τὴν τῆς Ἑλένης ὑπὸ Θησέως ἁρπαγήν· οὐδὲ τὸ ἐκ Θησέως καὶ αὐτῆς γενέσθαι τὴν Ἰφιγένειαν, εἴγε κουριδίη τῷ Μενελάῳ ἐστὶ γυνή. Ε. — Κτήματα πολλά] Φησὶ γὰρ ὡς μετὰ πολυτελοῦς σκευῆς ὡς ἐπὶ θυσίαν ἥκουσα, ἡρπάγη. Ε.

Σ. 627. Ἀνάγοντες] Ἢ ἁπλῶς ἐκ λιμένος ἀναπλέοντες, ἢ καὶ ὅτι ἀνάπλους ὄντως ἐστὶν ὁ ἐκ Πελοποννήσου πλοῦς εἰς τὴν Τροίαν, διὰ τὸν τοῦ Ἑλλησπόντου κατάῤῥουν. Ε. — Ἐπεὶ φιλέεσθε] Ὅτι φιλοφροσύνης καὶ ξενείας ἐτύχετε. Σ.

Σ. 629. Ἥρωας Ἀχαιούς] Ὅτι σαφῶς πάντας τοὺς Ἕλληνας ἥρωας καλεῖ. Σ. Β.

Σ. 633. Οἷον δή] Ἀντὶ τοῦ πῶς· ἔστι δὲ μετὰ θαύματος καὶ μέμψεως. Σ. Β.

Σ. 638. Ἐξ ἔρον εἶναι] Προέσθαι τὴν ἐπιθυμίαν, κορεσθῆναι. Σ. — ὁ νοῦς· πᾶς τίς φησι, τῶν τερπνῶν βούλεται κορεσθῆναι, ἢ τοῦ πολέμου· οἱ δὲ Τρῶες οὐχ οὕτως. Σ. Β. — τὸ δὲ εἶναι ἐν τῷ, ἐξ ἔρον εἶναι, κανονίζεται μὲν ἀπὸ τοῦ ἕω καὶ ἕημι, τὸ πληρῶ· (ἴδ. Α, 469) καὶ δασύνεται, ὡς καὶ τὸ ἕντο. — Ἐκ τοῦ μᾶλλον ἔστι νῦν ἡ ἐπιχείρησις· εἰ γὰρ τῶν ἐφετῶν ἐστι κόρος, πολλῷ πλέον τοὺς Τρῶας ἐχρῆν πολέμου ταχὺ κορέννυσθαι, οὗπερ οὐδεὶς ἐφίεται. Ε.

Σ. 647. Χαλκὸν ἐλάσσαι] Ἔστι δὲ διὰ πρὸ χαλκὸν ἐλάσσαι τὸ διασχεῖν τὰ φορούμενα ὅπλα, ὡς καὶ εἰς βάθος πλῆξαι. Ε.

Σ. 649. Ἐπαύρῃ] Ὡς εἴπερ ἔμψυχος ὢν ὁ χαλκὸς, ἀπήλαυε. Ε. (ἴδ. Λ, 391; καὶ Ζ, 353.).

Σ. 651. Ἔβαλε γλουτόν] Ὅτι δηλῶν ὁ ποιητὴς, ἀντικεῖσθαι γλουτῷ κύστιν, φησίν· ἔβαλε γλουτὸν κ. τ. λ. — ὁ αὐτὸς δὲ Ἁρπαλίων τοῦτο φεύγων ἔπαθεν. Ε.

Σ. 654. Θυμὸν—ἐπὶ γαίῃ] Καὶ ὅρα τὸ ταπεινὸν τῆς παραβολῆς· δηλοῖ γὰρ οὐδὲν εὐγενὲς τοῦ πεσόντος. Οὐ γὰρ σφαδάζει, οὐ βέβρυχεν, οὐ διαπεταννύει χεῖρας, καὶ ἀντὶ μετώπῳ γῆν τύπτει, οὐ γαῖαν εἷλεν ἀγοστῷ, ἀλλὰ παρεθεὶς, σκώληκος δίκην

НБ ОНУ імені І.І. Мечникова

ταθεὶς κεῖται· ἢ ἄν τις θίγῃ, ἀκινητίζει οὐ μὴν ὡς ὅτε δρῦς ἢ ἀχερωίς, ἢ πίτυς βλωθρή, τανυσθείς.

Σ. 657. Ἀνέσαντες] Ἀναθέντες, ἀναβιβάσαντες. Σ.

Σ. 658. 659. Μετὰ δέ σφι πατὴρ κίε κ.τ.λ.] Ἀθετοῦνται ἀμφότεροι, ὅτι πλανηθείς τις ἐκ τοῦ, ὄφρα πατρὶ φίλῳ ἕπετο, ἔταξεν αὐτούς, ἵνα καὶ ὁ πατὴρ τὸν υἱὸν ὀδύρηται· οὐ λέγει δὲ νῦν ἕπετο, ἀλλ' ὅτι τὸ πρῶτον ἐκ τῆς πατρίδος παρεγίνετο· διὸ καὶ πρόσκειται τὸ εἰς Τροίην, οὐδ' αὖτις ἀφίκετο. Εἰ δὲ μένοιεν οἱ στίχοι οὗτοι, νοητέον ὁμωνυμίαν εἶναι. — Ζητεῖται πῶς ἀνωτέρω ἀνῃρημένος ὑπὸ Μενελάου ὁ Πυλαιμένης (Ε, 578.) τὰ νῦν δύναται ἀκολουθεῖν τῷ παιδὶ καὶ κλαίειν; Ἔστι δὲ λέγειν, ὅτι δύο Πυλαιμένεις, Παφλαγόνων ἡγεμόνας συνίστησιν ὁ ποιητής, ὡς Αἴαντας δύο καὶ Εὐρυβάτας δύο, κήρυκας, τὸν μὲν Ἀγαμέμνονος, τὸν δὲ Ὀδυσσέως. Ἔνιοι δὲ πιθανῶς μεταγράφουσι, μετὰ δέ σφι πατὴρ κίε (μετὰ δ' οὔ σφι πατὴρ κίε) δάκρυα λείβων. Σ. Β. — Τεθνηῶτος] Ἐπεὶ οὐχ ὁ πατὴρ τιμωρεῖ αὐτῷ, ἀλλ' ὁ Ἀλέξανδρος, χαλεπήνας ὑπὲρ τοῦ ἀνῃρημένου, Εὐχήνορα, τὸν Κορίνθιον ἀναιρεῖ. Σ.

Σ. 663. Εὐχήνωρ] Γενεαλογία δὲ τοῦ Εὐχήνορος αὕτη· Μελάμποδος υἱὸς, ὁ ἐν Ὀδυσσείᾳ Μάντιος, οὗ Κλεῖτος, οὗ Κοίρανος, οὗ Πολύειδος, οὗ Εὐχήνωρ, καὶ Κλεῖτος, οἱ Θήβας ἑλόντες σὺν τοῖς Ἐπιγόνοις, εἶτα εἰς Τροίαν ἔρχονται, καὶ θνήσκει μὲν Εὐχήνωρ ὑπ' Ἀλεξάνδρου. Ε.

Σ. 665. Εὖ εἰδώς] Οὐχ ὅμοιος τῷ Ἀχιλλεῖ ὁ Εὐχήνωρ εἴγε καὶ αὐτὸς εἰδώς, ὡς θανεῖται, ἦλθεν εἰς Τροίαν. Ἐκείνῳ μὲν γὰρ μὴ ἐλθόντι, ζῆν ἦν ἐπὶ μακρόν· Εὐχήνορι δὲ τὰ τοῦ θανάτου ἄφυκτα, κἂν οἴκοι ἔμεινεν. Ε.

Σ. 669. Θωὴν ἀλέεινεν] Ἵνα μὴ θωὴν καταθῆται ζημιωθεὶς ἐπὶ ἀστρατείᾳ. — Σημείωσαι δὲ, ὅτι ἀρχαιότατον ἦν ζημιοῦσθαι τοὺς ἀστρατεύτους. Ε.

Σ. 675. Νηῶν ἐπ' ἀριστερά] Ἐπ' ἀριστερὰ τοῦ Ἕκτορος, οὐ τοῦ στρατοῦ, εἰ γὰρ ἐπ' ἀριστεροῖς ἐστιν ἡ πύλη, δι' ἧς εἰσῆλθον, αὐτόπτης ἂν ἐγίνετο. Σ. Β.

Σ. 679. Ἀλλ' ἔχεν] Τουτέστιν ἐπεῖχε καὶ ἐπέμεινεν ἐνστατικῶς, ὅπου τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο, ἤγουν εἰσεπήδησε. Ε.

Σ. 684. Ζαχρηεῖς] Ἴδ. Ε, 525.

Σ. 685. Ἰάονες] Ἴωνες· λέγει δὲ τοὺς Ἀθηναίους ἀπὸ Ἰω-

НБ ОНУ імені І.І. Мечникова

νος τῆς Κρεούσης καὶ Ἐρεχθέως καὶ Ξούθου τοῦ Ἕλληνος. Σ. — Οἱ ἐν Πελοποννήσῳ Φθιῶται, οἱ ὑπὸ Ἀχιλλεῖ· Φθῖοι, οἱ ὑπὸ Πρωτεσιλάῳ καὶ Φιλοκτήτῃ. Σ. Β. — Ἰάονες] Ἄλλοι εἰσὶ παρὰ τοὺς Ἴωνας, Ἰάονες· φασὶ γὰρ Ἀνδροτίων, ὅτι στήλην ἔστησαν ἐπὶ Λακεδαίμονος διορίσαντες οὕτως· τάδ' ἐστιν οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰάονες. Ἴωνες δὲ ἐκ τοῦ ἑτέρου μέρους οὕτως· τάδ' ἐστιν οὐκ Ἰάονες, ἀλλὰ, Πελοπόννησος, ὥστε τοὺς μὲν ἔνθεν εἶναι, τοὺς δὲ ἐκεῖθεν. Σ. Β. (ἴδ. Ἀπολλόδ. σελ. 98). — Ἑλκεχίτωνες] Μέχρι γάρ φασι τῆς Περικλέους στρατηγίας ποδήρεις εἶχον χιτῶνας φοροῦντες καὶ τέττιγας· λέγει δ' ἐνταῦθα καὶ ὁ Γεωγράφος ἑλκεχίτωνας παρὰ τὸ ἐφέλκεσθαι τοὺς πέπλους, ὡς ζήλου τινός φησιν ὄντος τοῖς Ἕλλησι θηλυστολεῖν. Ε. — Βαθεῖς χιτῶνας ἔχοντες, ἄζωστοι. Σ.

Σ. 686. Φαιδιμόεντες] Ἐπιφανεῖς καὶ λαμπροὶ ταῖς πράξεσι. Σ.

Σ. 687. Σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον] Τὸ δὲ σπουδῇ, οἰκείως ἔχει καὶ πρὸς τὸ ἐπαΐσσοντα, ἵνα λέγῃ τὸν Ἕκτορα κατὰ σπουδὴν ὁρμᾷν καὶ πρὸς τὸ ἔχον, ἵνα νοῇ ὅτι σπουδῇ ἐκώλυον οἱ ἀριστεῖς τὸν Ἕκτορα· καὶ τὸ νεῶν δὲ διχῇ βαίνει, πρός τε τὸν ἐπαΐσσοντα, καὶ πρὸς τὸ ἔχον. Ε. — Ἡ διπλῆ, ὅτι τὸ σπουδῇ, ἀντὶ τοῦ μόγις καὶ δυσέργως ἀπὸ τῶν νεῶν αὐτὸν ἀπεῖργον, ἀπεῖχον. Σ. Β.

Σ. 689. Προλελεγμένοι] Ἀντὶ τοῦ ἐπιλέγδην προτεταγμένοι, ὡς πρωτοστάται. Ε.

Σ. 697. Γνωτόν] Ἤγουν ἀδελφὸν μητρυιῆς Ἐριώπιδος. Ε.

Σ. 700. Ναῦφιν] Ὑπὲρ τῶν νεῶν. Σ.

Σ. 703. Ἀλλ' ὥστ' — ἄροτρον] Πρὸς τρία ἡ παραβολή· πρὸς ὁμοψυχίαν τῶν δύο ἡρώων· πρὸς τὸ σύμπονον καὶ τὴν σύστασιν, εἰς ἣν καὶ συγκλείει τὴν παραβολήν. — Νειὸς δὲ, ἡ ἄρτι νεαζομένη γῆ· κατὰ δὲ τοὺς παλαιοὺς εἰπεῖν, ἀνανεουμένη· ἄλλως γὰρ εἰ προενεώθη, οὐκ ἂν οὕτως ἱδροῖεν οἱ βόες. Οἴνοπες δὲ βόες, οἱ οἰνώδεις ἰδεῖν, καὶ διὰ τοῦτο μέλανες, καθότι καὶ πόντον οἴνοπά φαμεν, τὸν μέλανα· (ἴδ. Α, 350.) — πηκτὸν δὲ καὶ νῦν λέγει ἄροτρον, ὡς τὸ αὐτόγυον, οἷα εἰκὸς, οὐκ εἰδώς· ἢ καὶ ὡς τὸ εὐποριστότερον λέγων· ἴσως δὲ καὶ τὸ πρωτοπαγὲς, ἢ μᾶλλον εὐπαγές. Ε.

Σ. 701. Τιταίνετον] Τὸ δὲ τιταίνετον κεῖται μὲν ἀντὶ τοῦ ἕλκουσι, δηλοῖ δὲ συντονίαν ἑλκυσμοῦ. Ε. — τείνουσιν, ἕλκουσι. Σ.

Σ. 705. Πρυμνοῖσιν κεράεσσι] Πρυμνὰ δὲ κέρατα, αἱ ῥίζαι

НБ ОНУ імені І.І. Мечникова

τῶν κεράτων. Ε. — Πρυμνοῖς δὲ, τοῖς παρὰ τὴν σάρκα. Σ. Β. — Ἀνακηκίει] Ἀναφέρεται. Σ. — Τὸ δὲ ἀνακηκίειν δηλοῦν ἁπλῶς τὸ ἀναδίδοσθαι καὶ ἔξω περὶ τὸν χροῦν ἐπιπολάζειν, παρὰ τὸ κίειν γίνεται, ἵνα ᾖ ἀνακίειν, καὶ διπλασιασμῷ, ἀνακακίειν, καὶ τροπῇ, ἀνακηκίειν. Ε.

Σ. 706. Ζυγὸν οἶον] Ἤγουν μόνον, ἐπισημασία ἐπὶ τῆς ὡς εἴρηται βραχυτάτης τῶν ἡρώων διαστάσεως ἧς χάριν ἡ παραβολή. Ε. — Ἀμφὶς ἐέργει] Διείργει, χωρίζει. Σ.

Σ. 707. Ὦλκα] Ὦλκα λέγει τὴν αὔλακα· τέλσον δὲ τὸ βάθος, ἢ τὸ πέρας τῆς γῆς, ὅπερ τέμνει τὸ ἄροτρον. Σ. Β. — τεμεῖ ἀντὶ τοῦ τέμνῃ. (ἴδ. Ἀπολ. σελ. 759).

Σ. 708. Παρβεβαῶτε] Παραβαίνειν, τὸ ἐγγὺς βαίνειν· ταυτὸν δ' εἰπεῖν, ἄγχιστα ἑστάναι· ἐξ οὗ καὶ ὁ ἐφ' ἅρματος παραιβάτης γίνεται. Ε.

Σ. 722. Συνεκλόνεον] Σ. συνεκλονέοντο· συνεταράσσοντο.

Σ. 726. Παραῤῥητοῖσι] Ἢ κατὰ γένος ἀρσενικὸν νοητέον, ἵνα λέγῃ, ὡς οὐ θέλεις πείθεσθαι τοῖς παραινοῦσιν, ἢ κατὰ οὐδέτερον, ἀντὶ τοῦ, οὐ πείθῃ παραμυθήμασι, παραφάσεσιν, ὃ καὶ κάλλιον. Ε. — ἐν καιρῷ ἀναμιμνήσκει τὸν Ἕκτορα τῆς ἰδίας συμβουλῆς· ἔλεγε γὰρ μὴ ἴωμεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν· ἀλλ' οὐκ ἄντικρυ αὐτῷ λέγει, ὅτι παρακούσας τῆς συμβουλῆς, ἐπάκωσας τὴν στρατιάν· ἀπήχθετο γὰρ τῷ βασιλεῖ καὶ φιλονεικώτερον αὐτὸν ἐποίει καὶ ἄλλως θρασὺν ὄντα. Εἰς πολλὰ οὖν τρέπει τὸν λόγον, τῇ γνωμολογίᾳ χρώμενος. Ἀμήχανος δὲ, ἀνίκητος, ἢ ἀπαραμύθητος τοῖς βουλομένοις σε πείθειν ἀμηχανίαν παρέχων· παραῤῥητοῖσι δὲ, παρηγορητικοῖς λόγοις, παραμυθήμασιν, ὑποθήκαις· οἱ δὲ, συμβούλοις. Σ. Β.

Σ. 727. Οὕνεκά τοι κ.τ.λ.] Ἐν ἐρωτήσει ὁ λόγος· πραγματικῶς δὲ ἐν ἑνὶ στίχῳ, θεοφίλειαν καὶ ἀνδρείαν αὐτῷ μαρτυρῶν, ἕτοιμον πρὸς πειθὼ ποιεῖ. Σ. Β.

Σ. 728. Περιίδμεναι ἄλλων] Καὶ τοῦτο τεχνικῶς· οὐ γὰρ ἀνδρεῖον μὲν, ἀνόητον δὲ αὐτὸν ἔφη· ἀλλὰ λεληθότως τὴν ἀνδρείαν εἰς ψόγον αὐτῷ τρέπει, αἰτίαν τοῦτο φάσκων τοῦ ἀπειθεῖν τοῖς ὀρθῶς συμβουλεύουσιν. Σ. Β.

Σ. 730. Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς κ.τ.λ.] Πάντα εἰς θεὸν ἀναφέρει ὁ ποιητὴς, καὶ δείκνυσιν, ὅτι αἱ ἀρεταὶ θεόσδοτοι· πιθανῶς δὲ τὸ μὲν ἐκείνου ἐν πρώτοις· δεύτερον δὲ τὸ ἴδιον πλεονέκτημα. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 731. Ὀρχηστὺν] Ὀρχηστὺν δὲ λέγει ἂν τὴν ἐπαινουμένην, ὁποία καὶ ἡ τῶν Περσῶν· περὶ ὧν ἱστορεῖται, ὅτι Πέρσαι, ὥσπερ ἱππεύειν, οὕτω καὶ ὀρχεῖσθαι ἐμάνθανον· νομίζοντες ἐντεῦθεν ἐμμελῆ τινα λαμβάνειν γυμνασίαν τῆς τοῦ σώματος ῥώμης. Λέγονται δὲ καὶ παρὰ βασιλεῖ Ἀντιόχῳ τῷ ἐπικληθέντι μεγάλῳ, ἐν τῷ δείπνῳ πρὸς ὅπλα ὀρχεῖσθαι οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς. Καὶ Πολυσπέρχων δέ φασιν οὐδενὸς Μακεδόνων δεύτερος οὔτε τὴν στρατηγίαν, οὔτε τὴν ἀξίωσιν, ὠρχεῖτο, καίτοι πρεσβύτερος ὤν. Ἦν δὲ πολεμικὴ ὄρχησις καὶ ἡ πυῤῥίχη, ἣν ἔνοπλοι παῖδες ὠρχοῦντο, κληθεῖσα ἀπὸ Πυῤῥίχου ἀνδρὸς Λάκωνος, καὶ παραμείνασα μέχρι πολλοῦ ἐν Λακεδαίμονι, καλουμένη καὶ χειρονομία. — Ἰστέον δὲ, ὅτι ἐν τῷ, ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα, προσγράφει κατὰ τοὺς παλαιοὺς ὁ Μαλλώτης Ζηνόδοτος, καὶ τοῦτον τὸν στίχον· ἄλλῳ δ' ὀρχηστὺν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν. Δῆλον δ' ὡς ἀχρεῖοι τὸ ἔπος τοῦτο τὴν Ὁμηρικὴν ἔννοιαν, ἧς ὁ σκοπὸς εἷς καὶ μόνος, ἀνδρίαν συγκρίναι καὶ φρονήσει· μᾶλλον δὲ τὸν ἀνδρεῖον Ἕκτορα τῷ σοφῷ Πολυδάμαντι. Ε.

Σ. 734. Ἀνέγνω] Τὸ δὲ ἀνέγνω Ἴωνες μὲν καὶ ἐπὶ πειθοῦς τιθέασιν· Ὅμηρος δὲ νῦν ἀντὶ τοῦ ἔγνω, ᾔσθετο, ἐπαυρίσσουων δηλαδὴ τοῦ καλοῦ. Ε. — ἐξαιρέτως δὲ καὶ αὐτὸς ἐγνώρισε τὸ τῆς συνέσεως ἀγαθόν. Σ. — Πόλεις ἐσάωσεν] Ἤτοι πολλοὺς ἀνθρώπους, ἢ καὶ ἄλλως πολεῖς ἐσάωσεν, ἀμφοτέρως γὰρ γράφεται. Ε.

Σ. 736. Πάντῃ γάρ σε πέρι στέφανος κ.τ.λ.] Στέφανον ἐνταῦθα ἔφη ὁ ποιητὴς ὡς ἐπὶ κύκλου· ἀγωνιστικὸν δὲ οὐκ οἶδε στέφανον ἢ συμποτικόν. Τὸ δὲ στέφανος δέδηεν, ἣν ἂν κακόζηλον, εἰ μὴ τὸ πολέμου προσέκειτο· στέφανος μὲν γὰρ ἁπλῶς οὐκ ἐκκαίεται. Ε. — Πανταχόθεν γάρ σε περιεκυκλώσαντο οἱ πολέμιοι. Σ.

Σ. 742. Ἐνὶ νήεσσι—πέσωμεν] Ἐμπέσωμεν, εἰσέλθωμεν. Σ.

Σ. 745. Ἀποστήσωνται] Τὸ δὲ ἀποστήσωνται τὸ χθιζὸν χρέος, τινὲς μὲν γράφουσιν ἀποτίσωνται, οὐκ ἀρέσκονται δὲ οἱ σοφοὶ, ἀλλὰ θέλουσιν εἶναι ἀποστήσωνται, ἀντὶ τοῦ ἀποσταθμήσωσιν, ἤγουν σταθμῷ ἀποδώσουσιν ἢ λήψονται· καὶ ὅπερ ἡμεῖς χθὲς νικῶντες ἐλάβομεν, αὐτοὶ σήμερον εἰσπράξονται· γίνεται δὲ ἡ λέξις παρὰ τὸ ἱστᾶν τὰ ἐπὶ τοῦ ζυγοῦ λεγόμενον. Ε. — Ἀποτίσωνται χρεῖος· μήπως τὴν χθεσινὴν ἧτταν ἀποδώ-

НБ ОНУ імені І.І.Мечникова

σουσιν ἡμῖν οἱ Ἕλληνες, ὥσπερ σταθμῷ δεδανεικότες. Μηδέπω γὰρ νομισμάτων ὑπαρχόντων, σταθμῷ ἐδάνειζον οἱ ἀρχαῖοι χρυσίον καὶ ἀργύριον καὶ τὰ παραπλήσια. Σ. (Ἴδ. Ἀπολλόν. σελ. 748).

Σ. 746. Ἀνὴρ ἆτος] Ὅ ἐστιν ἀκόρεστος πολέμοιο· ὅρα ὡς ὤκνησεν ὁ Πολυδάμας εἰπεῖν τὸ τοῦ Ἀχιλλέως ὄνομα, πρός τε θεραπείαν Ἕκτορος, καὶ ὅτι μισεῖ καὶ αὐτὸς τὸν ἥρωα, ὡς δεινὸν πολέμιον. Ε.

Σ. 748. Ἄδε δὲ Ἕκτορι] Τοῦ δὲ ἅδεν, ἤγουν ἤρεσε, συστέλλεται μὲν ἡ παραλήγουσα, τὸ δὲ αὐτῆς πνεῦμα, οὐ πάνυ δῆλον· δύναται γὰρ καὶ δασύνεσθαι ἀπὸ τοῦ ἥδω, ἵνα δηλοῖ τὸ ἡδὺς ἔδοξε, καὶ ψιλοῦσθαι δὲ, ὡς ἀπὸ τοῦ ἀδεῖν, ὅ ἐστιν ἀρέσκειν· ἀμφοτέρως δὲ τὸ τοιοῦτον ῥῆμα δεύτερός ἐστιν ἐνεργητικὸς ἀόριστος. Ε.

Σ. 754. Ὄρεϊ νιφόεντι ἐοικὼς, — πέτετο] Δύο μίξας παραβολάς· καὶ ὅρα ὡς ἐκ βαρυτάτου σώματος καὶ ἀκινήτου τοῦ ὄρους δηλαδὴ, εἰς πτηνὸν μετεωρίζει τὸν Ἕκτορα διὰ τοῦ πέτετο· ἐκεῖνο μὲν, διὰ τὸ μέγεθος τοῦ ἥρωος καὶ τὸ ὑπερφαίνεσθαι τῶν λοιπῶν· τοῦτο δὲ, διὰ τὸ ταχὺν εἰς μάχην εἶναι καὶ κοῦφον ὁπλίτην. Ε.

Σ. 755. Κεκληγὼς] Τὸ κεκληγὼς ἐπὶ ὀρνέων κυριολεκτεῖται· ἀφ᾽ οὗ λαβὼν ἀφορμὴν, ἐπήγαγε τὸ ἐπέτετο. Ε.

Σ. 756. Ἀγαπήνορα] Ὅ ἐστι εἰ καὶ οἴδασιν αἱ ἱστορίαι Ἀγαπήνορά τινα ἥρωα, ἀλλ᾽ ἐνταῦθα ἐπίθετόν ἐστι Πολυδάμαντος. Ε. — Ἀγαπῶντα τὴν ἀνδρίαν, πολεμικόν. Σ. — Τὸν διὰ τὴν οἰκείαν ἀνδρείαν ἀγαπώμενον. Σ. Β.

Σ. 761. Ἀπήμονας] Ἀβλαβεῖς, ἀσινεῖς. Σ.

Σ. 764. Βεβλημένοι οὐτάμενοί τε] Ἀντὶ τοῦ, οἱ μὲν ἀπὸ μήκους βεβλημένοι δόρατι ἢ ἰῷ· οἱ δὲ ἐκ τοῦ ἐγγὺς τετρωμένοι ξίφει, ἢ τινι τοιούτῳ. Σ.

Σ. 765. Ἐπ᾽ ἀριστερά] Ὅτι τοῦ ναυστάθμου ἀριστερὰ λέγει. — ἀριστερὰ μὲν τοῦ Ἕκτορος, δεξιὰ δὲ τοῦ τείχους. Σ. Β.

Σ. 766. Ἑλένης πόσιν] Τὸν τέως ἔχοντα αὐτὴν πόσιν λέγει· διὸ Μενέλαον οὐδέποτε πόσιν αὐτῆς καλεῖ. Σ. Β.

Σ. 768. Αἰσχροῖς ἐπέεσσι] Ὡς αἴτιον τῆς μάχης, καὶ ἐπεὶ δι᾽ αὐτὸν ὁ τῶν ἀρίστων κίνδυνος. Ἔχει δὲ ἦθος ὁ λόγος· αὐτὸς γὰρ μᾶλλον αἴτιος τῆς ἐκείνων ἀπωλείας γεγονὼς, ὡς ἀναγκάσας αὐτοὺς διαβῆναι τὸ τεῖχος, ἄλλῳ τὴν αἰτίαν ἀναφέρει, ὅ-



НБ ОНУ імені І.І. Мечникова

περ ἴδιον τῶν δυσχεραινόντων καὶ τὰ ἴδια ἁμαρτήματα μετατιθέντων, ὃ καὶ ἐξελέγχει ὁ Πάρις ἐν τῇ ἀποκρίσει. Σ. Β.

Σ. 769. Δύσπαρι] Ἴδ. Γ, 39.—Μέμφεται τὸ κάλλος αὐτοῦ, οὐχ ὡς κακὸν, ἀλλ' ὡς αἴτιον κακοῦ. Σ. Β.

Σ. 772. Κατ' ἄκρης] Ἕως τῆς ἀκροπόλεως. Σ. Β. — Νῦν ὤλετο — νῦν τοι σῶς αἰπὺς ὄλεθρος] Κάλλους εἰσὶ κατ' ἐπαναφορὰν σχήματα· ἐπίτηδες τοῦ ποιητοῦ τὸ σκυθρωπὸν τοῦ χωρίου παραμυθησαμένου σχήμασιν ἱλαροῖς. Ε.

Σ. 773. Σῶς αἰπὺς ὄλεθρος] Νῦν οὐδὲν ἐλλείπει σοι πρὸς ἀπώλειαν. Σ.

Σ. 776. Ἄλλοτε] Ἐν ἄλλῳ καιρῷ.—Ἐρωῆσαι πολέμοιο μέλλω] Ἔοικα ἠμεληκέναι τοῦ πολέμου. Σ. — Ἐξ ὅτου παρώρμησας τοὺς ἑταίρους ἐπὶ ταῖς ναυσίν· ἠρέμα δὲ ἐλέγχει, ὅτι ἐκεῖνος ἀναίτιος ἀναγκάσας ἐλθεῖν· σαφῶς δὲ ἐλέγχειν οὐ δύναται. Σ. Β.

Σ. 779. Ὁμιλέομεν] Ἤγουν ὁμόσε κατὰ πολεμικὰς ἴλας αὐτοῖς γινόμεθα. Ε.

Σ. 782. Οἴχεσθον] Τὸ δὲ οἴχεσθον σαφῶς καὶ ἐνταῦθα διαστέλλεται τοῦ λεγομένου ἐπὶ θανάτῳ· φησὶ γὰρ, ὡς οἱ μὲν ἄλλοι κατέκταθεν, Δηίφοβος δὲ καὶ Ἕλενος οἴχονται ζῶντες, διὸ ἐπάγει· φόνον δ' ἤμυνε Κρονίων. Ε.

Σ. 793. Ἐξ Ἀσκανίης] Ἴδ. Β, 863. —Ἀμοιβοί] Ἤτοι ἐ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσὶν, ἀντὶ τοῦ τῶν πρότερον συνεργούντων αὐτοῖς πολιτῶν· διὰ γὰρ τὸ ἐπὶ δέκα ἔτη τὸν πόλεμον ἀνύεσθαι, οἱ πρῶτοι κεκμηκότες κατὰ μάχην, ἰσαρίθμων αὐτοῖς ἄλλων ἀποστελλομένων ἀπεπέμποντο, ὡς εἰκὸς, ἐξ ἀμοιβῆς ἀμύνοντες, ἢ οἱ ἀμοιβὴν ἀποδιδόντες τῷ Πριάμῳ· — ἢ ἀμοιβοὶ, πεζοί· διὰ γὰρ τῆς ἀμοιβῆς τῶν ποδῶν γίγνεται τῶν πεζῶν ἔφοδος. Σ. — Ὅτι σεμνὸν τοῖς Ἀχαιοῖς καὶ τὸ αὐτοὺς μὲν μὴ χρᾶσθαι διαδοχῇ τινι βοηθείας ἐξ Ἑλλάδος τοῖς δὲ Τρωσὶ γίνεσθαι διαδοχὰς ἐπικούρων. Ε.

Σ. 795. Οἳ δ' ἴσαν κ.τ.λ.] Ὅτι ἐπαινεῖται καὶ ἐνταῦθα παραβολὴ ἐν τοῖς μάλιστα· —δηλοῖ δέ, φασιν, ἡ παραβολὴ τὴν πολλὴν καὶ σφοδρὰν καὶ συνεχῆ καὶ μετὰ ἤχου τῶν πολεμίων ἐπέλευσιν. Ε.

Σ. 796. Ὑπὸ βροντῆς] Ἤγουν σὺν ἀερίᾳ βροντῇ εἶσι πέδονδε Ε. — ἀντὶ τοῦ μετὰ βροντῆς. Σ. — Μετὰ βροντῆς ἐπιφέ-

НБ ОНУ імені І.І. Мечникова

ρεται μὲν ὡς ἐπὶ τὸ πέδον· ἀποσκήπτει δὲ εἰς θάλασσαν, ὃ καὶ καλεῖται σκηπτόν. Σ. Β.

Σ. 798. Παφλάζοντα] Ἠχοῦντα, ἀναζέοντα. Σ. — ἐν τῷ ἀναζεῖν ἠχοῦντα. Σ. Β. — Φασὶν οἱ παλαιοὶ, ὅτι τε φύσιν κυμάτων ἐνδείκνυται, ἃ ὑπὸ ἀνέμοις ἐγείρονται· καὶ τῇ τῶν λέξεων τραχύτητι τὸν ἦχον μιμεῖται· κοσμεῖ δέ φασιν αὐτὴν καὶ τὰ ὁμοιοκατάληκτα· — καὶ ἔχει δὲ καὶ χάριν ἰδίαν τὰ ὀνόματα· τὸ παφλάζοντα, πρὸς τὸν ἦχον· τὸ κυρτὰ, πρὸς τὸ πολὺ τοῦ ὄγκου· τὸ φαληριόωντα, πρὸς τὸ χρῶμα. Ε. — Πολυφλοίσβοιο] Ἴδ. Α, 34.

Σ. 799. Κυρτά] Ὑψηλά. Σ. (Ἴδ. Δ, 425. 26). — Φαληριόωντα] Λευκανίζοντα, τουτέστιν λευκαινόμενα ὑπὸ ἀφροῦ. Σ. — φάλιον γὰρ τὸ λευκόν. Ε. — Πρὸ μέν τ' ἄλλα] Τουτέστιν ἔμπροσθεν μὲν, ἄλλα· ἐπὶ δ' αὐτοῖς ἄλλα· ὅπερ ἐξήγησίς ἐστι τοῦ, πολλὰ κύματα. Ε. — ἄλλα πρὸ ἄλλων, τουτέστιν ἐπάλληλα, πυκνά. Σ.

Σ. 804. Ἐπελήλατο] Ἐπικατεσκεύαστο. Σ.

Σ. 806. Προποδίζων] Ἴδ. στ. 158.

Σ. 807. Προβιβῶντι] Δι' ὧν οὐ πάνυ σφοδρὰ δηλοῦται κίνησις Ἕκτορος, ὁποία τις εὐθὺς δηλοῦται κατωτέρω ἐν τῷ, μακρὰ βιβάσθων, ὅ φησιν ἐπὶ Αἴαντος. Ε.

Σ. 810. Δειδίσσεαι] Τὸ δὲ δειδίσσεσθαι οἱ μεθ' Ὅμηρον καὶ παθητικῶς λέγουσιν, ἵνα ὥσπερ ὁ αἰκιζόμενος καὶ ὁ αἰτιώμενος καὶ ὁ μεμφόμενος, οὕτω καὶ ὁ δειδισσόμενος διχῶς νοεῖται, δηλῶν ποτὲ μὲν τὸν ἐκφοβοῦντα, ποτὲ δὲ τὸν φοβούμενον. Ε. — εἰς δέος ἄγεις, ἐκφοβεῖς. Σ.

Σ. 812. Διὸς μάστιγι] Τῇ Διὸς πληγῇ, τῷ κεραυνῷ. Σ. — τὴν θεομηνίαν φησί. Ε.

Σ. 814. Ἄφαρ] Ῥαδίως· — εἰσὶ δὲ χεῖρες καὶ ἡμῖν, ὥστε ἀμύνειν ἢ εἰσὶ καὶ ἡμῖν χεῖρες, ὥστε ἄφαρ ἀμύνειν. Σ. Β. (Ἴδ. Α, 594).

Σ. 815. Ὑμή] Τὸ δὲ ὑμὴ, ὅπερ εἰς ῥητορίαν οὐκ εὔχρηστον, εὕρηται καὶ αἰτιατική· ἔτι δὲ καὶ οὐδέτερον ἐν τῷ, ὑμὰ κτήματ' ἔδοντες (Ὀδυσσ. Α, 375.) Ε.

Σ. 820. Κονίοντες] Ἔστι δὲ κονίειν πεδίον, τὸ διὰ τῆς πεδιάδος κόνιν ἐγείρειν, ἐν τῷ σπουδαίως θέειν. Ε.

Σ. 821. Δεξιὸς ὄρνις] Αἴσιον δὲ κἀνταῦθα σημεῖον τὸ δεξιόν. Ε.

Σ. 824. Ἁμαρτοεπές] Ἁμαρτάνων τοῦ σκοποῦ τῶν λόγων. Σ. — Ἁμαρτοεπὴς, ὁ ψεύστης· καὶ τῶν βελτίστων λόγων ἀφα



НБ ОНУ імені І.І.Мечникова

μαρτάνων. Ε. — Βουγάϊος δὲ, ἢ ὁ δυσκίνητος καὶ μὴ ποδώκης, ἀλλ' οἷον βοῦς τις πονῶν περὶ γῆν· ἢ ὁ ἐπὶ βοῒ ἤτοι ἀσπίδι γαίων· — ὅτι δὲ, καθάπερ ὁ ἵππος, οὕτω δὴ καὶ ὁ βοῦς πολὺ μέγεθος παρεμφαίνει ἐν ταῖς συνθέσεσι, δηλοῖ καὶ ἡ βοῦ ἐπίτασις, ἣν ἐκ τοῦ ζώου τούτου εἰλῆφθαι λέγουσιν· ἐξ ἧς ἐπιτάσεως καὶ ἡ βούβρωστις, καὶ ἡ βούπεινα, καὶ ὁ βούλιμος, καὶ ὁ βουθοίνας καὶ ὁ βούπαις· — ἐπιτυχὴς δὲ μάλιστα ἐν τοῖς ἑρμηνεῦσιν ὁ μεταλαβὼν τὸν βουγάϊον εἰς βόσκημα ἀναίσθητον· ὅτι δὲ καὶ εἰς ἀναισθησίας σκῶμμα λαμβάνεται ὁ βοῦς, δηλοῖ καὶ ὁ παρὰ Μενάνδρῳ βοΐδης, ὅ ἐςι πρᾶος, εὐήθης. Ε. — Μεγάλως ἐπὶ σ' αὐτῷ ἀγλαϊζόμενε καὶ γαυριῶν, ἢ βουεργέτα. Σ.

Σ. 825. Διὸς πάϊς] Εἴθε ἦν γενέσθαι μοι τὸ πάντη ἀδύνατον, ἤγουν τὸ Διὸς εἶναι παῖδα, ὡς ὁμολογουμένως ἔσται τοῖς Ἀργείοις κακὸν σήμερον. Ε.

Σ. 829. Πεφήσεαι] Τὸ δὲ πεφήσεαι, ὃ χρόνου μέν ἐςι μετ' ὀλίγου μέλλοντος, δηλοῖ δὲ τὸ φονευθήσῃ, ἀπὸ τοῦ φῶ φήσω γίνεται, ἀφ' οὗ καὶ τὸ φάζειν· ὅθεν καὶ τὸ πεφασμένος καὶ τὸ σφάζειν. Ε. — Ταλάσσης] Ὃ ἐςι τλήσῃ. Ε.—τλῇς, ὑπομείνῃς. Ε.

Σ. 830. Χρόα λειριόεντα] Λειριόεις δὲ χροῦς ἐνταῦθα σκωπτικῶς εἴρηται, ὁ ἐσκιατραφημένος καὶ ἀνθηρὸς διὰ τὸ ἐκ βάρους ἀγύμναστον τοῦ ἥρωος. Ε. — εὐανθῆ, τρυφερὸν ἢ λιπαρόν. Σ.

Σ. 831. Δάψει] Διακόψει, τρώσει. Σ.

Σ. 837. Διὸς αὐγάς] Ὅ ἐστιν ἡλίου, κατὰ τοὺς παλαιούς. Ε. —Διὸς αὐγὰς λέγει τὸν οὐρανόν. Σ. Β.

НБ ОНУ імені І. І. Мечникова

# ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ

## ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Ξ.

Σ. 1. Οὐκ ἔλαθεν] Τὸ οὐκ ἔλαθε, τὴν ἐκ προαιρέσεως ἀμέλειαν ἀποφάσκει· λέγοντος Ὁμήρου, ὡς οὐκ ἀμελῶς τῶν εἰς μάχην εἶχεν ὁ Νέστωρ, εἰ καὶ ἔπινεν· — ἀποσεμνύνει δ' ἐνταῦθα τὸν Νέστορα ὁ ποιητής, ὅς καὶ ἐν καιρῷ ἀνέσεως πάνυ προσεκτικὸν ὄντα. Ε. — Ἐζήτηται δὲ, πῶς ὁ Νέστωρ ἐπὶ τοσοῦτον πίνει χρόνον, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων τῆς λάμβδα (στ. 617.) καὶ ῥητέον, ὅτι οὐ τοσοῦτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηρος κατὰ παρέκτασιν ἀπαγγείλας τὰς πράξεις, βουληθείς τε ἐπὶ τὸν Νέστορα ἐπανελθεῖν, ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο, ἥν περ αὐτὴν κατέλιπε ποιοῦντα. Σ.

Σ. 6. Ἑκαμήδη] Ἴδ. Λ, 623. — Ὅρα δὲ, ὡς καὶ ἐνταῦθα γυνὴ λουτροῖς ὑπηρετεῖ ἀνδρῶν, ὃ καὶ ἡ Ὀδύσσεια δηλοῖ· καὶ ὅτι μετὰ βρῶσιν γίνεται λουτρὰ τῷ Μαχάονι. Ε.

Σ. 7. Βρότον] Ἴδ. Η, 425.

Σ. 8. Εἴσομαι εἰς περιωπήν] Ὅ ἐστι γνώσομαι· ἔλλειψιν ἔχει τοῦ, τίς ἡ βοὴ, ἢ ἑτέρου τινὸς τοιούτου. Ε. — Περιωπήν] Τόπον ὑψηλὸν, ἐξ οὗ περιωπίσασθαι καὶ περιβλέψαι ἐστὶ πάντα. Σ. — λέγει δὲ ἢ κρημνόν τινα, ἢ πρύμναν νέως. Σ. Β.

Σ. 9. Τετυγμένον] Λείπει τὸ εὖ. Σ. Β.

Σ. 11. Ἀσπίδα πατρός] Πιθανῶς ὁ νέος εἰσῆκται, κεχρημένος τῇ χρυσῇ ἀσπίδι· προείρηκε γὰρ περὶ αὐτῆς ὁ ποιητής. (Ἴδ. Θ, 191). Σ.

Σ. 12. Ἀκαχμένον] Ἐστομωμένον, ὠξυμμένον. Σ.

Σ. 13. Στῆ δ' ἐκτὸς κλισίης] Δαιμονίως τὴν ἔπειξιν τοῦ

НБ ОНУ імені І.І. Мечникова

πρεσβύτου παρέστησεν· οὐ γὰρ προσωτέρω προελθὼν περισκοπεῖ, ἀλλ᾽ ἅμα τῷ τῆς σκηνῆς ἐκτὸς γενέσθαι· ἦσαν γὰρ ἔγγιστα· τάχα δὲ, τὸ ταχέως. Σ. Β. —Ἀεικές] Ἀπεοικὸς, ἀπρεπές. Σ.

Σ. 14. Ὀρινομένους] Ταρασσομένους. — Κλονέοντας] Ταράσσοντας. Σ.

Σ. 15. Ἐρέριπτο] Κατεβέβλητο, κατήριπτο· ἔστι δὲ ῥῆμα ἐρίπτω, ὃ σημαίνει τὸ πίπτω· ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἢ ἀχερωΐς· (στ. 389.) σημαίνει δὲ καὶ τὸ καταβάλλω, (Ο, 356; ἐκ τοῦ ἐρείπων, ἐρίπτων. Σ. Β.) οὐ γίγνεται παθητικὸν ἐρίπτομαι, ἀντὶ τοῦ καταβάλλομαι· καὶ ἤριμμαι παθητικὸς παρακείμενος, καὶ ἠρίμμην ὑπερσυντελικός· ἤριπτο, καὶ Ἀττικὸς ἀναδιπλασιασμὸς ἐρήριπτο, καὶ κατὰ συστολὴν ἐρέριπτο. Σ. — Ἐρέριπτο, τουτέστιν ἔῤῥιπτο, ἢ μᾶλλον κεχάλαστο, ἀπὸ τοῦ ἐρείπω· διὸ καὶ μετ᾽ ὀλίγα κατερήριπε τεῖχός φησιν· ὅπερ ἐστὶ τοῦ ἐρείπω μέσος παρακείμενος· συστέλλων καὶ αὐτὸς ἀττικῶς τὴν τρίτην συλλαβὴν ὁμοίως τῷ ἐρήριπτο, καὶ τῷ ἀλήλιφε καὶ ἐρηρότηκε, καὶ τοῖς ὁμοίοις. Ε.

Σ. 16. Μέγα κύματι] Τὸν Νέστορα ἐν συννοίᾳ ὄντα, καὶ τῇ σκέψει ἐμμένοντα καὶ ἐπέχοντα πρὸς κῦμα εἰκάζει, ὃ πρὸ ἐμβολῆς ἀνέμου ἀργὸν ἕστηκε.— Πορφύρῃ] Πορφύρειν δὲ τὸ μελαίνεσθαι, ὅθεν καὶ κῦμα πορφύρεον καὶ πορφύρεος θάνατος. Ε. — Μελανίζῃ· εἴωθεν δὲ, ὅταν ἀρχὴν λαμβάνῃ κινήματος ἡ θάλασσα, μελανίζειν· διὸ μεταφέρει ἐπὶ τοὺς κατὰ ψυχὴν μεριμνῶντας καὶ ταρασσομένους. Σ. Β. — Κύματι κωφῷ] Κῦμα δὲ κωφὸν, τὸ μήπω ὕπαφρον καὶ παφλάζον, ὡς καὶ ἦχον ποιεῖν ἀκουστόν· καθάπου κωφὸν βέλος, τὸ ἀῤῥοιζον· κωφὰ δὲ τὰ τοιαῦτα, ὡς μὴ ἐνεργοῦντα εἰς ἀκοήν· — ἔστι δὲ καθ᾽ Ὅμηρον κῦμα κωφὸν, τὸ πορφύρον αὕτως, καὶ πρὸ ἀνέμων ἐγειρόμενον, καὶ οὐδετέρωσε προκυλινδόμενον. Ε.

Σ. 17. Ὀσσόμενον] Ἢ τὸ προορῶν, ὡς εἴπερ αἰσθητικὸν ἦν, ἢ τὸ προμαντευόμενον· σημεῖον γὰρ ὄντως ἀνέμου τὸ τοιοῦτον. Ε. — Λαιψηρά] Ταχέα. Σ. — Κέλευθα] Τὰς θαλασσίας ὁρμάς. Σ.

Σ. 18. Αὕτως] Νῦν ἀπράκτως. Σ.

Σ. 19. Κεκριμένον οὖρον] Ὁ αὐτός ἐστι τῇ εὐκρινεῖ αὔρᾳ, ἧς χρῆσις καὶ παρὰ Ἡσιόδῳ, ἐν τῷ, εὐκρινέες αὖραι, αἷς ἐναντίαι εἰσὶν αἱ συγκεχυμέναι καὶ ἄτακτοι· ἐπεὶ καὶ ἐναντίον τὸ

НБ ОНУ імені І.І.Мечникова

εὐκρίνειν καὶ τὸ συγχέειν. Ε. — ἀφωρισμένον, ἢ στερεὸν καὶ σφοδρόν. Σ. — ἀπλανῆ, σταθηρόν. Σ. Β.

Σ. 20. Δαϊζόμενος] Διχῆ μεριζόμενος τῷ σκέμματι τὸν λογισμὸν, τουτέστιν, ἐπὶ πολλὰ τὸν λογισμὸν μεταφέρων διασκοπούμενος. Σ.

Σ. 23. Δοάσσατο] Ἔδοξε. Σ. (ἴδ. στ. 458.).

Σ. 24. Βῆναι ἐπ' Ἀτρεΐδην] Ἐπεὶ δὲ οὐκ ἦν εὔπλαστον, περιιέναι τὸν γέροντα, καὶ ζητεῖν, ποῦ ὁ βασιλεὺς, ποιεῖ ἐκεῖνον συναντῶντα τούτῳ ἐν τοῖς ἑξῆς, ὡς οὐδὲ αὐτὸν ἥσυχα ἐν ταῖς σκηναῖς ἐθέλοντα. Ε.

Σ. 25. Λάκε] Ἴδ. στ. 616.

Σ. 26. Ἀμφιγύοισι] Ἴδ. Ν, 147. — σταδαία γὰρ ἦν ἡ μάχη καὶ τὸ ἔργον ἀγχέμαχον. Ε.

Σ. 27. Ξύμβλητο] Συνέτυχον. Σ. — συμβαλέσθαι ἀντὶ τοῦ συναντῆσαι· — παρὰ δέ γε τοῖς ὕστερον, ξυμβαλέσθαι ἐστὶ τὸ νοῆσαι· ὧν, συνεβάλετο τὸν χρησμὸν, ἤγουν, ἔγνω, τί βούλεται ὁ χρησμός· λέγουσι δὲ συμβαλέσθαι καὶ τὸ λυσιτελῆσαι· ὅθεν ἀξύμβολος, ὁ εἰς μηδὲν χρήσιμος· ἔτι δὲ ξυμβαλέσθαι ἦν καὶ τὸ συνεισαγαγεῖν τι πρὸς δαπάνην· ὅθεν καὶ δεῖπνον ἀξύμβολον, τὸ δωρεὰν καὶ εἰς ὃ οὐ ξυμβέβληταί τι πρὸς τοῦ κληθέντος. Ε.

Σ. 28. Πὰρ' νηῶν] Ἀντὶ τοῦ ἀπὸ τῶν νηῶν. Σ. — δηλαδὴ ἀπὸ τῶν πρὸς τῇ θαλάσσῃ νηῶν ἐπὶ τὰς πορρωτέρω περὶ ἐς τὸ τεῖχος. Ε.

Σ. 30. Εἰρύατο] Τουτέστιν εἱλκυσμέναι ἦσαν νῆες θῖν' ἐφ' ἁλὸς πολιῆς. Ε.

Σ. 31. Τὰς γὰρ πρώτας] Ἤγουν ταύτας, ὅσαι πρῶται ἤγγισαν τῇ γῇ ἐν τῷ ἐξ ἀρχῆς κατάπλῳ πρώτας πεδίονδε εἴρυσαν οἱ Ἀχαιοὶ δηλαδή· οὓς διὰ τὸ πάντῃ φανερὸν ἐσίγησεν ὁ ποιητής. Ε.

Σ. 34. χαδέειν] Ὅ ἐστι χωρῆσαι καθ' ἕνα στίχον. Ε.

Σ. 35. Προκρόσσας ἔρυσαν] Ὅτι προκρόσσας τὰς κλιμακηδὸν νενεωλκημένας ἑτέρας πρὸ ἑτέρων, ὥστε θεατροειδὲς φαίνεσθαι τὸ νεώλκιον· κρόσσαι γὰρ αἱ κλίμακες. Σ. Β. — προκρόσσας δὲ Ὅμηρος λέγει τὰς οὕτως ὡρμισμένας νῆας, ὡς κλιμακηδὸν οἷον ἱσταμένας διὰ τὸ ὑψηλὸν τοῦ τόπου.

Σ. 36. Ὅσον συνεέργαθον ἄκραι] Ὅσον ἦν διάστημα, ὃ συνέκλειον καὶ συνεδέσμουν αἱ τοῦ Ἑλλησπόντου ἄκραι τὸ Ῥοί-

НБОНУ імені І.І. Мечникова

τειον καὶ Σίγειον. Σ. — Ὅσον περιεῖχον καὶ συνέκλειον ἐντὸς ἄκραι ἤτοι ἀκρωτήρια, ἢ τὰ τοῦ ναυστάθμου κέρατα· — μεταξὺ δὲ τῶν δύο τούτων στίχων, αἱ σκηναὶ, τὰ ἱπποστάσια, οἱ βωμοὶ, αἱ ἀγοραὶ, καὶ εἴ τι τοιοῦτον. Ε. — Ἠϊόνος στόμα] Τὴν ἀρχὴν, τὴν εἰσβολὴν τοῦ αἰγιαλοῦ. Σ. — Ὅτι ᾧ λόγῳ στόματα λέγεται ποταμῶν, ἔνθα ἐκεῖνοι εἰς θάλασσαν ἐρεύγονται, οὕτω καὶ στόμα θαλάσσης ἔνθα ἐκείνη ἀποπτύει συνήθως ἄχνην. Ε.

Σ. 37. Ὀψείοντες] Ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες· φασὶ γὰρ οἱ παλαιοὶ, ὡς τὰ τοιαῦτα ῥήματα ἔφεσίν τινα δηλοῦσι, καὶ τὸ ἐπιθυμητικῶς τινος ἔχειν· ὅθεν καὶ βρωσείω, τὸ βρωτικῶς φασιν ἔχω, καὶ κακκείοντες, οἱ κοιμητικῶς ἔχοντες· σημειοῦνται δὲ, καὶ ὡς οἱ τοιοῦτοι ἐνεστῶτες οὐ προχωροῦσιν εἰς μέλλοντας. Ε. — Ἡ δὲ παραγωγὴ αὕτη διὰ τοῦ σειω γίνεται ἀπὸ ἐνεστώτων, ἢ μελλόντων, ὀκνῶ ὀκνείω, ῥιγείω, θαλπείω, πολεμισείω, βρωσείω· κλίνεται δὲ ἕως παρατατικοῦ. Σ. Β. — θέλοντες ἰδεῖν. Σ.

Σ. 38. Ἄγνυντο] Διὰ τὸ ὡς ἐῤῥέθη, βεβλῆσθαι. Ε.

Σ. 40. Πτῆξε δὲ θυμόν] Τουτέστιν ἐθρόησεν, ἐξεφόβησεν, ἢ ὡς ὁ Σιδώνιος καὶ ὁ Ζηνόδοτος γράφει, πῆξε, τουτέστι πεπηγέναι οἷον τῷ δέει ἐποίησε· — σημείωσαι δὲ, ὅτι τε τὸ πτῆξε κατὰ ἀλλοπάθειαν ἔφη, ἀντὶ τοῦ εἰς πτοίαν ἐκίνησεν, οὐ μὴν κοινότερον αὐτοπαθῶς, ἀντὶ τοῦ ἐπτοήθη. Ε.

Σ. 45. Ὥς ποτ'] Σημείωσαι ὅτι τὸ ποτὲ καὶ ἐνταῦθα οὐκ εἰς μακρὸν ἀναφέρει χρόνον, ἀλλὰ τὸ χθὲς δηλοῖ. Ε. (ἴδ. Θ, 497.).

Σ. 50. Βάλλονται] Ἀντὶ τοῦ βάλλουσι, τιθέασι. Ε.

Σ. 53. Ἑτοῖμα] Ἑτοῖμα καὶ ἐνταῦθα τὰ πρόχειρα. Ε. — εὔληπτα, φανερά. Σ.

Σ. 54. Παρατεκτήναιτο] Ἤγουν παραποιήσειε· — τέτραπται δὲ τὸ παρατεκτήναιτο· ἐκ τῶν τεκτονικῶς τεχνωμένων παραποιεῖν τὰ κατ' αὐτοὺς ἔργα. Ε.

Σ. 55. Ἐπέπιθμεν] Ἤγουν ἐπεποίθειμεν. Ε.

Σ. 56. Εἶλαρ] Ἴδ. Η, 338.

Σ. 57. Ἀλίαστον] Ἀδιάλειπτον. Σ. ἴδ. Β, 797.

Σ. 58. Σκοπιάζων] Σκοπιάζειν δὲ, τὸ εἰς περιωπὴν, ὡς προεῤῥέθη· ἐλθεῖν, κἀκεῖθέν τι κατασκοπεῖν. Ε.

Σ. 60. Ἐπιμίξ] Ἀθρόως ἀναμεμιγμένοι· ὥστε τῇ ὄψει μὴ διαγινώσκειν τοὺς πίπτοντας. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 67. Ἔπαθον] Ὅτε δηλαδὴ ἐποίουν αὐτά. Ε.

Σ. 71. Ἤδεα] Ὅτι τὸ ᾔδεα καὶ ἐνταῦθα κεῖται διαλελυμένον ἐκ τοῦ ᾔδειν, ἰωνικῶς. Ε.

Σ. 73. Κυδάνει] Τὸ δὲ κυδάνει ὅμοιον τῷ μελάνει δέ τε πόντος, ὅ ἐστι μελαίνεται. Ε. — δοξάζει. Σ. — ἀντὶ τοῦ κυδαίνει. Σ. Β.

Σ. 75. Ὅσαι πρῶται εἰρύατο] Ἰστέον δὲ, ὅτι διαφορὰ πολλὴ τοῦ, ἄγχι θαλάσσης ἐστὶ, καὶ τοῦ, εἰς ἅλα δῖαν· ἄρτι γὰρ αἱ μὲν τῶν νηῶν πρὸς τῷ πεδίῳ πρῶταί εἰσιν ἐγγὺς τοῦ τείχους (στ. 31.)· αἱ δὲ πρῶται ἄγχι θαλάσσης· εἰ δὲ κατὰ τὸν βασιλικὸν λόγον καὶ αὗται καὶ ἐκεῖναι καθελκυσθῶσι, τότε, πᾶσαι εἰς θάλασσαν ἐρύονται. Ε.

Σ. 77. Ὁρμίσσομεν] Ὁρμίζειν δὲ, τὸ ἐπὶ ὅρμου ἱστᾶν· — ὁρμεῖ μὲν ναῦς, ὁρμίζει δὲ ἄλλος νῆα. Ε.

Σ. 78. Νὺξ ἀβρότη] Τὸ δὲ νὺξ ἀβρότη, ἐντελῶς ἐῤῥέθη· — ἔστι δὲ ἀβρότη κατὰ μὲν τὸ κοινὸν, ἐν ᾗ βροτοὶ οὐ πρόεισιν· ὅθεν καὶ ἄβροτός φασιν ἐρημία παρ' Αἰσχύλῳ· — καὶ ἄλλως δὲ ἀβρότης μεταληπτικῶς, ἡ ἄφως κατὰ τοὺς παλαιοὺς, ἐν ᾗ φῶς οὐκ ἔστι, τουτέστιν ἀφώτιστος. Ε. — Ἢν καὶ τῇ] Ἐζήτηται δὲ πῶς ὁ Ἀγαμέμνων οὕτως ἀστρατήγως (ἴσ. ἀστρατηγήτως) φυγεῖν προστάττει τοῖς Ἕλλησι. Ῥητέον δὲ οὖν, ὅτι ὁ Ἀγαμέμνων γιγνώσκων, αὐτοὺς μὴ φευξομένους διὰ τὴν οἰκείαν ἀρετὴν, καὶ ὅτι οὐδὲ λαθεῖν ἠδύναντο τοὺς πολεμίους, ἐπιτρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ δόξῃ παρὰ δύναμιν κατέχων αὐτοὺς ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου αἴτιος γενέσθαι τοῦ πάντας ἀπολέσθαι· τοὐναντίον δὲ εὔνοιαν ἑαυτῷ πορίσηται, διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν καὶ ὑπομένειν καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν ἕνεκεν τῆς ἐκείνων σωτηρίας. Σ.

Σ. 84. Οὐλόμενε] Ὀλεθριώτατε, ἢ ὀλέθρου τοῖς Ἕλλησι παρασκευαστικέ. Σ. — Ἀεικελίου] Εὐκαταφρονήτου, ὅ ἐστιν εὐτελοῦς, κακοῦ. Σ.

Σ. 86. Τολυπεύειν] Κατεργάζεσθαι μεταφορικῶς· ἰδίως γὰρ τολύπη καλεῖται τὸ κατειργασμένον ἔριον. Σ.

Σ. 92. Ἄρτια βάζειν] Ὑγιῆ καὶ ἁρμόδια λέγειν. Σ. (ἴδ. Ε, 326.).

Σ. 95. Ὠνοσάμην] Ἐμεμψάμην. Σ.

Σ. 101. Ἀλλὰ ἀποπτανέουσι] Ἤτοι εἰς τὰς ναῦς ἀποβλέψουσιν, ἢ ἀλλαχόσε· ὅ ἐστι φεύξονται. Σ. — περιβλέψουσι καὶ

НБ ОНУ імені І.І. Мечникова

πτοηθήσονται, δηλονότι περὶ τὴν καθολικὴν γενόμενοι· γίνεται δὲ ἀπὸ τοῦ παπταίνω, παπτανῶ, παπτανέω. Σ. Β. ἀλλ' ἀποπαπτανέουσι.

Σ. 104. Μάλα πώς με] Ἰστέον δὲ, ὅτι ἐν τῷ μάλα πώς με, οὐκ ἂν εὐλόγως περισπάσῃ τις πως παραπληρωματικὸν σύνδεσμον· ἀλλ' ἐξ ὀξείας κοιμηθείσης εἰς βαρεῖαν, ἐξέγερσις εἰς ὀξεῖαν αὖθις γενήσεται ἐγκλιτικῶς· ὁποῖόν τι καὶ ἐν τῷ πώποτε γίνεται καὶ ἐν τῷ πώμαλα. Τὸ δὲ καθικέσθαι ὅ ἐστιν ἅψασθαι, οὗτος μὲν αἰτιατικῇ συνέταξεν· — οἱ δὲ μεθ' Ὅμηρον γενικῇ συντάσσουσι. Ε. — καθήψω, ἐλύπησας. Σ.

Σ. 107. Νῦν δ' εἴη] Ἔστω, φαινέσθω. Σ. — ἀντὶ τοῦ ἴτω. Σ. Β.

Σ. 108. Ἐμοὶ ἀσμένῳ εἴη] Περιφραστικῶς εἴρηται ἀντὶ τοῦ χαίρω καὶ ἀσμένως ἔχω. Ε.

Σ. 110. Αἴ κ' ἐθέλητε] Ὅτι Διομήδης, οὐ πρεπετευόμενος, ἀλλ' ἐκ τοῦ βασιλέως λαβὼν ἐνδύσιμον ἐν τῷ, ἢ νέος, ἢ παλαιὸς, εἰ καὶ ἐν ἄλλοις ὀψὲ μετέειπεν, ἀλλ' ἐνταῦθα προαρπάζει τὴν συμβουλήν. — Ἐγγὺς ἀνήρ] Ὁ ζητούμενος δηλαδή· τὸ δὲ ματεύσομεν ἔλλειψιν ἔχει τοῦ σ· μαστεύειν γάρ ἐστι τὸ ζητεῖν· εἰ μή τις ἐρεῖ τούτου μᾶλλον εἶναι πρωτότυπον, ἐξ αὐτοῦ δὲ κατὰ πλεονασμὸν γενέσθαι τὸ μαστεύειν. Ε. — ἐρευνήσομεν, ζητήσομεν. Σ. Β.

Σ. 114. Χυτή] Ἰδ. Ζ, 464. — ἀντὶ τοῦ, ὃς ἐν Θήβαις ἐτελεύτησεν ἐν τῷ Θηβαϊκῷ πολέμῳ. Σ.

Σ. 120. Ὡς γάρ που Ζεὺς ἤθελε] Εὐσχημόνως ὁ Διομήδης παρεσιώπησε τὴν τοῦ πατρὸς φυγήν. Τυδεὺς γὰρ ἀνελὼν Λυκωπέα καὶ Ἀλκάθουν ἑαυτοῦ παῖδας, ἔφυγεν· ἡ δὲ ἀληθεστέρα ἱστορία ἐστὶν αὕτη. Τυδεὺς ὁ Οἰνέως Αἰτωλὸς μὲν ἦν τὸ γένος, ἀνδρειότατος δὲ τῶν κατ' αὐτὴν γενόμενος ἔτι νέος ὢν ἐθεάσατο τὸν πατέρα διὰ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων τῆς βασιλείας ἐκβαλλόμενον. Διόπερ ἀναιρεῖ τούς τε ἀνεψιοὺς καὶ σὺν αὐτοῖς ἀκουσίως ἀδελφόν. Φεύγων δὲ εἰς Ἄργος πρὸς Ἄδραστον βασιλέα τῆς χώρας, καθαρσίων δὲ τυγχάνει πρὸς αὐτοῦ, καὶ γαμεῖ τὴν αὐτοῦ θυγατέρα Δηϊπύλην· ἡ ἱστορία παρὰ Φερεκύδῃ. Σ. — Οἰνέως καὶ Περιβοίας ὁ Τυδεύς· οὗτος Λυκωπέα καὶ Ἀλκάθουν ἀνεψιοὺς, ἐπιβουλεύοντας τῷ πατρὶ Οἰνεῖ, ἀπέκτεινεν ἐν ἀγρῷ καὶ σὺν αὐτοῖς ἄκων τὸν πατράδελφον Μέλανα. Φεύγων δὲ τὸν φόνον, ἧκεν εἰς Ἄργος, καὶ

НБ ОНУ імені І.І. Мечникова

καθαίρεται ὑπὸ Ἀδράστου, καὶ γίνεται γαμβρὸς ἐκείνου ἐπὶ τῇ ῥηθείσῃ γυναικί. Ε.

Σ. 121. Θυγατρῶν] Προσληπτέον τὸ μίαν, τὴν Δηϊπύλην. Σ.

Σ. 123. Ὄρχαται] Οἱ ἐπίστιχοι φυτεῖαι, κῆποι. Σ.

Σ. 124. Πρόβατα] Πάντα τὰ τετράποδα ἐκάλουν οἱ παλαιοὶ πρόβατα· καθ' ὃ καὶ Ἡσίοδός φησι· χαλεπὸς προβάτοις χαλεπὸς δ' ἀνθρώποις· (ἔργ. στ. 558.). Σ. — Κέκαστο] Ἐκεκόσμητο, ἐνίκα. Σ.

Σ. 127. Πεφασμένον] Οὐχ ἁπλῶς ἀντὶ τοῦ εἰρημένον, ἀλλὰ τὸν ἀποφαντικῶς καὶ μὴ ἐνδοιαστικῶς, ἀλλ' ἀξιωματικῶς ῥηθησόμενον, ὡς ἐστι πρέπον τῷ βουλευτῇ. Ε. — νῦν φανερῶς εἰρημένον. Σ.

Σ. 129. Ἐχώμεθα δηϊοτῆτος] Ἢ ἀντὶ τοῦ ἐπεχώμεθα, οὗ πρὸς σαφήνειαν ἐπῆκται τὸ ἐκ βελέων· — ἢ μᾶλλον ἀντὶ τοῦ ἀπτώμεθα μάχης, ὡς ἐγχωρεῖ ἐκ βελέων, τουτέστιν ἀπόμαχοι μὲν ὄντες, κοιρανέοντες· — καὶ ἔτι δὲ, ὀτρύνοντες, παρακαλοῦντες, συμβουλεύοντες. Ε. — ἀπεχώμεθα. Σ. — Ἐλλείπει ἡ ἀπὸ πρόθεσις, ἀποσχώμεθα· τὸ δὲ ἔπειτα ἀντὶ τοῦ δή. Σ. Β.

Σ. 130. Ἐκ βελέων] Τὸ δὲ ἐκ βελέων σαφέστερον ἔχει ἐν τῷ· Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεύς· οἱ δὲ μεθ' Ὅμηρον τὸ ἐκ βελέων, ἔξω βελῶν φασι, παροιμιακῶς· — ἐφ' ἕλκει ἕλκος· ὅμοιον παροιμίᾳ τῇ, κακὸν ἐπὶ κακῷ· ὅτε δηλαδὴ ἐπὶ προηγησαμένῃ καὶ ἑτέραν βλάβην πάθοι τινά. Ε.

Σ. 131. Ἐνήσομεν] Ἤγουν ἐμβάλωμεν τῷ πολέμῳ· — καὶ ἐπὶ πλεόντων λέγεται, ὡς δηλοῖ τὸ, ἐνήσομεν εὐρέϊ πόντῳ (Ὀδυσσ. Β, 295.). Ε. — παρορμήσομεν ἐμβαλοῦμεν τοῖς πολεμίοις. Σ.

Σ. 132. Θυμῷ ἦρα φέροντες] Ἀντὶ τοῦ χαριζόμενοι ἑαυτοῖς· ὅτι δὲ ἦρα τὴν χάριν λέγει, καὶ τὸ ἐραστόν δε. Ε. — χαριζόμενοι τῇ ψυχῇ τὴν ἀργίαν. Σ.

Σ. 135. Ἀλαοσκοπιήν] Ἴδ. στ. 10.

Σ. 136. Μετ' αὐτούς] Ἀντὶ τοῦ πρὸς αὐτούς. Σ.

Σ. 142. Σιφλώσειε] Ὅ ἐστι κακώσειεν, ἢ μωμητὸν ποιήσειε, ἢ ἀντὶ τοῦ ἐκλύσοι καὶ παύσοι τῆς ὁρμῆς. — Ἰστέον δὲ ὅτι ὁ εἰπὼν σιφλὸν εἶναι τὸ τῶν ἰχθύων γένος, ἐπὶ γαστριμαργίας καὶ σικχότητός τινος τὴν λέξιν ἔθετο· καὶ ὅτι σώζεται ἡ τοῦ σιφλοῦ λέξις παρά τισι τῶν Λυκίων ἕως καὶ νῦν· παρ' οἷς καὶ ἀνὴρ λέγεται σιφλὸς, ὁ ῥᾴθυμος καὶ οὐκ ἐνεργής. Ε. —

НБ ОНУ імені І.І. Мечникова

τυφλώσειεν, ἐπίψογον ποιήσειε· σίφλος γὰρ καλεῖται ὁ ψόγος Ε. (ἴδ. Ἀπολλόν. Α, 204).

Σ. 143. Οὔπω μάλα πάγχυ] Παρέλκει ἐνθάδε τό, πω. Σ. Β. — Τὸ δὲ μάλα πάγχυ ταυτολογεῖται ἀττικῶς κατὰ τὸ λίαν πάνυ. Ε.

Σ. 144. Ἀλλ' ἔτι που] Τὸ ἀλλ' ἔτι που, ἀντὶ τοῦ, ἀλλ' ἴσως, διστάζων εἶπεν ὁ Ποσειδῶν, ἵνα μὴ ἀποφηνάμενος γνωσθείη ὅςις ποτέ ἐστιν. Ε.

Σ. 145. Κονίσσουσιν πεδίον] Ἐν τῷ φεύγειν. Ε.

Σ. 155. Ποιπνύοντα] Γέγονε δὲ παρὰ τὸ πόνω, πονύω, πνύω, ποιπνύω, ἀναδίπλωσις· — ἔστι τὸ μετὰ πνεύματος καὶ σπουδῆς ποιεῖν τι. Σ. Β. (ἴδ. Α, 600).

Σ. 158. Στυγερός] Καταπληκτικός, ἢ μισητός. Σ. Β.

Σ. 160. Ἐξαπάφοιτο] Ἐξαπατήσειε.

Σ. 162. Ἐντύνασαν ἑαυτὴν] Σημαίνει μὲν τὸ ὁπλίσασαν· δηλοῖ δὲ ὅπλον οἷον κατὰ ἀνδρὸς τὸ κάλλος εἶναι τῇ γυναικί. Ε. — παρασκευασμένην, κοσμησαμένην. Σ.

Σ. 164. Ἡ χροιῇ] Ὑπερβατῶς νοητέον· εἴπως ἱμείραιτο ὁ Ζεὺς ἐν τῇ χροιᾷ, ἤγουν διὰ τῆς κατ' αὐτὴν χροιᾶς καὶ τοῦ προφαινομένου ἤδεος, παραδραθέειν τῇ Ἥρᾳ· — καὶ ἄλλως δὲ, περίφρασίς ἐστι τὸ, ἡ χροιῇ, τοῦ, ἑαυτῇ· — χροιὰν δὲ λέγει τὴν ἐπιπολῆς ἐπιφάνειαν, περὶ ἣν τὸ κάλλος· ᾗ δελεαζόμενος ὁ ἐρῶν, ἐνέχεται. Ε. — Λιαρόν] Θερμὸν, ἡδύ· τοῖς γὰρ καθεύδουσι παρακολουθεῖ θερμαίνεσθαι τὰ ἄκρα. Σ.

Σ. 165. Βλεφάροισιν ἰδὲ φρεσί] Βαθύτατον ὕπνον ἐμφαίνει, δι' οὗ καὶ φρένες ἀμβλύνονται τὸ ὀξὺ νοεῖν. Ε. — Πευκαλίμῃσι] Συνεταῖς, πυκναῖς. Σ.

Σ. 167. Σταθμοῖσιν] Παραςάσι νῦν. Σ. — Ἐπῆρσε] Ἐπήρεισεν, ἢ ἐφήρμοσεν. Σ. Β.

Σ. 168. Κληῖδι κρυπτῇ] Ἰστέον δὲ, ὡς κληῖδα κρυπτὴν λέγει, ἢ τὴν ἔνδοθεν κλείουσαν τὰς θύρας καὶ οὕτω κρυπτομένην τοῖς ἔξωθεν, ἢ τὴν δυσεπιχείρητον τοῖς ἐπιβουλεύουσιν· — διὸ καὶ ἐπήγαγε τὸ τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν· ἵνα λέγῃ κρυπτὴν κλεῖδα, ἣν οὐ δύναταί τις ἄλλος ἀνοίγειν· — τὸ δὲ ἀνῷγε προπερισπᾶται τῷ λόγῳ τῶν τοιούτων τροχαϊκῶν· ὡς καὶ τὸ ἀνῆγε, κατεῖχε καὶ τὰ ὅμοια σύνθετα, ὧν ὁ τόνος καὶ ἐν συνθέσει φυλάσσεται· τὸ μέντοι ἄνωγεν ἀντὶ τοῦ ἐκέλευεν, ἐκ τοῦ ἀνώγω ῥήματος ὂν, προπαροξύνεται. Ε.

Σ. 169. Ἔνθ' ἥγ' εἰσελθοῦσα κ.τ.λ.] Ὅτι εἰς τὸν ῥηθέντα θάλαμον ἐλθοῦσα ἡ Ἥρα, καὶ θύρας ὡς ἐῤῥέθη ἐπιθεῖσα, ὅ ἐστι κλείσασα, οὗ τὸ ἀνάπαλιν ἀνακλῖναι, ὅ ἐστιν ἀνοῖξαι, ἐπειδή φασι κλῖναι τὸ κλεῖσαι, καλλωπίζεται ἐν ἀποῤῥήτῳ, εἴπως λάθῃ ἐπιποιοῦσα γυναικικῶς τῷ κάλλει καὶ μὴ ὑποβολιμαῖον ἐκ τέχνης κομμωτικῆς δοκοίη αὐτῆς τὸ καλὸν, ἀλλὰ γνήσιον. Ε. — Ἐπέθηκε] Ἐνέβαλεν, ἔκλεισεν. Σ.

Σ. 170. Ἀμβροσίῃ] Θείῳ ἀλείμματι, μύρῳ· οἱ δὲ θείῳ λουτρῷ. Σ. — Ἀμβροσία ἐνταῦθα ὡς σμῆγμά τι παραλαμβάνεται. Ε.

Σ. 171. Λύματα] Καθάρσιον, ῥύπον. Σ. — Πάντα τὸν ῥύπον, καὶ τὴν περὶ σῶμα ἀκαθαρσίαν, ἣν χρὴ ἀπολυμαίνεσθαι, ἤγουν ἀπολούεσθαι Ε. (ἴδ. Α, 314).

Σ. 172. Ἑδανῷ] Ἡδεῖ· ὅ ἐστιν εὐώδει, εὐόσμῳ Σ. — Ἰστέον δὲ, ὅτι τε παρὰ τοῖς παλαιοῖς καὶ μῦρον Ἀττικὸν ἐπαινεῖται — καὶ ὅτι γυναικεῖον τὸ μηραλειφεῖσθαι· ἄνδρας δέ φασιν Ὅμηρος, οὔτε στεφανουμένους ἐν δαιτὶ ποιεῖ, οὐδὲ μυρουμένους, οὐδὲ θυμιῶντας· — καὶ ὅτι οἱ παλαιοὶ ἐλαιώδεσι μύροις ἐχρῶντο. — Τεθυωμένον] Ὡς ἄν τις εἴπῃ, μεμυρωμένον, ἢ μεμυρισμένον, ὡς ἀπὸ θύου τοῦ εὐώδους· — Ὅμηρος γὰρ μύρου χρῆσιν μὲν οἶδε, κλῆσιν δὲ ἀγνοεῖ· ὁποῖον τὸ βρένθειον, καὶ ἡ ἶρις, καὶ τὸ ἴρινον, καὶ τὸ ἀμαράκινον, καὶ τὸ ῥόδινον, καὶ τὸ ἢ μεγαλεῖον προπερισπωμένως κατὰ τοὺς πολλοὺς, ἢ κατὰ τοὺς ἀκριβεστέρους, μεγάλλιον προπαροξυτόνως ἐν δυσὶ λλ, μετὰ παραλήγοντος ῑ, ἔτι δὲ καὶ τὸ κάλλος· — ναὶ μὴν καὶ τὸ Αἰγύπτιον μύρον, τὸ καλούμενον μὲν μετώπιον, σκευαζόμενον δὲ κατὰ τὴν τοῦ Ἀθηναίου ἱστορίαν, ἐξ ἐλαίου καὶ πικρῶν καρύων· σὺν τούτοις δὲ καὶ τὸ κινναμώμινον καὶ τὸ νάρδινον καὶ τὸ μήλινον, καὶ τὸ σαμψύχινον, καὶ ἄλλα ὅσα τοιαῦτα περιάδονται. Ε.

Σ. 173. Κινυμένοιο] Σαλευομένου, κινουμένου. Σ. — ἀναχεομένου. Σ. Β.

Σ. 176. Πεξαμένη] Ὅ ἐστιν εὐθετίσασα, κτενίσασα· — οὕτω κατὰ Διὸς ἐπιμελῶς ὁπλίζεται, πανοπλίαν ταύτην περιθεμένη ἀσίδηρον, ἄμαχον· καὶ οὐδένα, ὡς οἱ παλαιοί φασι γυναικεῖον κόσμον ἀφῆκεν ἀργόν· οὐ τὰ νίπτρα, οὐ τὸ περίεργον ἄλειμμα, οὐ τὴν ἐμπλοκὴν, οὐ τὴν περιειργασμένην ἐσθῆτα, οὐ τὸν περὶ κεφαλὴν καὶ ὦτα καὶ πόδας καλλωπισμόν· ὕστερον δὲ

НБ ОНУ імені І.І. Мечникова

προσάπτει τῷ τε φυσικῷ καὶ τῷ τεχνητῷ κάλλει καὶ ἄλλην μαγγανείαν ἐπαφρόδιτον τὴν τοῦ κεστοῦ· — ἐπεὶ δέ φασι τρία εἰσὶν, οἷς περιγενόμεθά τινων, ἡ βία, ἡ πειθὼ, καὶ ἡ ἀπάτη· ὁ Ζεὺς δὲ ἄμαχος ἦν διὰ τὴν ἰσχὺν, πείθειν δὲ αὐτὸν οὐκ ἦν, οἷα καθάπαξ τὰ ὑπὲρ Ἀχιλλέως κατανεύσαντα, ἐπὶ τὴν ἀπάτην· ἡ Ἥρα ἐξ ἀνάγκης ἀπεῖδε, καὶ ἡδονῇ θηρᾶται τὸν Δία, δι᾽ ἧς, ὡς τὰ πολλὰ καὶ αὐτῆς τῶν μειζόνων οἱ ἀσθενεῖς περιγίνονται. Ὅρα δὲ, ὡς ἐν οὕτω περιέργῳ καλλωπισμῷ, οὐ κάτοπτρον ὁ ποιητὴς τῇ Ἥρᾳ δίδωσιν, ὡς Εὐριπίδης ταῖς Τρωάσιν· οὐ κομμωτρίας, ὡς Ἡσίοδος τῇ Πανδώρᾳ, οὐδὲ θεραπαίνας τινὰς εἰσάγει καθάπου τῇ Κίρκῃ, ἀλλ᾽ αὐτουργοῦσαν πλάττει αὐτήν. — Ἐπὶ μέν τοι προβάτων πέκειν τὸ κείρειν λέγεται· ὅθεν καὶ ὁ πόκος, καὶ τὸ πέσκος, ὃ δηλοῖ τὸ πεκόμενον δέρμα. Ε.

Σ. 178. Ἑανὸν] Ἐλλείπει δὲ ὁ πέπλος. Ε. (ἴδ. Φ, 507. καὶ Ε, 734).

Σ. 179. Ἔξυσε] Ἐκέρκισε· ξύουσι γὰρ τὴν κρόκην πρὸς τὸ πυκνωθῆναι· οἱ δὲ ἐλέανεν, ἀπὸ μεταφορᾶς τῶν ξύλων· οἱ δὲ, ἀντὶ τοῦ ἔγναψε, μετὰ τὸ ὑφανθῆναι. Σ. Β. — ἀντὶ τοῦ κατεσκεύασε· νῦν καὶ λεπτὸν εἰργάσατο. Σ.

Σ. 180. Ἐνετῇσι] Ἐνεταὶ δὲ, περόνης εἶδος, χρησιμευούσης κατὰ τὸ ἰδιωτικῶς λεγόμενον τενάντιον, παρὰ τὸ ἐνίεσθαι, ὅ ἐστιν ἐμβάλλεσθαι τῇ ἀντικειμένῃ ὀπῇ· καὶ ἔστι πως ἐτυμολογικὸν καὶ τὸ, ἐνεταῖς ἐπερονᾶτο· ὡς εἰ ἔλεγε, περόναις ἐπερονᾶτο, ἢ ἐνεταῖς ἐνίετο· ταὐτὸν γὰρ κατὰ πολυωνυμίαν περόναι καὶ ἐνεταί. Ε.

Σ. 181. Θυσάνοις] Κροσσοῖς· παρὰ τὸ θυσσεύεσθαι, ὅ ἐστι κινεῖσθαι. Σ.

Σ. 182. Ἕρματα] Ἕρματα δὲ, τὰ τοῖς ὠτίοις ἐνειρόμενα κόσμια, παρὰ τὸ ἐνείρεσθαι. Ε. (ἴδ. Α, 486.) — Λοβοῖσι] Λοβοὶ δὲ τὰ τοῦ ὠτὸς ἄκρα, ἔνθα ἐνείρεται τὸ ἐνώτιον· διὸ καὶ ἐλλόβια λέγονται, ἀπὸ τοῦ λοβοῦ — παρὰ δὲ τοῖς μεθ᾽ Ὅμηρον καὶ μέρος ἥπατος ὁ λοβὸς, καὶ ἀγγεῖόν τι ὀσπριοδόχον. Ε.

Σ. 183. Τρίγληνα] Τρίγληνα δὲ, ἢ τὰ ἀξιοθέατα καὶ πολλῆς γλήνης ἄξια ἤγουν θέας· ὅθεν καὶ τὸ, γλήνεα πολλὰ κεχάνδει ἤγουν ἐχώρει· ἢ τὰ ἐκ τριῶν τινων ζώων σύνθετα· οἱ δέ φασι τριόφθαλμα, ἃ οἱ Ἀττικοὶ τριόττια καὶ τριοττίδας καλοῦσιν· οἱ δέ τινες, τριῶν ἔχοντα χαρίτων ἐκτυπώματα· τοῦτα

НБ ОНУ імені І.І. Мечникова

δὲ οὐ καλῶς· οὐ γὰρ οἶδε Χαρίτων ἀριθμὸν ὁ ποιητὴς κατὰ τοὺς ὕστερον. Ε. — Μορόεντα] Μορόεντα δὲ, παρὰ τὸν μόρον τὴν κακοπάθειαν, τὰ ἐκπεπονημένα φασὶ τῇ κατασκευῇ καὶ μεμεριμνημένα τῇ τέχνῃ Ε.

Σ. 184. Κρηδέμνῳ] Τὸ δὲ κρήδεμνον κεφαλῆς ἦν φασι κάλυμμα, παρειμένον μέχρι τῶν ὤμων κατὰ τὸ λεγόμενον πέτασον. Ε. (Ἴδ. Χ, στ. 469). — κεφαλοδέσμῳ, νῦν δὲ καλύπτρᾳ. Σ. — παρὰ τὸ τὴν κάραν δεσμεῖν. Σ. Β.

Σ. 185. Νηγατέῳ] Ἴδ. Β, 43. — Λευκὸν δ' ἦν] Ἐν ἄλλῳ, λαμπρὸν δ' ἦν. Σ. Β.

Σ. 186. Λιπαροῖσιν—πέδιλα] Ἴδ. Β, 44.

Σ. 187. Αὐτὰρ ἐπειδὴ πάντα κ.τ.λ.] Οὐδὲν παρέλιπε τῶν γυναικείων κοσμημάτων· — τῷ οὖν φυσικῷ κάλλει τὴν ἐκ τῆς τέχνης ἠθέλησεν εὐπρέπειαν προσάψαι· καίτοι δὲ τῶν περὶ ταῦτα δεινῶν γυμνὰς γραφόντων ἢ πλασσόντων τὰς γυναῖκας πρὸς ἀπάτην, ὁ ποιητὴς παραλιπὼν γυμνουμένην αὐτὴν δεῖξαι, ἵνα μὴ εἰς αἰσχρὰν ἐνέργειαν (ἴσ. ἐνάργειαν) τὴν τῶν ἀκροωμένων διάνοιαν προκαλέσηται, κοσμηθεῖσαν ἐνεφάνισε, καὶ λόγοις πλειόνων αὐτὴν διετύπωσε χρωμάτων. Σ. Β.

Σ. 192. Ἀρήγεις] Πιθανῶς τὴν ὑπὲρ τῶν στρατευμάτων, διαφορὰν παρῆγε, προλαμβάνουσα αὐτῆς τὴν ἀντίῤῥησιν. Σ. Β.

Σ. 194. Πρέσβα θεά] Ἐντιμοτάτη· συγκοπὴ τοῦ πρέσβειρα. Σ.

Σ. 196. Τετελεσμένον ἐστί] Τετελεσμένον νῦν δυνατόν. Σ.

Σ. 199. Δαμνᾷ] Ὅρα δὲ, ὅτι τε τὸ δαμνῶμαι δαμνᾷ, ἤγουν δαμάζεις, πρωτότυπόν ἐστι τοῦ δάμνημι. Ε. — ἀπόκοπὴ τοῦ δάμνασαι, Δωρικῶς. Σ. Β.

Σ. 201. Ὠκεανόν τε θεῶν γένεσιν] Θεῶν πατέρα· ἐπεὶ πρῶτον στοιχεῖόν τινες τῶν φυσικῶν εἶπον τὸ ὕδωρ, καὶ ἐξ αὐτοῦ τὰ λοιπὰ τρία· ὅθεν ὁ Πίνδαρος ἄριστον εἶπε τὸ ὕδωρ. Τηθὺν δέ φησι τὴν γῆν, οἱονεὶ τηθυνήν τινα οὖσαν καὶ τροφὸν πάντων. Σ.

Σ. 202. Ἀτίταλλον] Ἐπαιδοτρόφουν. Σ. — εἰκότως μνήμονα εὐεργεσιῶν ἑαυτὴν ἀπογράφει· καὶ ταύτην εὔελπιν ποιοῦσα, ὡς ἀποληψομένη τὰς χάριτας. Σ. Β.

Σ. 204. Καθεῖσε] Ἀπὸ τοῦ ἕω, οἷον τὸ κάθημαι τροχαϊσθὲν, φυλάσσει τὸν τόνον, ὡς καὶ τὸ ἀνῶγε πρὸ βραχέων. Ε. — καθίδρυσε. Σ. — Ἀτρυγέτοιο] Ἴδ. Α, 316.

Σ. 205. Ἄκριτα νείκεα] Ἄκριτα δὲ νείκεα, ἐφ' οἷς οὐχ εὕρηται κριτής. — Λύσω] Τὸ δὲ λύσω δηλοῖ μὲν τὸ διακρινῶ.

НБ ОНУ імені І.І.Мечникова

Ε. —καὶ τὰς πολλὰς αὐτῶν, καὶ ἀδιαλύτους φιλονεικίας διαλύσω. Σ.

Σ. 209. Εἰς εὐνὴν ἀνέσαιμι] Τὸ δὲ εἰς εὐνὴν ἀνέσαι, ἀντὶ τοῦ ἀναπεῖσαι, ἢ ἀναβιβάσαι, ἀναθεῖναι· κατὰ τὸ ἐς δίφρον δ' ἀνέσαντες ἄγον. (N, 657.) Ε.

Σ. 210. Αἰδοίη] Λεληθότως λέγει, ὅτι καὶ σὲ τὴν τῆς τιμῆς μοι αἰτίαν ἀεὶ νομιῶ φίλην. Σ. Β. — αἰδοῦς ἄξια, αἰδέσιμα. Σ.

Σ. 212. Ἔοικε] Ἔνθα τὸ, οὐδὲ ἔοικε, πάνυ ἀκριβῶς κεῖται· εἰ γὰρ καὶ ἔστιν ἀρνήσασθαι, ἀλλ' ὅμως οὐ πρέπει. Ε. —οὔτε πρέπον, οὔτε δυνατὸν, ἀρνήσασθαι, περὶ ὧν ἀξιοῖς. Σ.

Σ. 213. Ἐν ἀγκοίνῃσιν] Ὃ περίφρασίς ἐστι τοῦ, Διὸς γυνὴ εἶ· — ἰαύειν· ἤγουν χρονίζειν, διατρίβειν, μυστικὴ δήλωσίς ἐςι σχέσεως ἀνδρὸς πρὸς γυναῖκα. Ε.

Σ. 214. Κεστὸν ἱμάντα] Ζωστῆρα, οὕτω καλούμενον ἀπὸ τοῦ πολυκέντητον αὐτὸν εἶναι ταῖς ῥαφαῖς. Σ. — Κεστὸς δὲ οὐ κλῆσις, ἀλλ' ἐπίθετόν ἐστι τοῦ ἱμάντος τῆς Ἀφροδίτης· διὸ καὶ ὁ ποιητὴς ὁμοῦ παραθεὶς, κεστὸν ἱμάντα φησί· μετ' ὀλίγα δὲ καταμόνας ἱμάντα, ἐν τῷ, τῇ τοῦτον ἱμάντα (στ. 219)· τοῦτο καὶ ἐπὶ ἄλλων γίνεται. Οὕτω γὰρ καὶ ἡ διπλόη ἐπιτεθεῖσα τῇ χλαίνῃ, τὸ ἐκείνης ἐφήρπασε νόημα· καὶ τὸ ξυστὸν τῷ δόρατι ἐπικείμενον, ὅμως λαμβάνεταί ποτε αὐτὸ μόνον ἁπλῶς ἐπὶ δόρατος· ὁμοίως καὶ ὁ ἑανὸς ἀντὶ πέπλου· καὶ ὁ βροτὸς τὸ ἐπίθετον, ἀντὶ ἀνθρώπου, οὗ ἐστιν ἐπίθετον· καὶ ὁ ἀήτης ἀνέμου ὢν ἀήτης, ἀντὶ τοῦ ἁπλῶς ἀνέμου λαμβάνεται. Ε.

Σ. 215. Θελκτήρια] Κατὰ Ὁμηρικὸν ἔθος, ἀντὶ τοῦ ἐκστατικὰ λογισμοῦ κατὰ πολλὴν ἡδονὴν, οὐ μὴν κατὰ φόβον, ἢ ἄλλο τι πάθος (ἴδ. N, 435). Ε.

Σ. 216. Ὀαριστύς] Ἴδ. X, 126. — Τὸ δὲ ὀαριστὺς πάρφασις οἱ μὲν ἐν ἀσυνδέτῳ σχήματι, δύο νοοῦσι πράγματα· ἰδίᾳ μὲν, ὀαριστὺν, ὅ ἐστιν ὁμιλίαν, ὀαρίζειν γὰρ τὸ ὁμιλεῖν· ἰδίᾳ δὲ πάρφασιν, τουτέστι πειθὼ, τὴν ἐξ ὁμιλίας· ἕτεροι δὲ τὸ μὲν ἓν, ὡς κύριον, τὸ δὲ ἕτερον λαμβάνουσιν ὡς ἐπίθετον· καὶ τοῦτο, ὅπως ἂν καὶ θέλοι τις· ἢ γὰρ ὀαριστὺς παραιφατικὴ, ἢ παραίφασις ὀαριστικὴ, τουτέστιν ὁμιλητική. Ε.

Σ. 217. Πάρφασις] Ἡ διὰ λόγου παράπεισις. — Ἔκλεψε] Προκατασκευάζει διὰ τούτου, ἵνα μὴ θαυμάζωμεν, εἰ Ζεὺς ἠπάτηται. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 219. Τῇ] Ὅ ἐστι λάβε. — Προστακτικὸν δὲ εἶναι συζυγίας δευτέρας τῶν περισπωμένων, σαφῶς ἀποφαίνονται οἱ παλαιοὶ, φάμενοι, ὡς ἔστι ῥῆμα τάω τῶ, ὡς ζάω ζῶ, καὶ καθὰ ἔζαον ἔζων, οὗ τρίτον ἔζη, καὶ προστακτικὸν ζῆ, οὕτω καὶ ἔταον ἔτων, οὗ ἔτη τὸ τρίτον, καὶ τῆ τὸ προστακτικόν. Ε. — Κόλπῳ] Κόλπον δέ φησι τὸ ἐν τῷ στήθει πτύγμα τοῦ πέπλου, ἐν ᾧ ἔδει θεῖναι τὸν κεστόν. Ε.

Σ. 220. Πάντα] Ἐντελέστερον ἦν ἀνωτέρω τὸ, θελκτήρια πάντα τέτυκτο. Ε.

Σ. 226. Πιερίην] Μακεδὼν ὁ Διὸς καὶ Αἰθρίας, κατασχὼν τὴν χώραν οὖσαν τῆς Θρᾴκης, ἀφ᾽ ἑαυτοῦ Μακεδονίαν προσηγόρευσεν· γήμας δὲ μίαν τῶν ἐγχωρίων, τεκνοῦνται δύο παῖδας, Πίερον καὶ Ἄμαθον, ἀφ᾽ ὧν δύο πόλεις Πιερία καὶ Ἀμαθία ἐν Μακεδονίᾳ· ἡ ἱστορία παρὰ Μαρσυίᾳ· νῦν δὲ Ἠμαθίην καταχρηστικῶς, ὅλην Μακεδονίαν φησίν· Πιερίαν δὲ ὄρος Μακεδονίας, ἱερὸν Μουσῶν. Ἄκρως τοὺς τόπους καὶ τὰς χώρας κατονομάζει· τῇ γὰρ ὀνομασίᾳ τούτων συμπαραθέουσα ἡ διάνοια τῶν ἐντυγχανόντων ἐν φαντασίᾳ καὶ ὄψει τῶν τόπων γίνεται· ἅμα οὖν τὸ ἀργὸν περιέφυγεν οὐκ εὐθὺς ἀγαγὼν αὐτὴν ἐπὶ τὰ προκείμενα χωρία· μάρτυρας γοῦν τοὺς ἀκούοντας ἐπαγόμενος, πιθανωτάτην καθίστησι τὴν διάνοιαν. Σ. Β.

Σ. 228. Μάρπτε] Ἤγουν οὐχ ἥπτετο γῆς, ἀλλ᾽ ἀπὸ κορυφῆς εἶχεν αὐτὴν ἑτέρα κορυφή. Ε. — Μάρπτε] Μάρπτειν δὲ, εἰ καὶ νῦν ἐπὶ ἀφῆς τῆς διὰ ποδῶν, ἀλλ᾽ ὡς ἐπὶ πολὺ ἐπὶ χειρῶν ἐῤῥέθη· ὅθεν καὶ εὐμάρεια κατὰ τοὺς παλαιοὺς, ἡ εὐχέρεια, ἡ ῥᾳστώνη. Ε. (Ἴδ. Ω, 405).

Σ. 229. Ἐξ Ἀθόω] Ἄθως δὲ τὸ ὄρος ἀπὸ Ἄθω γίγαντος· ᾧ Ποσειδῶν φασι τὸ ὄρος ἐπέθετο· τριακοσίους δέ φασι ςαδίους Λήμνου ἀπέχων ὁ Ἄθως, ὅμως σκιάζει αὐτήν· ὅθεν καὶ παροιμία, Ἄθως σκιάζει νῶτα Λημνίας βοός· δόξειε δ᾽ ἂν τεθῆναι ἡ παροιμία ἐπὶ τῶν ἐχόντων καὶ πόῤῥωθεν ἐφικνεῖσθαι ἢ καθικνεῖσθαι τῶν ταπεινοτέρων δι᾽ ὑπεροχήν τινα Σ. — Ἄθως ὄρος ἐν Θρᾴκῃ ἐξέχον εἰς θάλασσαν, τὸν ἰσθμὸν ἔχον Χερσόνησον σταδίων δώδεκα. Σ. Β.

Σ. 230. Λῆμνον] Ἴδ. Α, 593. — Ὅλον μὲν ἡ Λῆμνος· μέρος δὲ ἡ Μύριννα, πόλις Θόαντος. Ε. — Διὰ ποίαν δὲ αἰτίαν ἐν τῇ Λήμνῳ μάλιστα ὁ ὕπνος διατρίβει; ῥητέον, ὅτι Λήμνου μὲν ἦν δεσπότης Ἥφαιστος· γυνὴ δὲ τούτου Χάρις. Πασιθέας

δὲ τῆς Χάριτος ἀδελφῆς ἐρωτικῶς ἔχων ὁ Ὕπνος ἐκεῖ διέτριβε· ταύτην δὲ αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ Ἥρα. Σ.

Σ. 231. Ξύμβλητο] Συνέτυχε, ἀπήντησε. Σ. — Κασιγνήτῳ Θανάτοιο] Ἐπεὶ ἀμφότεροι ἀναπαύουσι, καὶ ἀπρακτεῖν ποιοῦσιν, εἰ καὶ ὁ μὲν χωρίζει ψυχὴν, ὁ δὲ συστέλλει· καὶ ὁ μὲν παντελής ἐστι στέρησις αἰσθήσεως, καὶ τανηλεγὴς, κατὰ τὸν ποιητὴν, ἡ δὲ ἀφαίρεσις αὐτῆς καιρική. — Φησὶ δὲ καὶ ὁ κωμικὸς, Μνησίμαχος, ὕπνος, τὰ μικρὰ τοῦ θανάτου μυστήρια· ἐξ Ἀττικοῦ ἔθους λαβὼν ἐκεῖνος τὸν νοῦν· παρ' οἷς οὐ μεγάλα μόνον, ἀλλὰ καὶ μικρὰ ἦσαν μυστήρια, εὑρημένα ἐπὶ τῷ Ἡρακλεῖ. Ε.

Σ. 232. Φῦ] Ἐνέφυ, συνέπλεξεν. Σ.

Σ. 235. Ἰδέω] Ἰδέω, Ἀττικῶς ἀντὶ τοῦ ὀφλήσω· — Ἀρίσταρχος, χάριν ἰδέω· αἱ δὲ δημώδεις, εἰδέω. Σ. Β. — ἔνθα ὅρα τὸ εἰδέω ῥῆμα, ἴσον μὲν ὂν τῷ εἰδῶ, ὡς δοκεῖν ἔχειν πλεονασμὸν τοῦ ε, κατὰ τὸ ἐρῶ, ἐρέω. Ε.

Σ. 236. Κοίμησον] Ἰστέον δὲ, ὅτι τὸ κοίμησον διὰ τοῦ η γραφὲν αἰολικῶς ἔτρεψε τὸ ι εἰς η κατὰ τοὺς παλαιούς Ε.

Σ. 238. Δῶρα] Οὐ προλέγει τὸν τῆς χάριτος γάμον ἀλλὰ φυλάττει, εἰ ἀντιλέξοι. Σ. Β.

Σ. 240. Θρῆνυν] Ὑποπόδιον, ἀρσενικῶς. Σ.

Σ. 241. Ἐπισχοίης] Ἀντὶ τοῦ ἐπάνω αὐτοῦ ἔχοις· — κοινότερος δὲ ἐπισχεῖν λέγεται τὸ κρατῆσαι· ὅθεν μεταφορικῶς καὶ τὸ σιγῆσαι. Ε. — Εἰλαπινάζων] Εὐωχούμενος. Σ.

Σ. 245. Ποταμοῖο ῥέεθρα Ὠκεανοῦ] Ποιητικῆς ἀδείας λόγος· ἡ γὰρ ἀλήθεια, Ὠκεανὸν οἶδε, τὴν ἔξω θάλασσαν, διὸ καὶ ὁ ποιητὴς λίμνην που ἔφη αὐτὸν, οὐ γὰρ ἠγνόει τὸ ἀληθές· εἰ καὶ ἄλλως ποιητικῶς τὰ πλείω λαλεῖ. Ὅτι δὲ καὶ ἰδίως ἦν ἐκεῖ που ἐμβάλλων ποταμὸς εἰς τὸν κυκλοῦντα τὴν γῆν θαλάττιον Ὠκεανὸν ὁμώνυμος ἐκείνῳ, παρασημειοῦνται ἐν τῇ Ὀδυσσείᾳ τινές. Ε.

Σ. 249. Ἤδη γάρ με καὶ ἄλλο] Ἐν δὲ τῷ, ἤδη γάρ με καὶ ἄλλο, οἱ ἀκριβέστεροι ἐπίῤῥημα νοοῦσι τὸ ἄλλο ἐξ ἀποκοπῆς αἰολικῆς τοῦ ἄλλο τε· ἔστι δὲ καὶ ἀντωνυμίαν αὐτὸ νοηθῆναι· ἵνα λέγῃ, ὡς ἤδη γάρ με καὶ κατὰ ἄλλο ἔργον ἡ σὴ ἐντολὴ ἐπίνυσσεν, ἤγουν ἐπαίδευσεν. Ε. — ἢ κατ' ἄλλο. Σ. — Λέγει δὲ τὸ πρᾶγμα κίνδυνον φέρειν, ἵνα καὶ παρωσάμενος, συγγνώμην ἔχῃ, καὶ ποιῶν, μείζονα δοκῇ αὐτῇ χαρίζεσθαι. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 250. Κεῖνος] Ὅρα δὲ καὶ, ὅτι ὁ μὲν ὕπνος κατ᾽ ἐξοχὴν ἔφη τὸ, ἐκεῖνος ὑπέρθυμος Διὸς υἱὸς, τοιοῦτον γάρ τι συνήθως ἐμφαίνει τὸ ἐκεῖνος· Ἥρα δὲ ὠνόμασεν Ἡρακλῆν· ἐχρῆν γὰρ οὕτω ποιῆσαι τὸν Ὅμηρον διὰ σαφήνειαν· ἴσως δὲ καὶ ἄλλως ὁ ὕπνος ἐξονομάζειν τὸν Ἡρακλέα οὐ βούλεται, ὡς βαρυνόμενος ἐφ᾽ οἷς δι᾽ ἐκεῖνον ἔπαθε. Ε.

Σ. 252. Ἔλεξα Διὸς νόον] Τὸ δὲ ἔλεξα, ἤτοι ἐκοίμησα, εὔνασα Διὸς νόον, περιφραστικῶς τὸν Δία δηλοῖ. Ε.

Σ. 253. Μήσαο] Ἐμηχανήσω· ἐβουλεύσω. Σ.

Σ. 254. Ὄρσασα] Εἰς ὁρμὴν ἀγαγοῦσα, διεγείρασα. Ε.

Σ. 255. Κόων δὲ] Εἰς τὴν Κῶν νῆσον· γράφεται δὲ σὺν τῷ ν κατ᾽ αἰτιατικήν. Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν, γενόμενός τε κατὰ τὸ Αἰγαῖον πέλαγος βουλήσει Ἥρας σφοδρῷ συνεσχέθη ἀνέμῳ. Κατασυρθεὶς δὲ εἰς Κῶν τὴν Μεροπίδα, ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος βασιλεύοντος αὐτῆς. Βιασάμενος δὲ, καὶ ὡς λῃστὴς ἐπιβὰς, ἀνεῖλε τόν τε Εὐρύπυλον καὶ τοὺς παῖδας αὐτοῦ. Μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ, Θεσσαλὸν ἐγέννησεν. (ἴδ. Α, 590. καὶ Ἀπολλόδ. σελ. 448). Σ. — Εὐναιομένην] Εὐναιομένην καλεῖ, διὰ τὸ τῆς νήσου εὔδαιμον· οὗ χάριν ἐπιπολάζει παροιμία οὐ παλαιὰ, τὸ, ὃν οὐ θρέψει Κῶς, ἐκεῖνον οὐδὲ Αἴγυπτος. — Φασὶ δὲ τοὺς Κάρας οὕτω καλεῖν τὰ πρόβατα· ὅθεν καὶ ἡ νῆσος Κῶς, ὡς πολυθρέμμων δι᾽ εὐβοσίαν. Μέροπες δ᾽ αὐτὴν ᾤκουν τότε, ἔθνος οὕτω καλούμενον. Ε.

Σ. 256. Ἐπεγρόμενος] Ἀντὶ τοῦ ὕστερον ἐγερθείς. Ε. —ἐπαναστὰς, διϋπνισθείς. Σ.

Σ. 257. Ῥιπτάζων] Ἀντιστροφή ἐστιν, ἀντὶ τοῦ χαλεπαίνων ἔῤῥιπτε. Σ. — Ἔξοχα πάντων] Μάλιστα. Σ. — ἀντὶ τοῦ κατ᾽ ἐξοχὴν περὶ πάντας. Σ. Β.

Σ. 258. Ἄϊστον] Ἀνιστόρητον· τὸ δὲ ἔμβαλε, ἀντὶ τοῦ ἐμβαλὼν ἐποίησεν, ὡς τὸ βρότος οὔτασεν ἀνὴρ, ἀντὶ τοῦ οὐτάσας ἐποίησεν. Σ. Β.

Σ. 259. Δμήτειρα] Δαιμονίως τοῦτο λέγει· ὡς γὰρ τὸν Ὕπνον ἄνακτα θεῶν καὶ ἀνθρώπων φησὶν, οὕτως καὶ τὴν Νύκτα δμήτειραν θεῶν καὶ ἀνδρῶν, ἤτοι δαμάστριαν. Σ. Β.

Σ. 260. Ἱκόμην] Ἱκετεύων παρεγενόμην. Σ.

Σ. 261. Ἄζετο] Ἐνετρέπετο. Σ. — Ἀποθύμια] Ἀποθύμιον δὲ



НБ ОНУ імені І.І.Мечникова

τὸ ἀκαταθύμιον, ὅπερ ἐν ἄλλοις ἀπὸ θυμοῦ φησι. Ε. — ἀηδῆ, οὐκ ἀρεστά. Σ.

Σ 267. Ὁπλοτεράων] Ὅτι δύο γενέσεις Χαρίτων ὑποτίθεται, πρεσβυτέρας καὶ νεωτέρας· διὸ συγκριτικῶς λέγει ὁπλοτεράων. Σ. Β. — Ὅρα δὲ ἐν τοῖς εἰρημένοις καὶ ὅτι οὐ τεχνικῶς ἀναμνήσασα τὸν ὕπνον ἡ Ἥρα παλαιᾶς ἐξ αὐτοῦ χάριτος, μικροῦ ἂν ἐβλάβη πρὸς ὃ ἤθελεν· ἀναμνησθεὶς γὰρ ὁ ὕπνος, οἷα ἔπαθε τότε, ἀνηκουστεῖ· διὸ ἀναγκαίως ἐδέησε τῇ Ἥρᾳ, δώρῳ ἀγαπητῷ πεῖσαι αὐτόν. Ε.

Σ. 270. Χήρατο] Ἔφη δέ που καὶ τὸ ἐχάρη, οὗ μετοχὴ ὁ χαρείς· — χαίρομαι δὲ οὐ λέγει, ἀλλὰ χαίρω· ἐντεῦθεν τοῖς Ἀττικοῖς βαρβαρισμὸς ἦν τὸ εἰπεῖν χαίρομαι.

Σ. 271. Ἄγρει] Τὸ δὲ ἄγρει, παρακέλευσιν δηλοῦν κατὰ τὸ δεῦρο καὶ ἄγε καὶ φέρε, λεγόμενον δὲ καὶ πληθυντικῶς ἀγρεῖτε κατὰ τὸ ἄγετε, φέρετε, παρῆκται ἀπὸ τῶν ἀγρευτῶν· αὐτοί τε γὰρ σπεύδοντες ἀνύουσιν ὃ προτίθενται· καὶ τὸ ἄγρει ταὐτόν ἐστι τῷ σπεῦδε. — Ἀάατον ὕδωρ] Τὸ δὲ ἀάατον ὕδωρ διὰ τριῶν α προφέρεται, ὧν τὰ δύο στερητικά· διὸ καὶ ὑπερστερητικόν φασι τοῦτο οἱ παλαιοὶ, ὡς διπλάζον τὴν στέρησιν. Ἔστι τὸ μὲν δεύτερον α στερητικὸν ἄτης· τὸ δὲ πρῶτον ἀναιρετικὸν τῆς τοιαύτης στερήσεως· ὅθεν ἀάατον τὸ μὴ στεροῦν ἄτης τοὺς ἐπιόρκους, ἀλλὰ μάλιστα αἴτιον ἄτης. Τοιοῦτον καὶ ἀνάπηρος· καὶ ἐν Ὀδυσσείᾳ τὸ ἀνάπυστα, ἐν οἷς δηλοῦται ὁ πεπηρωμένος, καὶ τὸ πυστὸν ἤτοι ἀκουστὸν, πλεονασμῷ τοῦ ν διὰ καλλιφωνίαν· ἄπηρος μὲν γὰρ ὁ μὴ ἔχων πήρωσιν· ἀνάπηρος δὲ, ὁ ἐστερημένος τῆς τοιαύτης στερήσεως· οὕτω δὲ καὶ ἄπυστος μὲν ὁ στερηθεὶς τοῦ ἀκουσθῆναι· ἀνάπυστος δὲ ὁ ἀκουσθεὶς διὰ τὸ ἐστερῆσθαι τῆς τοῦ ἀπύστου στερήσεως. — Ἰστέον δὲ καὶ, ὅτι τὸ ἀάατος, δι' εὐρυφωνίαν, οὐκ ἔσχε τὸ ν, κατὰ τὸ ἀνάπηρος καὶ ἀνάπυστος· προκρίνει γὰρ ἐν πολλοῖς ἡ ποίησις τῆς λείας φωνῆς τὸ χασμῶδες διὰ τὸ σεμνὸν καὶ ὀγκηρὸν, οὗ μάλιστα ποιητικὸν τὸ α καὶ τὸ μέγα ω καθά φασιν οἱ τεχνικοί. Ε.

Σ. 273. Μαρμαρέην] Μαρμαρέη δὲ θάλασσα, ἡ διαφανὴς, τοιοῦτον γὰρ τὸ ὕδωρ. Ε. (ἴδ. Γ, 126.).

Σ. 274. Κρόνον ἀμφὶς ἐόντες] Λέγει δὲ τοὺς Τιτᾶνας· οὗτοι δέ εἰσιν Οὐρανοῦ παῖδες, Κρόνος, Κρεῖος, Ὑπερίων, Ἰα-

НБ ОНУ імені І.І. Мечникова

πετὸς, Κοῖος. Σ. — οἱ συγκολαζόμενοι αὐτῷ, ἢ μᾶλλον ὑπ' αὐτῷ ταγέντες. Σ. Β.

Σ. 279. Τοὺς ὑποταρταρίους] Τοὺς ἐν τῷ Ταρτάρῳ ὄντας· οὐδὲν γάρ ἐστιν ὑπὸ Τάρταρον. Σ. Β. — ἐν δὲ τῷ, οἱ Τιτῆνες καλέονται, προσγράφουσί τινες καὶ ἕτερον στίχον τοῦτον· ὤμνυε δ' ἐκ πέτρης κατειβόμενον στυγὸς ὕδωρ, ὡς δέον ὂν ἀπομώσασθαι καὶ στύγα, καθὰ ὁ ὕπνος ἀπήτησε. Ε.

Σ. 281. Τὼ βήτην] Ὅτι ὁ ποιητὴς Ὕπνον καὶ Ἥραν εἰπὼν, τὸ ἐπ' αὐτοῖς δυϊκὸν ἀρσενικῶς προάγει, λέγων· τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε, καὶ ῥίμφα πρήσσοντε κέλευθον· ἐκνικᾷ γὰρ ἡ τοῦ ἀρσενικοῦ ἀξία εἰς σύνταξιν· ὁποῖον καὶ τὸ, Μοῦσαι καλαὶ καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδω· εἰ μὴ ἄρα τις καὶ τοῦτο, καὶ τὰ ῥηθέντα δὲ δυϊκὰ οὐδετέρου γένος ἐρεῖ· καὶ γὰρ γίνεταί ποτε καὶ τοιαύτη σύνταξις, ὁποῖον καὶ τὸ, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. Ἀπέχειν δέ φασι τὴν Λῆμνον καὶ τὴν Ἴμβρον ἀλλήλων σταδίους ἑκατὸν εἴκοσι. Περὶ δὲ Ἴμβρου ὅτι νῆσος Θρᾳκικὴ, ἔχουσα καὶ πόλιν ὁμώνυμον ὁμοίως τῇ Λήμνῳ, καὶ ὅτι Καβείρων ἱερὰ ἦν καὶ Ἑρμοῦ, ὃν Ἴμβρασον οἱ Κᾶρες ἐκάλουν, ἱστοροῦσιν οἱ παλαιοί. Ε.

Σ. 283. 84. Λεκτόν] Τὸ Ἴδην ἀντὶ τοῦ Ἴδης· ἔστι δὲ μέρος Ἴδης τὸ Λεκτόν· — ἀκρωτήριον τῆς Ἴδης κεκλημένον ἀπὸ τοῦ ἐν αὐτῷ κατακλιθῆναι Δία καὶ Ἥραν· — ἀφορᾷ δὲ τὸ Λεκτὸν ἐπὶ τὸ Αἴγειον πέλαγος. Σ. Β. (ἴδ. Θ, 47.).

Σ. 285. Σείετο ὕλη] Ὃ δὴ ἐπὶ θείων προσώπων εἴωθε ποιεῖν· ὧν κινουμένων συγκινεῖται τὰ ὑποκείμενα· — ὡς οἷον αἰσθανομένη θείων κινημάτων, καὶ τρέμουσα καὶ αὐτή· τὸ δὲ ἀκροτάτη, τὸ κοῦφον δηλοῖ καὶ ταχυπετὲς τῆς θείας κινήσεως, ἵνα μὴ σείηται ὑπὸ τῶν ποδῶν ἡ ὕλη διὰ σωματικὸν βάρος, ἀλλὰ διά τι δέος καὶ τρόμον. Ε.

Σ. 290. Λιγυρῇ] Ἀντὶ τοῦ λιγυφθόγγῳ· ἐκ τούτου δὲ σαφῶς ἑρμηνεύεται καὶ τὸ, μάστιγι λιγυρῇ καὶ λιγὺς ἀγορητής. Ε. — ὀξείᾳ. Σ.

Σ. 291. Ἄνδρες δὲ κύμινδιν] Ἴσως δὲ καὶ ὡς οἰκειότερον αὐτοῖς, ὧν ὁ ὕπνος κρατεῖ· ἔοικε γὰρ ὁ κύμινδις, κρύμινδίς τις εἶναι, οἱονεὶ κρύψις τοῦ ἰδεῖν, ὅπερ ὕπνῳ οἰκεῖόν ἐστι· διὸ καὶ τοιούτῳ ζώῳ τὸν ὕπνον ἐμόρφωσεν, ὃ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους φασὶ κρύπτειν. — Ἡ ἱστορία λέγει, ὅτι ὁ κύ-

НБ ОНУ імені І.І. Мечникова

μινδις ὀλιγάκις φαίνεται, οἰκεῖ γὰρ ὄρη· μέγεθος, ὅσον φασσοφόνος ἱέραξ· τὴν ἰδέαν λεπτὸς καὶ μακρός· κύμινδιν δὲ καλοῦσιν Ἴωνες αὐτόν· οὗτος ἡμέρας μὲν οὐ φαίνεται διὰ τὸ μὴ βλέπειν ὀξύ· τὰς δὲ νύκτας, θηρεύει, ὡς οἱ ἀετοὶ, καὶ μάχεται πρὸς τὸν ἀετὸν οὕτω σφοδρῶς, ὥστε πολλάκις ἄμφω λαμβάνεσθαι ζῶντας ὑπὸ τῶν νομέων· νεοττεύει δ' ἐν πέτραις καὶ σπηλαίοις. Λέγει δὲ ἡ ἱστορία καὶ ὡς μέλας ἐστὶ, χαλκίζων τὴν χροιὰν, ὅθεν καὶ χαλκὶς λέγεται. Ὁ δὲ μῦθος λέγει, Ἁρπαλύκην ταύτην εἶναι, ἡ μιγεῖσα Κλυμένῳ τῷ πατρὶ κατὰ βίαν, καὶ ἑψήσασα τὸν υἱὸν Πρέσβωνα, παρέθηκεν αὐτῷ· εἶτα εἰς Χαλκίδα μετεβλήθη. Ἕτεροι δὲ μυθεύονται, ὡς ἐν Χαλκίδι διάγουσαν ὅτε ἄνθρωπος ἦν, καὶ συνελθοῦσαν τῷ Διῒ ἀπωρνίθωσεν ἡ Ἥρα. Ε.

Σ. 292. Γάργαρον] Ἴδ. Θ. 47.

Σ. 294. Ὡς μιν ἔρως] Νῦν εὐθέως ἢ τότε. Σ. — Πυκινὰς φρένας] Τὸ δὲ πυκινὰς φρένας, ἐστι μὲν σεμνότερον τοῦ ἁπλῶς νόον εἰπεῖν, ἔχει δέ τι οἴκτου, ὡς οἷα τοῦ ποιητοῦ δεινὸν ἡγουμένου εἰ τὰς τοιαύτας φρένας δολοφρονέουσα ἡ Ἥρα ἠπάτησεν. Ε. — συνετάς. Σ.

Σ. 295. Οἷον ὅτε πρῶτόν περ κ.τ λ] Ὁ δὲ φλύαρος μῦθος προστίθησι τοῖς κατὰ τὸν Δία καὶ τὴν Ἥραν καὶ τοιαῦτά τινα· ὅτι ὅτε Κρόνος ἐταρταρώθη, ἐξεδόθη τῷ Διῒ παρὰ Τηθύος καὶ Ὠκεανοῦ ἡ Ἥρα, ἐγκύμων μὲν οὖσα, ὡς παρθένος δὲ ὑπονοουμένη. Τεκοῦσα δὲ τὸν Ἥφαιστον προσεποιήσατο δίχα μίξεως τεκεῖν, καὶ Κηδαλίωνι τῷ Ναξίῳ ἐκεῖνον παρέδωκε διδάξαι χαλκευτικήν. Ἕτεροι δὲ ἐν Σάμῳ λάθρα διαπαρθενευθῆναι αὐτήν φασιν· ὅθεν Σάμιοι κατὰ ζῆλον Ἥρας λάθρα τὰς παρθένους συγκοιμίζουσιν, εἶτα φανερῶς τοὺς γάμους θύουσι. — Ἄλλοι δὲ μυθεύονται, ὅτι ἐξ Εὐρυμέδοντος ἑνὸς τῶν Τιτάνων ἔτεκεν ἡ Ἥρα τὸν Προμηθέα παρθένιον· γνοὺς δὲ ὁ Ζεὺς, τὸν μὲν Εὐρυμέδοντα ἐταρτάρωσε· τὸν Προμηθέα δὲ ὕστερον προφάσει τοῦ πυρὸς ἐν Καυκάσῳ ἀνασκολοπίσας προσεπαττάλευσε. Ε.

Σ. 296. Λήθοντε τοκῆας] Καὶ Ἀπολλόδωρος ἱστορεῖ, κρύφα τὸν Δία τῇ Ἥρᾳ συγκαθευδῆναι. Σ. (ἴδ. Ἀπολλόδ. Α, 3. 1.). Τοκῆας οὖν τοὺς περὶ Κρόνον καὶ Ῥέαν· ἔνιοι δὲ τοὺς προγόνους τοὺς περὶ Ὠκεανὸν καὶ Τηθύν. Σ. Β.

Σ. 303. Ἀτίταλλον] Ἴδ. Ε, 271.

Σ. 307. Ἐν πρυμνωρείῃ] Ὅτι ὥσπερ ἀκρώρεια ἡ ἀνωτάτω

НБ ОНУ імені І.І. Мечникова

τοῦ ὄρους ἐξοχή, οὕτω πρυμνώρεια τὸ πρυμνὸν ἤτοι τὸ κατωτάτω αὐτῆς ἄκρον· οἵπερ εἰσὶν ἀκριβῶς πόδες ὄρους. Ε.

Σ. 308. Τραφερήν] Τραφερὴ δὲ, ἡ κατὰ τὸ κοινὸν ἡ τρέφουσα τὰ κατ᾽ αὐτὴν δηλαδὴ, ὡς καὶ ἡ θάλασσα τὰ περὶ αὐτήν· ἢ καὶ ἄλλως παρὰ τὸ τρέφω τὸ πήγνυμι, ἡ εὐπαγὴς καὶ στερρὰ καὶ διαστελλομένη οὕτω τῆς ὑγρᾶς. Ε. — γῆν καὶ θάλασσαν. Σ.

Σ. 309. Τόδ᾽ ἱκάνω] Ἀντὶ τοῦ ἐνταῦθα, κατὰ τό δε δηλαδὴ τὸ χωρίον. Ε.

Σ. 310. Χολώσεαι] Ἐντέχνως αὐτὸν γοητεύει, ὡς τῇ ἐξουσίᾳ ἐκείνου τὰς ἰδίας ἐπιτελοῦσα χρείας. Σ. Β.

Σ. 313. Ἥρη, κεῖσε μὲν ἔστι] Ὅρα ὅσον ἐστὶν ἡ φιληδονία, ὑπέρθεσιν οὐ δεχομένων, καὶ τῶν καθηκόντων ἐμποιοῦν ἀμέλειαν. Σ. Β.

Σ. 315. Πώποτέ μ᾽ ὧδε θεᾶς ἔρος] Ὅτι τὸ ἔρος αἰολικὸν διὰ συνεσταλμένου τοῦ ο ἐνταῦθα κεῖται παρά γε τῷ ποιητῇ, ἀφ᾽ οὗ καὶ τὸν ἔρον κλίνομεν· — καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι τὸν ἔρωτα· συντομώτερον δ᾽ εἰπεῖν, ὅσοι τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας. Ἔστι γὰρ οὔτε θῆλυς, οὔτ᾽ ἄρσην· πάλιν, οὔτε θεὸς, οὔτ᾽ ἄνθρωπος· οὔτ᾽ ἀβέλτερος, οὔτ᾽ αὖθις ἔμφρων, ἀλλὰ συνηνεγμένος πανταχόθεν, ἑνὶ τύπῳ πόλλ᾽ εἴδη φέρων· ἡ τόλμα μὲν γὰρ, ἀνδρός· ἡ δειλία δὲ, γυναικός· ἡ δ᾽ ἄνοια, μανίας· ὁ δὲ λόγος, φρονοῦντος, καὶ τὰ ἑξῆς. Ε. — Οὐδὲ γυναικός] Ἀντὶ τοῦ θνητῆς, ὡς καὶ ἀλλαχοῦ, ἠὲ θεὸς, ἠὲ γυνή· ὡς μείζονα δὲ τὸν γυναικεῖον ἐπήγαγεν ἔρωτα· ἢ ὅτι ὁ τῶν ὁμοφύλων ἔρος οὐ λίαν ἐστὶν ἐπιτεταμένος, ὡς ὁ τῶν παρὰ φύσιν· — ὅτι ἐξαρκεῖ τὸ κεφαλαιωδῶς εἰπεῖν· τὸ δὲ ἐξ ὀνόματος ἐπιφέρειν, ἐνέκοπτε μᾶλλον, ἢ ἔπειθεν. Σ. Β.

Σ. 316. Περιπροχυθείς] Περιπεσὼν, κατασχών. Σ.

Σ. 317. Ἰξιονίης] Τὸ δὲ Ἰξιονίης, κτητικὸν ὂν, μὴ γραφὲν δὲ διὰ τῆς ει διφθόγγου, σημειῶδές ἐστι καὶ αὐτὸ διὰ τὴν τοῦ διχρόνου παράληξιν, καθὰ καὶ ὁ αἰπύτιος τύμβος καὶ τὰ ἄλλα· — ὧν τῆς γραφῆς αἴτιος, ὁ ἐν τῷ ἡρωϊκῷ μέτρῳ ἀναγκαῖος δακτυλισμός. Ε. — τῆς Ἰξίονος γυναικὸς Δίας· ἦν δὲ αὕτη θυγάτηρ Ἰξιονέως· μετὰ δὲ τὸ φθαρῆναι αὐτὴν ὑπὸ Διὸς ὕστερον Ἰξίονι ἐζεύχθη. Σ. Β.

Σ. 319. Καλλισφύρου] Ὅτι πολλαχοῦ χαίρει Ὅμηρος καλλισφύρους λέγειν γυναῖκας περιεργαζόμενος τοὺς καλοὺς πόδας,

ὡς καὶ ἐν τῷ, ἀργυρόπεζα, καὶ ἐν τῷ τανύσφυρος, ὅ ἐστι λεπτόσφυρος, ὀρθόσφυρος, δηλόν ἐστι. Τοῦ δὲ Ἀκρισιώνη, τοιοῦτος ὁ κανών. Ἀπὸ τῶν εἰς ¯ος καθαρῶν κυρίων ὀνομάτων, γίνονται θηλυκὰ πατρονυμικὰ διὰ τοῦ ω_νη_· — ἀπὸ δὲ τῶν μὴ καθαρῶν διὰ τοῦ ¯ινη· ὡς Ἀδραστίνη, ἡ τοῦ Ἀδράστου. Ε. — Δανάη, Ἀκρισίου θυγάτηρ, ἡ Διῒ συγκοιμηθεῖσα, Περσέα ἐγέννησε. Χρησαμένῳ γάρ φησι τῷ Ἀκρισίῳ περὶ γενέσεως ἀῤῥένων παίδων, ὁ θεὸς ἔφη τὸν γενόμενον παῖδα ἐκ τῆς θυγατρὸς αὐτοῦ αὐτὸν κτενεῖν. Δείσας δὲ ὁ Ἀκρίσιος κατὰ γῆς θάλαμον χαλκοῦν κατασκευάσας, τὴν Δανάην ἐφρούρει. Αὕτη δὲ, ὥς φησι Πίνδαρος, καὶ ἕτεροί τινες, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου· ὅθεν αὐτοῖς στάσεις ἐκινήθη. Ὡς δὲ ἔνιοί φασι, Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν καὶ διὰ τῆς ὀροφῆς εἰσδὺς εἰς τὸν Δανάης κόλπον, συνῆλθεν αὐτῇ. Αἰσθόμενος δὲ Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγενημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν, εἰς θάλασσαν ἔῤῥιψε. Διασωθέντων δὲ τούτων εἰς Σήριφον τὴν νῆσον, συνέβη ἀνατραφῆναι τὸν παῖδα παρὰ Πολυδεύκῃ, ἢ ὡς ἔνιοί φασιν, ὑπὸ Δίκτυος τοῦ ἀδελφοῦ Πολυδεύκους. Φυγόντος δὲ ὕστερον Ἀκρισίου τὴν Ἀργείων βασιλείαν παρέλαβε Περσεύς. Σ.

Σ. 320. Ἀριδείκετον] Μεγάλως εὐπρεπῆ, ἀσπαστόν. Σ.

Σ. 321. Φοίνικος κούρης] Θυγατρός· λέγει δὲ τῆς Εὐρώπης· ἔνιοι δὲ αὐτὴν οὐ Φοίνικος, ἀλλ' Ἀγήνορος εἶπον. Σ.

Σ. 323. Ἀλκμήνης] Ἀλκμήνης τῆς Ἠλεκτρύονος καὶ Ἀναξοῦς τῆς Ἀγκαίου (ἀνάγνωθ. Ἀλκαίου) ἠράσθη Ἀμφιτρύων, ὃς ἀνελὼν Ἠλεκτρύονα βοῶν ἀμφισβητήσεως χάριν, ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας· σὺν αὐτῷ δὲ καὶ Ἀλκμήνη. Ὑποδεχθέντων δὲ ἀσμένως ὑπὸ τῶν βασιλέων τῶν τῆς πόλεως Κρέοντος καὶ Ἡνιόχης, τιμῆς ἐτύγχανον μεγίστης. Μὴ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι, εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσιν, Τηλέβοαι, κατηγωνίσατο αὐτοὺς Ἀμφιτρύων, προσλαβόμενος συμμάχους Βοιωτοὺς, καὶ Λοκροὺς, ἔτι δὲ καὶ Φωκεῖς, ἐνιαυτὸν προσεδρεύσας. Ὡς δὲ ἐπιστρέψας ἀπὸ τῆς στρατείας ἦγε τοὺς γάμους ἑαυτοῦ καὶ Ἀλκμήνης. Τῇ αὐτῇ νυκτὶ ἐρασθεὶς αὐτῆς ὁ Ζεὺς, καὶ εἰκασθεὶς Ἀμφιτρύωνι, ἐμίγη, καὶ υἱὸν ἐποίησεν. Ὁμοίως δὲ καὶ Ἀμφιτρύων τῇ αὐτῇ νυκτί. Ἤδη

НБ ОНУ імені І.І. Мечникова

δ' ἐκείνης δεκαμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης, γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διὸς, Ἰφικλῆς δὲ Ἀμφιτρύωνος. Σ. Β.

Σ. 325. Χάρμα βροτοῖσιν] Οὗ ἕνεκεν καὶ χαριδότης Διόνυσος· ἐξ Ὁμήρου γενομένης καὶ τῷ τοιούτῳ ἐπιθέτῳ ἀρχῆς. Ε.

Σ. 326. Καλλιπλοκάμοιο] Πλοκάμους τοὺς στάχυας δεῖ νοεῖν, ὡς καὶ ἱστοροῦσιν αὐτὴν ἐστεμμένην τοῖς στάχυσιν. Σ. Β.

Σ. 330. Αἰνότατε Κρονίδη] Γυναικείῳ ἤθει ἐκπλήττει ὡς ἀπηρυθριακότα· αἰδῶ δὲ προφασίζεται, ἀπάξαι αὐτὸν τῆς Ἴδης θέλουσα πρὸς τὴν εὐκαιρίαν τῆς ἐπικουρίας. Σ. Β.

Σ. 331. Λιλαίεαι] Ἴδ. Γ, 399.

Σ. 332. Προπέφανται] Ἤγουν προφανῆ εἰσι. Ε.

Σ. 333. Πῶς κ' ἔοι] Ἤγουν τί ἂν γένοιτο καὶ οἷον ἔσται τὸ τέλος· — τὸ δὲ ἔοι, ὅ ἐστιν ὑπάρχοι, τοῦ ἔον ἤρηται δευτέρου ἀορίστου, ἐξ οὗ ἐὼν ὁ ὑπάρχων. Ε.

Σ. 334. Ἀθρήσειε] Ἴδοι· τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ διαδράκοι. Σ.

Σ. 337. Φίλον ἔπλετο θυμῷ] Τὸ ἐν φιλότητι δηλαδὴ εὐνηθῆναι, ὃ νῦν ἡ Ἥρα σιωπᾷ, φειδομένη πλεονάκις λέγειν τὰ μὴ σεμνά. Ε.

Σ. 338. Ἔστιν τοι θάλαμος] Δοκεῖ μὲν ἀδημόνως διαλέγεσθαι· ἔστι δὲ οὐδὲ τοῦτο ἄτεχνον αὐτῇ, ἀλλὰ θέλει κατακλεῖσαι τὸν Δία εἰς τὸ δωμάτιον, ἵνα μὴ διαναστὰς ἐκ προχείρου ἀθρήσῃ τὴν μάχην. Σ. Β.

Σ. 340. Κείοντες] Ὅ ἐστι κοιμηθησόμενοι. —Εὔαδεν] Τοῦ δὲ εὔαδεν, ὅ ἐστιν ἤρεσεν, ἡδὺ ἔδοξε, προηγεῖται τὸ ἥδω, ὅθεν ἧδε, καὶ διαλύσει, ἕαδε, καὶ αἰολικῇ ἐπενθέσει τοῦ ῡ, εὔαδε. Ε.

Σ. 343. Ἀμφικαλύψω] Περιβαλῶ. Σ. Β.

Σ. 346. Ἔμαρπτε] Ἴδ. Φ, 489. — Ἀγκάς] Τὸ δὲ ἀγκὰς, οἱ μὲν ἐπίῤῥημα νοοῦσιν ὡς τό ἑκάς· — οἱ δὲ αἰτιατικὴν νοοῦσι πληθυντικήν· — καὶ συστέλλεται φασι τὸ ᾱ, Δωριέων ἔθει. Ε. — εἰς τὰς ἀγκάλας. Σ.

Σ. 347. Ποίην] Προθεὶς τὸ γένος, ποίην, ἐπιφέρει τὸ εἶδος· οὐκ εἶπε δὲ ῥόδον διὰ τὸ ἀκανθῶδες· νεοθηλέα δὲ, ἐπεὶ τὴν ἄλλην ἐνεμήθη καὶ ἐπάτησε τὰ ζῶα. Σ.

Σ. 348. Λωτόν] Ἴδ. Β, 776.

Σ. 349. Ὑψόσ' ἔεργεν] Ἤγουν διεῖργεν εἰς ὕψος ἐκ γῆς τοὺς ἀνακειμένους, καὶ ἱκανῶς ὑψηλὴν εἶναι τὴν στιβάδα δηλοῖ. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 353. Ἔχε δ' ἀγκὰς ἄκοιτιν] Ὃ λειότερόν ἐστι τοῦ, ἀγκὰς ἔμαρπτε· δηλοῦν καὶ ὡς ταὐτὸν εἰπεῖν μάρπτειν, ἢ ἔχειν. Ε.

Σ. 355. Ἀγγελίην ἐρέων] Διὰ τὴν ἐπαγγελίαν τῆς ἐρωμένης καὶ ἃ μὴ κελεύεται ὁ Ὕπνος ποιεῖ· οὐ γάρ ἐστι τῶν συμμαχούντων, ὡς οὐδὲ Ἥλιος, οὐδὲ ἡ Δημήτηρ. Σ. Β.

Σ. 358. Ὄφρ' ἔτι εὕδει] Ὅπερ ἐστὶν ἑρμηνευτικὸν τοῦ μίνυνθα. Ε.

Σ. 359. Κῶμα κάλυψα] Λέγει δὲ κῶμα μὲν τὸ, ἢ κοίμημα καὶ ἐν συγκοπῇ κοῖμα καὶ κῶμα, ὡς ἀγκοίνη, ἀγκώνη, ἢ τὸν ἐκ τοῦ ὕπνου κάρον, ἵνα ᾖ ἐκ τοῦ κωμαίνω, κῶμα· — μαλακὸν δὲ τὸ μαλακοποιόν. Ε.

Σ. 360. Παρήπαφεν] Παρηπάτησε, παρέπεισε. Σ. — οὐκ ἀναγκαίως, φασὶ, τὸ ἀπόῤῥητον ἐξήνεγκεν, ἢ πρὸς τὸ θαῤῥαλεώτερον ποιῆσαι Ποσειδῶνα, τὴν τέχνην τῆς Ἥρας ἐδήλωσε. Σ. Β.

Σ. 364. Μεθίεμεν] Παραχωροῦμεν. Σ. — ἀμελοῦμεν καὶ ἀφίεμεν τῇ δεῖνι νίκην. Ε.

Σ. 368. Ποθή] Ἐπιζήτησις, χρεία. Σ.

Σ. 376. Ὃς δέ κ' ἀνὴρ κ. τ. λ.] Οὗτος καὶ ὁ ἑξῆς ἀθετοῦνται, ὅτι γελοῖον, μὴ τὰ ἁρμόζοντα ἀναλαμβάνειν, ἀλλὰ μείζονα εἰς ἐμποδισμὸν τῆς χρήσεως. Ζηνόδοτος δὲ προηθέτει: — Ὀλίγον σάκος] Μικρὰν ἀσπίδα· ἔστι δὲ ποσότης ἀντὶ πηλικότητος. Σ. Β.

Σ. 377. Ἐν ἀσπίδι μείζονι δύτω] Ἵνα δηλαδὴ ἀσφαλέστερον ἔχοντες οἱ ἄριστοι, προθύμως κινδυνεύοιεν.

Σ. 382. Χείρονι δόσκεν] Δόσκον γράφουσιν οἱ ἀκριβέστεροι, τουτέστιν ἐδίδουν οἱ βασιλεῖς· ἄλλως γὰρ οὐκ ἦν τοῦτο γενέσθαι ὑπὸ τῶν τυχόντων ἐσθλῶν. Ε.

Σ. 386. Οὐ θέμις ἐστί] Τὸ δὲ οὐ θέμις ἐστιν, ἀντὶ τοῦ οὐ δυνατόν. Ε. —Τῷ δὲ Ποσειδῶνι οὐ δίκαιόν ἐστι μιχθῆναι ἐν τῇ ὀλεθρίᾳ μάχῃ. Σ.

Σ. 387. Ἰσχάνει] Κατέχει, λαμβάνει· — πεποίηται γὰρ εἰς φόβον, οὐκ εἰς φόνον. Σ.

Σ. 392. Ἐκλύσθη] Οἷον ἐκλυδωνίσθη, ὡς οἷον συναγανακτοῦσα τῷ τῆς ὑγρᾶς οὐσίας ἐπιστάτῃ Ποσειδῶνι καὶ συναγωνιῶσα. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 393. Ἀλαλητῷ] Στρατιωτικὸς ἀλαλαγμὸς, ὃν ἀλαλὰν λέγουσιν οἱ Δωριεῖς, βοὴ πρὸ μάχης. Ε.

Σ. 394. Οὔτε θαλάσσης κῦμα βοάᾳ] Καινοτάταις τρισὶν ἐνταῦθα χρᾶται οὐ παραβολικαῖς ὁμοιότησιν ὁμοῦ κειμέναις, ἀλλ' ὑπερβολικαῖς ὁμοιοτήτων αὐξήσεσι, τῇ ἀπὸ θαλάσσης, τῇ ἀπὸ πυρὸς, καὶ τῇ ἐξ ἀνέμου· τριῶν τούτων ἐν ἀνθρώποις ἰσχυροτάτων. Ε.

Σ. 395. Βορέω] Τὸ δὲ Βορέω, Ἰωνικόν ἐστι συγκοπὲν ἐκ τοῦ Βορέεω, καθὰ καὶ τὸ Ἑρμείω ἐκ τοῦ Ἑρμείεω. Ε.

Σ. 396. Βρόμος] Βρόμος κυρίως ὁ τοῦ πυρὸς ἦχος. Ὅθεν καὶ Βρόμιος ἀπὸ τοῦ πυρός· ἐν οἷς οἱ ποιηταὶ καὶ τὸν μῦθον ἔπλασαν, ὅτι ἐκ Διὸς καὶ Σεμέλης ἐστὶ βληθείσης τῷ κεραυνῷ, καὶ ὅτι πυραγενής ἐστι. Σ.

Σ. 398. Δρυσὶν ὑψικόμοισιν] Τὸ δὲ δρυσὶν ὑψικόμοισιν, Ἀγαθοκλῆς, ὡς οἱ παλαιοί φασι, δρυσὶν ἐξοφόροισι γράφει. Αἱ μὲν γὰρ ἄκαρποί φησι καὶ πλατύφυλλοι, ἐρίφλοιοι καλοῦνται παρὰ Περγαμηνοῖς· αἱ δὲ λεπτόφλοιοι καὶ καρποφόροι, ἡμερίδες (Ὀδυσσ. Ε, 69.)· καὶ τοὺς ἐπὶ τούτων εὐανθοῦντας βότρυς, σταφυλὰς καλοῦσιν, ἐξ ὧν καὶ ὁ ἰξὸς γίνεται· ἡ γὰρ ἄκαρπος δρῦς φησι, κηκιδοφόρος ἐστίν· ὅτι δὲ δρύες τινὲς, ἡμερίδες εἰσέτι καὶ νῦν λέγονται, οἱ περὶ Θρᾴκην οἴδασιν· ἀλλὰ ταῦτα μὲν περὶ χερσαίων δρυῶν· τὰς δὲ θαλασσίας ὁ Μεγαλοπολίτης ἱστορεῖ Πολύβιος, λέγων, ὡς καὶ Ἀθήναιος παρασημειοῦται, περί που τὴν δυτικὴν Ἰβηρίαν δρῦς εἶναι κατὰ βάθους, ὧν τὸν καρπὸν σιτουμένους τοὺς θύννους πιαίνεσθαι· διὸ οὐκ ἄν φησιν ἁμάρτη τις λέγων, ὡς θαλαττίους εἶναι τοὺς θύννους αὐξομένους ἀπὸ τῶν ῥηθέντων βαλάνων. Ε.

Σ. 399. Ἠπύει] Ἠπύει δὲ οὐ μόνον ἐπ' ἀνθρώπων, ὅθεν καὶ ἠπύτα κῆρυξ, ἀλλ' ἰδοὺ καὶ ἐπὶ ἀνέμου· ἀλλαχοῦ δὲ καὶ ἐπὶ πολέμου, ὡς ἔστι νοεῖν ἐκ τοῦ βριήπυος ἄρης· (Ν, 521.). Ε.

Σ. 403. Τέτραπτο πρὸς ἰθὺ οἱ] Τὸ δὲ τέτραπτο πρὸς ἰθὺ, ἀντὶ τοῦ ἀντικρὺ ἵστατο, ἀντιπρόσωπος, κατ' εὐθύ· οὐ μὴν εὐρὰξ ὅ ἐστιν ἐκ πλαγίων, ἢ ἄλλως ὁπωσοῦν. Ε.

Σ. 406. Χώσατο] Νῦν ἐλυπήθη. Σ.

Σ. 407. Ἐτώσιον] Τὸ ἐν ἄλλοις ῥηθὲν ἅλιον. Ε.

Σ. 410. Τά ῥα πολλά] Ἤγουν ἃ δὴ πολλά — ἐκυλίνδετο, τῶν ἐν ἀείρας κ. τ. λ. Ε. — ἔχματα δὲ καὶ νῦν κρατήματα, στηρίγματα, ὑπερείσματα.

Σ. 412. Στῆθος βεβλήκει] Τὸ δὲ στῆθος βεβλήκει οὐ

προτροπάδην φεύγειν τὸν Ἕκτορα παριστᾷ στρέψαντα νῶτον, ἀλλ' ἀναποδίζειν καὶ πρὸς ἰθὺ καὶ αὐτὸν τετράφθαι τῷ Αἴαντι — ὑπὲρ ἄντυγος· λείπει τὸ ἀσπίδος.

Σ. 413. Στρόμβον] Ὡς ῥόμβον περιφερῆ· λέγει δὲ τὸν καλούμενον βέμβηκα. Σ. — Ἔσσευε] Κινεῖσθαι ἐποίησε. Σ.

Σ. 414. Ὡς δ' ὅθ' ὑπὸ πληγῆς] Ἔστιν ἡ παραβολὴ κατὰ τὸ πλεῖον ἁρμόττουσα τῷ πράγματι. Ε. — ὁ Αἴας Διὶ εἴκασται, ὁ λίθος κεραυνῷ, ὁ Ἕκτωρ δρυῒ μεγίστῃ πεσούσῃ ἐκ ῥιζῶν. Σ. Β.

Σ. 419. Ἐάφθη] Ἴδ. Ν, 543.

Σ. 424. Οὐτάσαι] Ἐγγὺς, βαλεῖν πόῤῥωθεν. Σ. Β. — Περίβησαν] Ὑπερεμάχησαν. Σ.

Σ. 427. Οὔτις εὖ ἀκήδεσεν] Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ, οὔτις εὖ ἀκήδησε, γίνεται τὸ εὖ ἀπὸ τοῦ ἕο κατὰ κρᾶσιν, ὡς τὸ σέο, σεῦ· ἐμέο, ἐμεῦ· καί ποτε καὶ ἐγκλίνεται δίχα τόνου προφερόμενον. Ε.

Σ. 433. Ἐϋῤῥεῖος] Ὅπερ ἐςὶν εὐρείτου· — ἵνα ᾗ ἐϋῤῥύς, ἐϋῤῥέος, ὡς ἡδύς, ἡδέος, καὶ ἐπενθέσει τοῦ ι ἐϋῤῥεῖος. Ε. — Πόρον] Πόρον λέγει τὸ διαβατὸν μέρος τοῦ ποταμοῦ, διὰ τὸ πορεύσιμον εἶναι. Σ. Β.

Σ. 435. Πέλασαν χθονὶ] Ἤγουν εἰς γῆν ἔθεντο ἀνακλίναντες. Ε.

Σ. 436. Ἀμπνύνθη] Ἤγουν ἀνέπνευσε. Ε. — Ἔμφρων ἐγένετο, λειποθυμήσας. Σ.

Σ. 437. Ἑζόμενος ἐπὶ γοῦνα] Διαναστὰς ἐπὶ γόνατα Σ.

Σ. 438. Πλῆτο] Τὸ δὲ πλῆτο σύστοιχόν ἐστι τῷ πέλασαν· ἀπὸ γὰρ τοῦ πέλω γίνεται πλῶ, καὶ ἀπ' αὐτοῦ τὸ πλῆτο. Ε. — προσεπελάσθη. Σ. — ἐναργῶς πάνυ· προσενεχθέντος γὰρ αὐτῷ τοῦ ὕδατος, πρὸς ὀλίγον ἑαυτὸν συνέλεξεν· ἐμέσας δὲ τὸ αἷμα, πάλιν παρείθη. Σ. Β.

Σ. 439. Βέλος] Ἡ ἀπὸ τῆς βολῆς ὀδύνη, ἢ ὁ βεβλημένος τόπος. Σ.

Σ. 444. Ἀμύμων] Ὅτι τὸ ἀμύμων, θνητῶν προσώπων ἐπίθετον εἶναι παρασημειοῦνται οἱ παλαιοὶ, καθ' ἣν ἔννοιαν καὶ νύμφη Νηῒς ἀμύμων, ὡς μακρόβιος μὲν, οὐ μὴν καὶ ἀθανάτη. Ε.

Σ. 447. Ἀνετράπετο] Ἀνατραπῆναι λέγει τὸ ἀναστραφῆναι· τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ ἀγγείων καὶ τραπεζῶν ἄνω κάτω γινομένων. λέγεται δὲ καὶ πόλις ἀνατετράφθαι, ὅτε χαλασθείη. Ε. (ἴδ. Ζ, 64).

Σ. 454. Πανθοΐδαο] Ἀντὶ τοῦ τὸν ἐμόν· ἕκαστον δὲ τῶν ῥημάτων ἐναργὲς, καὶ φαντασίαν ἔχων βαρβαρικήν. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 457. Σκηπτόμενον] Ἀστείως λεχθὲν ἀντὶ τοῦ σκηριπτόμενον, καὶ ὡς βακτηρίᾳ ἐπερειδόμενον. Ε. — σαρκασμὸς δὲ ὁ τρόπος. Σ. Β. — Κατίμεν] Ἤγουν κατιέναι εἰς ᾅδου. Ε.

Σ. 463. Λικριφίς] Τὸ δὲ λικριφὶς ἅπαξ μέν φασιν ἐνθάδε, καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ (Τ, 451.) εἴρηται, δηλοῖ δὲ τὸ πλαγίως, καὶ ὡς ἄν τις εἴποι, λέχριος· ἢ λίαν χρίμψας καὶ πλησιάσας τῇ γῇ. Ε. — εἰς πλάγιον ὁρμήσας, ὅ ἐστιν ἐγκλίνας. Σ.

Σ. 465. Κεφαλῆς τε — ἐν συνεοχμῷ] Συνεοχμὸν δὲ κεφαλῆς εἰπεῖν καὶ συνοχὴν ταὐτόν ἐστιν, ἤγουν συγκόλλησιν, συγκράτησιν. Ε. — ἐν τῇ συναφῇ τοῦ ἰνίου, ἐν τῷ συνδέσμῳ. Σ. — τῷ συνέχοντι τὸν τράχηλον πρὸς τῇ κεφαλῇ τόπον, τουτέστι, τῷ τελευταίῳ σπονδύλῳ. Σ. Β.

Σ. 166 Ἀστράγαλον] Ἀστράγαλον δὲ οὐ τὸν ἐν ποσὶ λέγει, τοὺς γὰρ τοιούτους, ὡς καὶ Ἀριστοτέλης φησὶν, οὔτε ἄνθρωπος ἔχει, οὔτε τι τῶν μωνύχων καὶ ἀκεράτων, ἀλλὰ τὸν σπόνδυλον, ὅς ἐστι κεφαλῆς καὶ αὐχένος συνεοχμὸς, ἤγουν συνοχμὸς, πλεονάζει γὰρ τὸ ε, καὶ συνοχὴ τραχήλου καὶ κεφαλῆς, τῷ ἰνίῳ συνάπτων, καὶ καλούμενος θέσις ἐγκεφάλου. Ε.

Σ. 471. Ἀντὶ πεφάσθαι] Ἀντὶ τοῦ Προθοήνορος πεφονεῦσθαι. Σ.

Σ. 474. Ἄγχιστα ἐῴκει] Αὐτῷ γάρ ῥα φυὴν ἄγχιστα ἔοικεν. Σ. Β.

Σ. 477. Ἀμφὶ — βεβαώς] Ὑπερμαχόμενος. Σ. Β. (ἴδ. Ε, 299).

Σ. 479. Ἰόμωροι] Ἰόμωροι δὲ ἤτοι τοξόται βαρβαρικῶς ὀνειδίζονται οἱ Ἀχαιοὶ τῷ Ἀκάμαντι, ὡς εἴπερ οὐκ ἦσαν τοιοῦτοι καὶ παρὰ Τρωσίν· εἰσὶ δὲ καὶ νῦν ὡς καὶ ἀλλαχοῦ, ἰόμωροι, οἱ μόρον ἐμποιοῦντες ἐν ἰοῖς, ἐκτάσει τοῦ ο εἰς ω μέγα· ἢ περὶ ἰοὺς μεμορημένοι καὶ κακοπαθῶς ἔχοντες, ἢ ὀξεῖς ἰοὺς κεκτημένοι· μόρον γάρ φασι παρὰ Κυπρίοις τὸ ὀξύ· ἢ πλεονασμῷ τοῦ μῦ, ἵνα εἶεν ἰόωροι οἱ τῶν ἰῶν ὤραν ἤτοι φροντίδα ἔχοντες. Ε. (ἴδ. Ἀπολλών. ἰόμωροι). — Ἀπειλάων ἀκόρητοι] Οὐ μόνον οἱ ἀλαζόνες ἐν τῷ ἀπειλεῖσθαι δεινὰ, ἀλλὰ καὶ οἱ καυχηταί. Ε. — μὴ πληροῦντες τὰς ἀπειλὰς, ἀτελείωτα καυχώμενοι. Σ. Β.

Σ. 480. Οὐ θην κ. τ. λ.] Ἤγουν οὐ δὴ μόνοι πονήσομεν ἡμεῖς κ. τ. λ. Ε.

Σ. 483. Ποινή] Ἀντέκτισις, τιμωρία. Σ. — Ἄτιτος] Ἀτιμώρητος. Σ. — ἢ ἀνεκδίκητος, ἢ μᾶλλον ἡ ἀναπόδοτος, ὡς ἐκ μεταφορᾶς τῶν ἐν πόλεσιν ἢ κώμαις ἀποτινόντων ποινὴν ὑπέρ τινος πεφονευμένου. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 485. Ἄρεως ἀλκτῆρα] Ἄρεος δὲ ἀλκτὴρ, ὁ τοῦ φόνο ἐκδικητὴς, ὁ καὶ ἀμύντωρ πρὸ ὀλίγων ῥηθείς.

Σ. 491. Ἑρμείας ἐφίλει] Ὡς πολύμηλον, αὐτὸς νόμιος ὤν· εἰς ὃν ὡς τὰ πολλὰ οἱ παλαιοὶ τὰς εὐποτμίας ἀνάγουσι, διὸ καὶ τὸ κατὰ τύχην εὑρεθὲν ἀγαθὸν, ἕρμαιον ἐλέγετο· — τὸν δὲ αὐτὸν ἄλλως Ἑρμῆν καὶ ὡς στερητικὸν κλέπτην πλάττουσιν· οὐ γὰρ μόνον εὐερμεῖ τις ἐξ αὐτοῦ, ἀλλὰ καὶ δυσερμίαν ἔχει κατὰ τοὺς παλαιοὺς, ὡς τὰ ἐναντία ἐνθεωρεῖσθαι καὶ αὐτῷ. Ε.

Σ. 492. Μοῦνον τέκεν] Πιθανῶς εἰς τὸ παθητικὸν αὐτὸν μόνον φησὶ γενέσθαι τῷ πατρὶ, καὶ ὅτι τἄλλα αὐτῷ εὖ ἔχει πράγματα καὶ τετίμηται ὑφ᾽ Ἑρμοῦ. Σ. Β.

Σ. 493. Θέμεθλα] Ὅρα δὲ καὶ τὸ θέμεθλα ὀφθαλμοῦ, ὃ δηλοῖ τὸ ἐν βαθυτάτῳ, τροπικῶς ὡς ἐπὶ οἰκοδομῆς ἐπιμεμελημένης λεχθέν. Ε. — ῥίζας, βάσεις, ἐφ᾽ ὧν ἥδρυσται ὁ ὀφθαλμός. Σ.

Σ. 494. Γλήνην] Ἴδ. Θ, 164.

Σ. 497. Ἀπήραξεν] Ἀντὶ τοῦ ῥᾷον καὶ ἀπόνως ἀπέκοψεν. Ε.

Σ. 499. Φῆ κώδειαν ἀνασχών] Τὸ ἔφη ῥῆμά ἐστιν, οὐχ ὡς Ζηνόδοτος ἀντὶ τοῦ ὡς· ἀλλὰ τὸ ἔφη, πέφραδεν, ηὔδα, ἐκ παραλλήλου ταὐτά· Κώδεια δέ ἐστιν ἡ τῆς μήκωνος κεφαλή· εἰκάζει δὲ τὴν ἐπ᾽ ἄκρου τοῦ δόρατος ἐμπεπαρμένην κεφαλὴν τῇ τῷ ἰδίῳ καυλῷ συνημμένῃ κωδείᾳ· λείπει δὲ μετὰ τὸ ἔφη τὸ ὡς. Σ. Β.

Σ. 501. Εἰπέμεναί μοι] Περιττὸν δοκεῖ τό μοι κεῖσθαι. Ε.

Σ. 504. Ἐλθόντι] Τουτέστιν ἐπανελθόντι ἐκ Τροίας. Ε.

Σ. 509. Βροτόεντα] Ἴδ. Ζ, 480. — Ἀνδράγρια] Σκῦλα τὰ παρὰ ἀνδρῶν ἢ ἀπὸ ἀνδρῶν ἀγρευόμενα, ἢ ἀγειρόμενα· ξένη δέ φασιν ἡ λέξις ἅπαξ ῥηθεῖσα· παρῆκται δὲ καθ᾽ ὁμοιότητα τοῦ βοάγρια, ζωάγρια, μοιχάγρια. Ε. — ἐκ δὲ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον, ἀντὶ τοῦ, τίς πρῶτος τῶν Ἑλλήνων ἀνεῖλέ τινα τῶν πολεμίων; τοῦτο γὰρ ἀποκρίνονται αἱ Μοῦσαι. Σ. Β.

Σ. 510. Ἔκλινε μάχην] Ἑτεροκλινῆ ἐποίησεν, ἔτρεψε. Σ.

Σ. 511. Αἴας—Ὕρτιον οὖτα] Ὅρα δὲ καὶ ποικιλίαν ἐφεξῆς ἐνταῦθα ῥημάτων ἰσοδυνάμων, καὶ κατὰ ῥήτορας εἰπεῖν, ἐπίχυσιν, καὶ τούτων πρεπόντων ποιήσει. Ε.

Σ. 517. Ἄφυσσε] Ἴδ. Ν, 508.

Σ. 521. Ἐπισπέσθαι] Ἐπακολουθῆσαι. Σ. —ἐπιδιώξαι. Σ. Β.

Σ. 522. Τρεσσάντων] Ἀντὶ τοῦ εἰς φυγὴν τραπέντων. Ε.— διὰ δέος φυγόντων. Σ.

НБ ОНУ імені І.І. Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

## ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῾ΡΑΨΩΙΔΙΑ, ῏Η ΓΡΑΜΜΑ Ο.

Σ. 2. ῎Εβησαν] Ἡ ἀναφορὰ πρὸς τὸ, πάπτηνεν δὲ ἕκαστος ὅπη φύγῃ αἰπὺν ὄλεθρον· ἔνθα δὲ γὰρ τὸ πέρας τῆς διώξεως προσέθηκεν· — τὸ ἑξῆς, διέβησαν τούς τε σκόλοπας καὶ τὸν τάφρον. Σ. Β.

Σ. 3. Ἐρητύοντο] Κατείχοντο. Σ. — οἱ ἔξω καταλειφθέντες· οὐδεὶς γὰρ σὺν ἵπποις εἰσῆλθεν ἢ ῎Ασιος Ὑρτακίδης· ἢ τοὺς ἡνιόχους φησί. Σ. Β. (ἴδ. Μ, 75).

Σ. 4. Χλωροὶ] Τὸ χλωροὶ ταὐτόν ἐςι τῷ ὠχροί· — ἰστέον δὲ, ὅτι οὐ μόνον ἐπὶ ὠχρότητος ἡ χλωρότης μεταφορικῶς τίθεται, διὰ τὸ χρῶμα, ἀλλὰ καὶ τὸ πρόσφατον ἔστιν ὅτε καὶ τὸ νεάζων δηλοῖ διὰ τὸ ἐν τῇ χλόῃ νεοθαλές· οὕτω γὰρ χλωρὸς τυρὸς ὁ νεοπαγής· ὥσπερ αὖ πάλιν ὁ μὴ τοιοῦτος γάλα εἴρηται ξηρόν· λέγεται δὲ καὶ γόνυ χλωρὸν, τὸ νεαρὸν καὶ διὰ τοῦτο σθεναρὸν καὶ οὐχ οἷον ἔχουσιν οἱ ξηροὶ καὶ ἀλίβαντες. Ε.

Σ. 10. Εἵατο] Ὁ μὲν Ἀρίσταρχος ψιλοῖ, ἀπὸ τοῦ εἰμὶ ἐκδεχόμενος, ἀντὶ τοῦ ὑπῆρχον· ὁ δὲ Ἡροδιανὸς ἀπὸ τοῦ ἕω, τοῦ καθέζομαι, ἵνα δηλοῖ τὸ περιεκύκλουν καὶ παρεκάθηντο. Σ. Β. — ῎Εχετ' ἄσθματι] Περίφρασίς ἐστι τοῦ ἤσθμαινε. Ε. — οὐχ εὐπορῶν, ἀλλὰ ἀσταθμήτῳ καὶ ἀσθενεῖ καὶ οὐκ εὐθεῖ πνεύματι. Σ. Β. — Συνείχετο] Ὅ ἐστιν ὑπὸ πολλοῦ πνεύματος καὶ συνεχοῦς ἀναπνοῆς. Σ. — Ἀπινύσσων] ῎Ητοι ἀλλοφρονέων καὶ μὴ ὢν πινυτός. Ε. — παραφρονῶν καὶ ἀναισθητῶν· πινυτὸν γὰρ τὸ αἰσθητόν. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 11. Ἀφαυρότατος] Ὁ Αἴας δηλαδή· νοητέον ἐξ ἐναντίου τὸ, ἀλλ᾽ ὁ ἀνδρειότατος. (ἴδ. Α, 330. καὶ Ο, 155.) Ε.

Σ. 14. Κακότεχνος δόλος] Ὡς ὄντος δόλου πάντως καὶ ἐπὶ καλῷ. — Ἀμήχανε] Δύο σημαίνει, τόν τε μὴ ἔχοντα μηχανὴν, ἀλλὰ ἄπορον καὶ οὐ βαθὺν τὰς φρένας, καὶ τὸν δεινὸν, ὡς ἐνταῦθα, καὶ δυσκατέργαστον, πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι. Ε.

Σ. 16. Κακοῤῥαφίης] Κακοῤῥαφία δὲ, ἡ δυστροπία καὶ κακοβουλία καὶ πανουργία, παρὰ τὸ κακὰ ῥάπτειν, ἤγουν συντιθέναι. Ε.

Σ. 17. Πρώτη ἐπαύρηαι] Ἀντὶ τοῦ προτέρα Ποσειδῶνος δηλονότι, ἢ τῶν Ἑλλήνων. Σ. Β. — Ἐπαύρηαι] Ἐπιψαύσῃς, ἀπολαύσῃς τῆς κακοβουλίας. Σ. (ἴδ. Α, 410). — Πληγῇσιν ἱμάσσω] Κυρίως ἱμάντι πλήξω· τροπικῶς δὲ νῦν κεραυνώσω· μάστιγα γὰρ Διὸς τὸν κεραυνόν φησι, Διὸς μάστιγι δαμέντες. Σ. Β.

Σ. 18. Μέμνῃ] Τοῦ δὲ μέμνῃ πρωτόθετον τὸ μέμνησαι, καὶ τὸ ἐξ αὐτοῦ μέμνηαι. Ε. — Ἐκρέμω] Πρόεστι δὲ καὶ αὐτοῦ τὸ ἐκρέμασο, ἐκρέμαο. Ε — Ἰστέον δὲ ὡς ἡ μυθικὴ τῶν ἀκμόνων ἀπειλὴ ἔοικε πάλαι ποτὲ πραγματικῶς ἐν ἀνθρώποις γίνεσθαι, ἵνα τοῖς κρεμαμένοις μὴ μόνον αἱ χεῖρες ἀλγοῖεν, ἀλλὰ καὶ οἱ πόδες, τῇ τῶν ἀκμόνων ὑφέσει. (Εὐστάθ. σελ. 1003).

Σ. 19. Ἶηλα] Περιέβαλον. Σ.

Σ. 21. Ἠλάστεον] Τὸ δὲ ἠλάστεον ἤγουν ἐδεινοπάθουν ὡς ἐπὶ ἀλάστοις κακοῖς. Ε. — Συνήλγουν. Σ. — ἄλαστα ταῦτα εἶναι ἔφασκον. Σ. Β.

Σ. 22. Παρασταδὸν] Τὸ δὲ παρασταδὸν, διαστέλλει τοὺς ἄλλως δυναμένους λύειν, οἷον παρακλήσει, εὐχῇ, προθυμίᾳ. Ε. — δῆλον δὲ, ὅτι λέγει τὸν Ἥφαιστον. Σ. — ὃν δὲ λάβοιμι· δῆλον ὅτι παριστάμενον, ἢ λύοντα. Σ. Β.

Σ. 23. Τεταγὼν] Τὸ δὲ τεταγὼν οἱ τεχνικοὶ καὶ ἐκ τοῦ τῶ, τὸ λαμβάνω παράγουσιν, ὅθεν καὶ τὸ τῆ, ὅ ἐστι δέξαι, λάβε· τῶ γάρ φασιν, ὅθεν παράγωγον τάζω, ἐξ οὗ τὸ τεταγών. Ε. — Ἀπὸ βηλοῦ] Προσυπακουστέον δὲ ἐνταῦθα εἰς τὸ βηλοῦ ὡς ἀπὸ κοινοῦ τὸ Ὀλυμπίου. (ἴδ. Α, 591).

Σ. 24. Ὀλιγηπελέων] Ὀλιγοδρανῶν, ὀλίγον ἰσχύων καὶ ὀλιγοψυχῶν. Σ. — ὀλίγον ἔχων τὸ πέλειν. Σ. Β. — Ἀνίει] Εἴα, κατελύμπανεν. Σ. — Θυμόν] Τὸ δὲ θυμὸς (Εὐστάθ.) ἀνίει, ἀντὶ τοῦ ἀφίει κατά τινα λόγον ἀνέσεως, ᾗ ἀντίκειται ἡ ἐπίτασις. Ε.

Σ. 25. Ἀζηχής] Δῆλον δὲ ὡς ὁ θυμὸς ὁ μὴ ἀνιείς τινα,

НБ ОНУ імені І.І. Мечникова

καλῶς ἂν ἀζηχὴς λέγοιτο, ὡς ἀδιεχὴς, ὅ ἐστι συνεχής· —τινὲς μέν τοι ἀζηχής φασι θυμὸς, ὁ σκηρὸς, ἀπὸ τοῦ ἄζην ἔχειν ὅ ἐστι ξηρασίαν, ἵνα ᾖ ἀτέγκτος καὶ δυσμάλακτος. Ε — Ὀδύνη] Εὐστάθ. ὀδύνη· τὸ γὰρ ἐντελὲς, ἐν ὀδύνῃ, τῇ ὑπὲρ Ἡρακλέους. Ἰστέον δὲ, ὅτι τὸ, ἐμὲ δ' οὐδ' ὣς θυμὸς ἀνίει καὶ ἑξῆς φέρεται καὶ ἄλλως ἔν τισιν ἀντιγράφοις· ἐμὲ δ' οὐδ' ὣς θυμὸν ἀνίει καὶ ἑξῆς. Καὶ εἰ τοῦθ' οὕτω παραδεκτέον, ἀλλοιοῦται κατά τι τὸ προειρημένον νόημα· οὔτε γὰρ θυμόν ἐστι νοῆσαι τὸν χόλον, ἀλλὰ δηλαδὴ τὴν ψυχὴν, καὶ τὸ ἀζηχὴς δὲ τῷ ὀδύνη κολλᾶται· καὶ τὸ ὀδύνη οὐ δοτική ἐστιν, ὡς πρὶν, ἀλλὰ εὐθεῖα· ἵνα λέγῃ, ὅτι οὐκ ἀνίει τὴν ψυχήν μου ὀδύνη ἀζηχὴς ἡ ὑπὲρ τοῦ Ηρακλέους· καὶ ἔχει οὐδ' αὕτη φαύλως ἡ ἔννοια· ἐν ᾗ τὸ ἐμὲ θυμὸν ὅμοιόν ἐστι τῷ· περὶ γὰρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα, καὶ τοῦτο τριχῇ νοούμενον, οἷον, ἐμὲ, ἤγουν τὴν ἐμὴν ψυχὴν, ἢ ἐμὲ κατὰ τὴν ψυχὴν, ἢ ἀντιπτωτικῶς, ἐμοῦ τὴν ψυχήν. Ε.

Σ. 26. Ξὺν Βορέῃ] Ἄδηλον, πρότερον Ἥρα καὶ Βορέας ἀνέπεισαν τὰς θυέλλας, ἢ Ἥρα ἅμα Βοῤῥᾷ καὶ τὰς θυέλλας ἔπεισεν· ἄμεινον δὲ τὸ δεύτερον. Σ. Β. — Φασὶ δέ τινες καὶ τὸν Βοῤῥᾶν ἐμπαθῶς ἔχειν πρὸς τὸν Ἡρακλέα, ἐπεὶ ἀνεῖλε τοὺς Βορεάδας, τὸν Ζήτην καὶ τὸν Κάλαϊν. Ε.

Σ. 27. Ἀτρύγετον] Ἰδὲ Α, 316.

Σ. 28. Ἀπένεικας] Ἀπαχθῆναι ἐποίησας. Σ.

Σ. 30. Ἀθλήσαντα] Κακοπαθήσαντα. Ε. — Κρατερὰν μάχην νικήσαντα. Ἦν γάρ φασιν ἡ νῆσος ξένοις δυσεπίβατος φόβῳ ἐπιβουλῆς, ἵνα μὴ φθονηθῇ ὡς εὖ κειμένη· διὸ οὐδὲ τὸν Ἡρακλέα ἐδέχοντο οἱ Κῷοι ἐκεῖ ἐξωσθέντα· ἀλλὰ καὶ ἀντέστησαν καὶ κατεπολεμήθησαν. Ε.

Σ. 31. Μνήσω] Ἤγουν ἀναμνήσω, εἰς μνήμην ἀγάγω. Ε.

Σ. 33. Ἣ ἐμίγης] Ἤγουν καθ' ἣν ἐμίγης μοι. Ε.

Σ. 37. Στυγὸς ὕδωρ] Ἐπεὶ ἡ Στὺξ κατὰ τὸν Ἡσίοδον ἐστὶ ἱερὰ πηγὴ, θυγάτηρ Ὠκεανοῦ· ἢ ὥς τινές φασιν, ὅτι ὁμώνυμος ταύτῃ ἐστὶν ἡ πηγὴ ἡ ἐν ᾅδου· ὅρκον αὐτὴν φρικτὸν οἱ Θεοὶ πεποίηνται βουλήσει Διός. Σ. — Φασὶν οἱ παλαιοὶ, ὡς διὰ τριῶν ἦν ἔθος ὀμνύειν· καὶ ὅτι Δράκων, Ὁμήρου προϋποθεμένου, οὕτως ἔταξε· Δία, Ποσειδῶνα, Ἀθηνᾶν· οἱ δὲ, Δία, Ποσειδῶνα, Δήμητραν· ὡς Δημοσθένης κατὰ Τιμοκράτους· ἀλλαχοῦ δέ φησιν Ὅμηρος, Ζεῦ πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον· καὶ, ἴστω Ζεὺς, ξενίη τε τράπεζα ἱστίη τ' Ὀδυσῆος (Ὀδυσσ. Ξ, 158.) Ε



НБОНУ імені І.І.Мечникова

Σ. 39. Σύ θ' ἱερὴ κεφαλή] Ὁ δ' ἐπὶ τῇ κεφαλῇ ὅρκος, οὐ μόνον σεμνὸν, ἀλλὰ καὶ τῶν ἄλλων ἐπαγωγότερον· καὶ μᾶλλον, ὅτε καὶ ἀγαθὸν αὐτῇ ἐπίκειται ὄνομα, οἷον, ἱερὰ κεφαλὴ ἢ τιμία ἢ θεῖα, ἢ τοῦ παντὸς ἀξία, ἢ φίλη, ἢ εἴ τι τοιοῦτον· καὶ λέχος δὲ κακὸν εἰς ὅρκον, οὐ τὸ τυχὸν, ἀλλὰ τὸ ἔνθεσμον καὶ κουρίδιον· ᾧ συνυπακούεται τὸ τῆς παρθενείας σεμνόν. Ε. — Συμπαθῶς δελεάζουσα, τῆς ἐκ παίδων μίξεως ὑπέμνησεν· εἰς ὁμόνοιαν δὲ ἄνδρας καὶ γυναῖκας καλῶν ὁ ποιητής, σεμνύνει τὴν κοινωνίαν, ὅρκον αὐτὸν μέγιστον ποιῶν. Ὁ μὲν οὖν Ζεὺς φιλότητα καὶ εὐνὴν εἶπεν· ἡ δὲ σεμνοτέραις προσηγορίαις χρῆται, μὴ θέλουσα φαυλίζειν τὴν κοινωνίαν. Σ. Β.

Σ. 40. Μὰψ ὀμόσαιμι] Τὸ μὰψ ὀμόσαι, ταὐτὸν τῷ ἐπιορκῆσαί ἐστι. Ε.

Σ. 41. Ἰότητα] Ἰδ. Ε, 874.

Σ. 43. Ἀλλά που] Ἀντὶ τοῦ ἀλλ' ἴσως, ῥηθὲν ἀσφαλῶς ὑπὸ τῆς Ἥρας, οὐ μόνον, ἵνα μὴ ψεύσηται ὡς τυχὸν μὲν τοῦ Ποσειδῶνος ἀφ' ἑαυτοῦ ὀτρυνθέντος, τυχὸν δὲ καὶ τῷ Ὕπνῳ προσερεθισθέντος, ὅπερ καὶ ἦν, ἀλλὰ καὶ, ἵνα μὴ ἀποφαντικῶς εἰποῦσα, συνειδέναι δόξῃ. Ε.

Σ. 44. Τειρομένους] Τὸ δὲ τειρομένους, ὅπερ ἡ Μασσαλιωτική φασι γραφὴ κτεινομένους ἔχει ἀπολογία ὑπὲρ Ποσειδῶνός ἐστιν, ὡς οὐδ' ἐκεῖνος θρασυνόμενος ἐποίησέ τι, ἀλλ' ἐλεήσας. Ε.

Σ. 45. Παραμυθησαίμην] Τοσοῦτόν φησι, ἀπέχω τοῦ ἐναντιοῦσθαί σοι, ὥστε κἀκείνῳ παραινεῖν. Σ. Β.

Σ. 46. Τῇ ἴμεν] Ἤγουν ἐνταῦθα ἐλθεῖν, ἥκεν δὴ, ὅ ἐστιν ὅποι ἂν σὺ ἡγεμονεύῃς. Ε.

Σ. 47. Μήδεισεν] Ἢ διὰ τὸ καὶ ὑπὲρ Ποσειδῶνος ἀπολογήσασθαι, ἢ μᾶλλον διὰ τὸ λέχος· ἐνήργει δὲ ἄρα ὁ κεστός. Σ. Β.

Σ 60. Λελάθῃ] Τὸ δὲ λέλαθα μέσου παρακειμένου ὂν ἐνταῦθα κατ' ἐνέργειαν ἐλέχθη ἐν τῷ, λελάθῃ ὀδυνάων, ἤγουν ἐπιλησθῆναι ποιήσει. Ε.

Σ. 69. Παλίωξιν] Ἰδ. Μ, 71. — ἡ διπλῆ σὺν ἀστερίσκῳ, ὅτι οὐχ Ὁμηρικῶς ἡ παλίωξις. — Οὐ πρὸ τοῦ Ἀχιλλέα ἐξελθεῖν, ἢ καὶ μετὰ τὸ ἐξελθεῖν, ἀλλὰ μετὰ τὸ τελευτῆσαι Ἕκτορα· ἐξελθόντος γὰρ Ἀχιλλέως, οὐκ ἦν παλίωξις· παλίωξις δέ ἐστιν ἡ ἐξ ὑποστροφῆς τῶν φευγόντων δίωξις, ὅταν οἱ πρότερον φεύγοντες ὕστερον πάλιν αὐτοὶ διώκωσι θαῤῥήσαντες. Σ. Β.

Σ. 71. Ἀθηναίης διὰ βουλάς] Ὅτι βουλαῖς Ἀθηνᾶς ἡ Τροία

НБ ОНУ імені І.І. Мечникова

λέγεται ἁλῶναι, τουτέστι συνέσεως, διὰ τὸν δούρειον ἵππον, ὃν Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ, ὥς που φησὶν Ὅμηρος. Ε. (Ὀδυσσ. Θ, 493).

Σ. 75. Κάρητι] Οἱ μὲν συγκοπῆναί φασιν ἀπὸ τοῦ κάρηαρ, καρήατος, καρήατι· οἱ δὲ ἀρσενικῶς κλίνουσιν, ἐκ τοῦ κάρης κάρητος, ὡς Δάρης, Δάρητος. Ε.

Σ. 80. Ἂν ἀΐξῃ] Τὰ ἑξῆς· ὥσπερ δὲ νοῦς ἀνδρὸς πολλὴν ἐπεληλυθότος γῆν, καὶ πολλὰ ἱστορηκότος ἐν ὑπομνήσει ποιεῖται τὰ ἱστορημένα, καὶ ταχέως ἄλλοτε ἐπ' ἄλλο μεταβαίνει· οὕτω καὶ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης εὐθέως παρεγένετο εἰς τὸν Ὄλυμπον. Σ.

Σ. 81. Πευκαλίμῃσι] Φασὶν οἱ παλαιοὶ, ὅτι πευκάλιμαι φρένες, αἱ πικραὶ καὶ συνεταί· διὰ τῆς πικρίας, τὸ δυσπρόσιτον δηλοῦντες τῆς φρονήσεως, καὶ μὴ πάντῃ πάντως διόλου μελιχρὸν καὶ μειλίχιον. Ε.

Σ. 82. Μενοινήσειε] Μενοινήσεις δηλονότι ὁ ἀνὴρ πολλὰ μέρη τῆς γῆς, καὶ νοήσει ἐν οἷς ἔσται καὶ πορεύσεται. Σ. Β.

Σ. 86. Δεικανόωντο] Ἐδεξιοῦντο. Σ.

Σ. 90. Ἀτυζομένῃ] Ἴδ. Ζ, 38.— παράγεται δὲ ἐκ τοῦ ἀτῶ, κατὰ τὸ κλῶ κλύζω καὶ τὰ τοιαῦτα. Ε.

Σ. 91. Φόβησε] Οὐ κατὰ προαίρεσιν ἐληλυθέναι ἐποίησεν, ἀλλ' ὅμοιόν τι φυγῇ παθεῖν. Σ. Β.

Σ. 94. Ὑπερφίαλος] Ἴδ. Γ, 106. — νῦν μὲν ἐπὶ ψόγου, ὁ ὑπέρσπονδος· βέλτιον δὲ, ὁ ὑπέρμετρος· ἐν ἄλλοις δὲ ἐν τάξει ἐγκωμίου, οὐκ ἀγαπᾷς ὁ ἕκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν, ἀντὶ τοῦ ἀγαθοῖς. (Ὀδυσσ. Φ, 289). Σ. Β. — Ἀπηνής] Ἴδ. Α, 340.

Σ. 97. Πιφαύσκεται] Ἤγουν φαίνει. Ε. — ἐμφανίζει, λέγει, μηχανᾶται. Σ. — ὅτι κοινὴν λύπην δηλοῖ τὸ, οὐδέτι φημί. κ. τ. λ. Ε.

Σ. 99. Δαίνυται εὔφρων] Ὁ νοῦς· οὐκέτι οἶμαι τὸν Δία οὐδενὶ τῶν πάντων θεῶν ἢ ἀνθρώπων, ἱλαρὸν ἔσεσθαι, εἰ ἄρα καί τις ἐν τῷ παρόντι τῇ αὐτοῦ προσηνείᾳ εὐωχεῖται ἐν ἱλαρότητι. Σ. Β.

Σ. 101. Ὤχθησαν] Ἀντὶ τοῦ ἠχθέσθησαν παρὰ τὸ ἄχθος. Ε. (Ἴδ. Α, 570). — Ἡ δ' ἐγέλασσε χείλεσιν] Τὸ δὲ γελάσαι χείλεσι μόνοις, καὶ μὴ χανδὸν ἢ παντὶ προσώπῳ, ἀλλὰ μηδὲ ὥστε μηδειάσαι παρασύραι δὲ μόνον αὐτὰ κατὰ τοὺς σεσηρότας,



НБ ОНУ імені І.І. Мечникова

τὸν Σαρδόνιον ὑποδηλοῖ γέλων, τὸν μετὰ δηγμοῦ καρδίας βαρυνομένης, οἷς ἄχθεταί τι, ἤτοι ὀχθεῖ. Ε.

Σ. 103. Ἰάνθη] Ἤγουν διεχέθη, ἐθερμάνθη καθὰ καὶ ὕδωρ ἐν χαλκῷ ἰαίνεται πυρὶ θερμαινόμενον. Ἰςέον δὲ, ὅτι ἰαίνεσθαι κατὰ τοὺς παλαιοὺς εἰπεῖν τὸ τήκεσθαι, ἥδεσθαι, διαχεῖσθαι, μαλάσσεσθαι· — πᾶσι νεμεσηθεῖσα, ἤγουν πάντας μεμψαμένη. Ε. — Μεμψαμένη ἐπὶ τῷ μὴ δέξασθαι τοὺς λόγους αὐτῆς· ἢ τῷ Διῒ μεμφομένη ἐν πᾶσιν ηὔδα. Σ. Β.

Σ. 106. Ἀφήμενος] Ἀποτέρω καὶ πόῤῥω καθεζόμενος. Σ.

Σ. 107. Οὐδ' ὄθεται] Ἴδ. Α, 181.

Σ. 108. Διακριδόν] Ἴδ. Μ, 103. — τοῦτο, πρὸς τὸ, τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν, ὡς ταπεινόφρονας δὲ αὐτοὺς ἐλέγχει, πειράζουσα εἰ φράσαιντο κατὰ Διός· ὅθεν ἐκείνων σιωπησάντων κερτομοῦσα, τὸν ἐπίπλαστον ἐγέλασε γέλωτα, τόν τε Ἄρην ἐπανίςησι τῷ Διῒ, καὶ τῆς συμμαχίας τῶν Τρώων ἀπανίςησι. Σ. Β.

Σ. 109. Τῷ ἔχετε] Διὸ ἀνέσχεσθε καὶ ὑπομένετε. Σ.

Σ. 114. Χερσὶ καταπρηνέσσι] Ὅ ἐςιν οὐχ ὑπτίαις. Ε.—κατεστραμμέναις, κατωφερέσιν. Σ.

Σ. 119. Δεῖμόν τε Φόβον τε] Ἰστέον δὲ ὅτι τὸ ἵππους κέκλετο Δεῖμόν τε Φόβον τε ζευγνύμεναι, δοκεῖ παρανοηθὲν, ὑπαγαγέσθαι τινὰς εἰς τὸ, ἵππους Ἄρεος τὸν Δεῖμον καὶ τὸν Φόβον εἰπεῖν· τὸ δ' ἐστὶν οὐχ οὕτως ἔχον· ἀλλ' οἱ μὲν ἵπποι ἐνταῦθα σιγῶνται τίνες ἦσαν, ὁ δὲ Δεῖμος καὶ ὁ Φόβος υἱοὶ Ἄρεος καὶ ὀπαδοὶ, κελεύονται ζεῦξαι αὐτούς. Ε.

Σ. 121. Μείζων] Μείζων τοῦ πρὸς Ἥραν καὶ Ἀθηνᾶν καὶ Ποσειδῶνα χόλου. Σ. Β.

Σ. 124. Θάασσεν] Ἀντὶ τοῦ ἐτέθειτο, ἐκάθητο· ἐξ οὗ καὶ θᾶκος ὁ θρόνος, ὁ καὶ θῶκος· καὶ θακεῖν, τὸ καθῆσθαι. Ε.

Σ. 127. Καθήπτετο] Ἴδ. Α, 582.

Σ. 128. Φρένας ἠλέ] Ὅ ἐστι πεπλανημένε, τὰς φρένας δηλαδὴ, καλῶς ὀξύνεται ὡς τὸ καλὲ, εἴτε ἀποκοπὴν ἔπαθεν, ἐκ τοῦ ἠλεὲ, εἴτε συγκοπήν. Ε.—Γίνεται δὲ παρὰ τὴν ἤλην, ὅ ἐςι πλάνην. Ε. — Διέφθορας] Ἀντὶ τοῦ διεφθάρης· Ἀττικοὶ δὲ καὶ ἐνεργητικῶς φασιν ἀντὶ τοῦ διέφθειρας. Ε.

Σ. 132. Ἀναπλήσας] Τὸ δὲ ἀναπλήσας οὐχ ἁπλῶς δηλοῖ τὸ ἀναπληρώσας, ἀλλὰ τὸ πολλάκις, καὶ ὡς εἰπεῖν πάλιν καὶ πάλιν· ἔςι γὰρ καὶ τοιοῦτον σημαινόμενον τῆς ἀνὰ προθέσεως, ὡς ἡ ἀνάκρισις δηλοῖ καὶ ὁ ἀναβαπτισμός. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 136. Κυδοιμήσων] Συνταράξων. Σ.

Σ. 137. Μάρψει δ' ἑξείης] Τὸ δὲ μάρπτειν οἱ παλαιοὶ σχολιασταὶ κυριολεκτεῖσθαί φασιν ἐπὶ τοῦ χερσὶν συλλαμβάνειν· μάρη γάρ φασιν αἱ χεῖρες· ὅθεν καὶ εὐμαρὲς, τὸ εὐχερὲς, καὶ μάρνασθαι, τὸ διὰ χειρὸς μάχεσθαι. Ε. (ἴδ. Θ, 405; καὶ Φ, 489).

Σ. 140. Ἢ πέφαται] Τουτέστιν, ἢ τέθνηκεν, ἢ τεθνήξεται. Ε.

Σ. 141. Γενεήν τε τόκον τε] Τοὺς γονεῖς καὶ τὸ γένος δισσολογεῖ δι' ἀμφοτέρων τὴν γένεσιν· ὁ δὲ νοῦς· ἀδύνατόν ἐςι θεῷ ῥύσασθαι τὴν ἐξ ἑαυτοῦ ἀνθρωπίνην γένεσιν· τὸ γὰρ ἀργαλέον νῦν ἀντὶ τοῦ ἀδύνατον κεῖται τοῦ θανάτου ῥύεσθαι. Σ.

Σ. 142. Ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα] Ὅτι παῦσίν τινα πολέμου δηλοῖ τὸ ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα. Ε.

Σ. 144. Μετ' ἄγγελος] Τὸ δὲ μετάγγελος περιττὴν καὶ αὐτὸ ἔχει πρόθεσιν, καθὰ καὶ τὸ ἐπίουρος· καὶ τὸ χαλεπὴ δὲ θεοῦ ἐπιμῆνις, καὶ ἐπιβουκόλος ἀνήρ. Ε.

Σ. 147. Εἰς ὦπα ἴδησθε] Εἰς ὄψιν ἔλθητε. Σ.

Σ. 153. Ἐστεφάνωτο] Ἤγουν κύκλῳ περιεῖχε τὸν Δία· θυόεν λέγει τὸ εὐῶδες, ἀπό τε τῶν ἐκ γῆς ἀνθέων, ὁποῖα τὰ ἐαρινὰ, καὶ τοῦ ὁμοίου κατὰ τὴν Ἥραν μύρου. Ε.

Σ. 162. Ἀλογήσει] Λόγον οὐ ποιήσεται, καταφρονήσει. Σ.

Σ. 163. Φραζέσθω] Λογιζέσθω, σκοπείτω. Σ.

Σ. 164. Ταλάσσῃ] Καρτερήσῃ, ὑπομείνῃ. Σ. — τλήσεται· μεῖναι. Ε.

Σ. 165. 166. Βίῃ πολὺ φέρτερος] Ἐν τούτοις δὲ τὸ μὲν βίῃ πολὺ φέρτερος, δέους ἐστὶ ποιητικόν. — Γενεῇ] Τὸ δὲ γενεῇ πρότερος, ἤγουν τῷ τῆς ἡλικίας χρόνῳ, αἰδοῦς. Ε.

Σ. 167. Στυγέουσι] Τὸ δὲ στυγέουσιν, ἀντὶ τοῦ φρίσσουσιν, οὐ μὴν μισοῦσιν· ὀκνήσῃ γὰρ ἂν ἄρχων ὁμολογεῖν, μισητὸς ἅπασιν εἶναι. Ε.

Σ. 171. Αἰθρηγενέος βορέαο] Αἰθρηγενέος δὲ καὶ αἰθρηγενέτης βορρᾶς, ἢ διότι αἶθρον γίνεσθαι ποιεῖ· αἶθρος δὲ τὸ ψύχος· ὡς τὸ, αἴθρῳ καὶ καμάτῳ δεδμημένος, ἢ καὶ ὁ αἰθρίαν ποιῶν ἐν τῷ διασκιδνάναι τὰ καθ' ἡμᾶς ἐκ νότου νέφη· ἢ καὶ ἄλλως ἐκ νεφέων κατάγων ποτὲ νιφάδα καὶ χάλαζαν τὸν ῥηθέντα αἶθρον ποιεῖ. Ε.

Σ. 180. Ὑπεξαλέασθαι] Ὑπεκκλῖναι. Σ.

Σ. 185. Ὑπέροπλον] Ὑπερήφανον. Σ. — ὑπὲρ τὴν ἑαυτοῦ ἰσχύν· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μὴ ἀναλογούντων ὅπλων. Σ.

НБ ОНУ імені І.І. Мечникова

Β. — Ὅτι ὁ Ποσειδῶν μὴ ἔχων ἀρνεῖσθαι τὸ βίῃ φέρτερον καὶ γενεῇ πρότερον αὐτοῦ εἶναι τὸν Δία, ὃ διὰ τῆς Ἴριδος αὐτῷ ἠγγέλθη, προβάλλεται κατὰ τῆς βίας τὸ τῆς φύσεως καὶ τοῦ γένους ὁμότιμον· εἶτα καὶ αὐτὸ τὸ δίκαιον προϊσχόμενος, ἐκτίθεται τὸν ἀδελφικὸν λαχμὸν, καθ' ὃν κλῆρον τὰ κατὰ κόσμον ἔλαχον, οὗτός τε καὶ ὁ Ζεὺς καὶ ὁ Ἅδης· ἐξ οὗ διδάσκει, δέον εἶναι δι' ἀταραξίαν καὶ ὁμονοητικὴν εὔνοιαν, κλήρῳ γίνεσθαι τὰς διανομὰς, καὶ μηδένα τῆς εὐκληρίας ἤτοι τῆς περὶ τὸν κλῆρον εὐτυχίας φρονεῖν. Ε.

Σ. 191. Παλλομένων] Κλήρῳ μεριζομένων· πάλος γὰρ ὁ κλῆρος. Σ. (ἴδ. Ἐτυμολ. Μεγ. πεπάλασθε).

Σ. 194. Βέομαι] Δηλοῖ τὸ βιάζομαι ἢ βιασθήσομαι· δύναται δὲ δηλοῦν καὶ τὸ βαίνω· ἵνα λέγῃ ὁ Ποσειδῶν, ὅτι οὐκ ὀφείλω βαίνειν ὅποι ποτὲ βουλὴ ταῖς Διὸς φρεσί. Ε. — διὸ καὶ οὐδαμῶς τοῦ Διὸς ἐπιστροφὴν ποιοῦμαι· οὐκ ἂν κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. Σ.

Σ. 196. Δειδισσέσθω] Τουτέστι μή με ὡς δειλὸν ἐκφοβείτω· καὶ ὀφείλων ἐπαγαγεῖν, ὡς οὐδὲ γὰρ ἐγὼ ἀγεννῶς ἔχω πρὸς ἔνστασιν, ἤτι τοιοῦτον, ὅμως αὐτὸ μὲν ἐσίγησεν ἐπιεικῶς, ἔτρεψε δὲ τὸν λόγον ἀσφαλέστερον εἰς τὸ χρῆναι τὸν Δία τοῖς αὐτοῦ τέκνοις ἀπειλεῖσθαι χειρῶν ἐπιβολήν. Ε.

Σ. 198. Ἐνισσέμεν] Ἔνθα καὶ τὸ ἐνίσσειν δοτικῇ συνέταξεν, εἰπών· θυγατράσι — ἐνισσέμεν, ὅ ἐστι κακολογίαν ἐπάγειν. Ε. — κακολογεῖν, ἐπιπλήσσειν. Σ.

Σ. 203. Ἤ τι μεταστρέψεις;] Οἱονεὶ λέγουσα, ὡς εἰ μὲν ἀγγείλω τὰ ἀληθῆ, τραχεῖς οἱ λόγοι· εἰ δ' αὐτὴ ἐγὼ παρατρέψω πρὸς τὸ ἱλαρότερον, ψευδαγγέλου τοῦτό γε· οὐ χρὴ δὲ ὡς καὶ ὁ Ζεὺς παρῄνεσέ μοι, ψευδάγγελον εἶναι· εἶτα καὶ ἐκφοβοῦσα γοργῶς καὶ σεμνῶς, ἐπάγει· οἶσθα ὡς πρεσβυτέροισιν. κ. τ. λ — καὶ ὁ Ποσειδῶν ἑαυτοῦ γενόμενος καὶ τὴν Ἶριν ἀποδεξάμενος ὡς μάλα τοῦτο ἔπος νημερτὲς ἢ κατὰ μοῖραν εἰποῦσαν, καὶ εἰπὼν, ὅτι ἐσθλὸν καὶ τὸ τέτυκται. κ. τ. λ. μεταστρέφεται, καί φησιν· ἀλλὰ τὸ δ' αἰνὸν — ἀλλὰ νῦν μὲν νεμεσσηθεὶς ὑποείξω· ἄλλο δέ τοι ἐρέω. κ. τ. λ. Καὶ ὅρα ὅπως ὁ Ποσειδῶν ἐπὶ τοσοῦτον τρέπει τὸν λόγον εἰς τὸ μαλακώτερον, οὐχ οὕτω διὰ δειλίαν, ὅσον κατὰ σύνεσιν, ὥστε καὶ ἀθετεῖσθαι δι' αὐτὸ στίχους ἓξ ἀπὸ τοῦ, ἄλλο δέ τοι ἕως τοῦ, ἀνήκεστος χόλος ἔσται· ἦτε γὰρ ἀπειλή φασι τοῦ Ποσειδῶνος

НБ ОНУ імені І. І. Мечникова

ἀνηθοποίητος, ἀπαιτοῦσα τὸν Δία τὸ ἐξ ἀνάγκης ἐσόμενον, τὴν τῆς Ἰλίου δηλαδὴ ἅλωσιν, ἐφ' ᾗ οὐδεὶς πάντως ἀνήκεστος ἔσται χόλος. Καὶ ἄλλως δέ φασι πρὸς τὶ τὰ τῆς ἀπειλῆς τῷ ἤδη καταπεισθέντι καὶ εἰπόντι ὅτι νεμεσσηθεὶς ὑποείξω. — Ὁ δὲ ποιητὴς ἦθος ἀληθῶς μιμεῖται ἐνδόξου ἀνδρὸς συνετοῦ, θυμουμένου μὲν καὶ σεμνῶς θέλοντος ἀπειλεῖσθαι, μὴ ἔχοντος δέ τι φοβερὸν ἀσφαλῶς εἰπεῖν, ἀλλ' ἐν σχήματι ἀπειλῆς μόνα τὰ πρὸς ἀσφάλειαν λέγοντος· — μεταστρέψεις, ἀντὶ τοῦ μεταθήσεις, μεταποιήσεις. Ε. — στρεπταί· εὐμετάστρεπτοι, εὔπιστοι εἰς τὸ ἀγαθόν. Σ. — οὐκ εἶπεν ἡ Ἶρις, ὅτι οἶσθα κρείττονά σου τὸν Δία, ἀλλ' ἐκ τοῦ ἀφθονήτου γήρως ἐπιχειροῦσα, ἔφη γνωμικῶς, ὅτι τοῖς πρεσβυτέροις Ἐριννύες ἕπονται, ὡς εἴπερ ἔφη, ὅτι ὑπὲρ τῶν γεραιοτέρων ἡ θεόθεν δίκη ἐστίν· ἢ ὅτι νεμεσῶσιν αἱ Ἐριννύες, εἴπερ τοῖς πρεσβυτέροις οἱ νεώτεροι ἐπίκεινται. Ε.

Σ. 207. Αἴσιμα εἰδῇ] Ἀντὶ τοῦ ἀγαθόν ἐστι, καὶ συνετὸν εἶναι τὸν ἄγγελον, πολλὰ γὰρ καὶ αὐτὸς κατορθοῖ. Ε.

Σ. 209. Ὁμῇ πεπρωμένον αἴσῃ] Τὸ ὁμῇ πεπρωμένον αἴσῃ, παράφρασίς ἐστι τοῦ ἰσόμορον ἤγουν ἰσόμοιρον, ὃν ὁμότιμον φθάσας εἶπε. Ε.

Σ. 211. Νεμεσσηθείς] Αἰδεσθείς, ὅ ἐστι, μεμπτὸν ἡγησάμενος. Σ. — μεμψάμενος αὐτῷ καὶ καταγνούς· ἢ μεμπτὸν ἡγησάμενος τὸ ἀντειπεῖν ἐκείνῳ. Σ. Β.

Σ. 213. Ἀγελείης] Ἴδε Δ, 128.

Σ. 214. Ἑρμείω] Τὸ δὲ Ἑρμείω ἀπὸ τετρασυλλάβου ἰωνικοῦ συνεκόπη τοῦ Ἑρμείεω, καθὰ καὶ τὸ βορέω ἐκ τοῦ βορέεω δι' εὐφωνίαν. Ε.

Σ. 215. Πεφιδήσεται] Ἀπὸ τοῦ φείδω φίδω, ὡς πείθω πίθω, τεύχω τυχῶ. Σ. Β. — ἢ μέσος μέλλων ἐστὶν ἐκ τοῦ φιδῶ κατὰ διπλασιασμὸν ἰωνικὸν, ἢ μετ' ὀλίγον μέλλοντα δηλοῖ. Ε.

Σ. 219. Δῦνε δὲ πόντον] Ἡνίκα σύμμαχον αὐτὸν ἦγε τοῖς Ἀχαιοῖς, ἐκαλλιγράφησε τὴν πορείαν· νῦν δὲ συνέτεμεν, ἐπεὶ μετὰ λύπης γίνεται. Σ. Β.

Σ. 221. Φίλε Φοῖβε] Πρεπόντως δὲ ὅτι Ποσειδῶνα μετεπέμψατο, Ἀπόλλωνα τότε ἔπεμψεν· οὐ γὰρ ὤφειλεν αὐτὸν τῷ πρεσβυτέρῳ ἀντιτάττειν, αὐτὸν ἀξιώσας ὑπ' ἐκείνου τιμηθῆναι διὰ τὸ πρεσβύτερον. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 224. Ἐπύθοντο καὶ ἄλλοι] Πάνυ γὰρ ἀπόπειραν τῆς ἡμετέρας δυνάμεως ἔλαβον καὶ οἱ περὶ Κρόνον Τιτᾶνες ἐν τῷ ταρτάρῳ ὄντες. Σ.

Σ. 226. Ἐμοί] Ἐμοὶ μὲν, διὰ τὸ μὴ τιμωρήσασθαι τὸν ἀδελφὸν, ἐκείνῳ διὰ τὸ μὴ βληθῆναι· τὸ γὰρ ἀνιδρωτὶ ἐπὶ Ποσειδῶνος κεῖται. Σ. Β.

Σ. 227. Νεμεσσηθείς] Ἀντὶ τοῦ εὐλαβηθεὶς τὴν νέμεσιν. Τὸ δὲ χεῖρας ἐμὰς, μετὰ τοῦ νεμεσσηθεὶς συντακτέον μᾶλλον, ἤπερ μετὰ τοῦ ὑπόειξε. Ε.

Σ. 228. Ἀνιδρωτί] Χωρὶς κακοπαθείας. Σ.

Σ. 229. Χείρεσσι λάβ' αἰγίδα] Καὶ ὅρα ὅτι καὶ Ἀπόλλων αἰγίδα χειρίζεται. Ἔστι δὲ αὕτη ἡ τοῦ Διὸς μόνου, δοθεῖσα νῦν σιωπηλῶς τῷ Ἀπόλλωνι, ἢ χαρισθεῖσα καθάπαξ αὐτῷ ἐκεῖθεν μυθικῶς, ὡς ἐν τοῖς ἑξῆς φαίνεται. Ε.

Σ. 237. Ἴρηκι ἐοικώς] Δῆλον δὲ, ὅτι Ἀπόλλωνος ἱερὸς ὁ ῥηθεὶς ἱέραξ. Ε.

Σ. 238. Φασσοφόνῳ] Τῷ φάσσας φονεύοντι. Σ.

Σ. 245. Ὀλιγηπελέων] Ὀλίγην ἔχων τοῦ πέλειν μοῖραν, ἐγγὺς ὢν τοῦ ἐκλεῖψαι. Σ. Β. (ἴδ. στ. 24.).

Σ. 246. Ὀλιγοδρανέων] Ὀλίγον ἰσχύων, ἐξησθενηκώς. Σ.

Σ 252. Ἄϊον ἦτορ] Ἄϊον νῦν τὸ ἀπέπνεον, ἀπὸ τοῦ ἄω, ἐξ οὗ τὸ ἦτορ γίνεται. Ε. — ἤλγησα. Σ. Β.

Σ. 254. Ἀοσσητῆρα] Ἴδ. Χ, 333.

Σ. 256. Χρυσάορον] Ἤτοι χρυσοφάσγανον, ἢ χρυσοῦν τὸν ἀορτῆρα τῆς φαρέτρας ἔχοντα, ἢ τῆς κιθάρας· οὐκέτι δὲ τοῦ ξίφους· ἁγνὸς γὰρ ὁ θεός. Καὶ Πίνδαρος χρυσάορα Ὀρφεά φησι· τινὲς δὲ χρυσοῦν ξίφος ἔχοντα. — Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος, εὗρε λύραν, καὶ τοὺς Ἀπόλλωνος βόας κλέψας εὑρέθη ὑπὸ τοῦ θεοῦ διὰ τῆς μαντικῆς· ἀπειλοῦντος δὲ τοῦ Ἀπόλλωνος, ἔκλεψεν αὐτοῦ καὶ τὰ ἐπὶ τῶν ὤμων τόξα. Μειδιάσας δὲ ὁ θεὸς, ἔδωκεν αὐτῷ τὴν μαντικὴν ῥάβδον, ἀφ' ἧς καὶ χρυσόῤῥαπις ὁ Ἑρμῆς προσηγορεύθη. Ἔλαβεν δὲ παρ' αὐτοῦ τὴν λύραν· ὅθεν καὶ χρυσάορ ὠνομάσθη, ἀπὸ τοῦ τῆς κιθάρας ἀορτῆρος. Σ. Β. (ἴδ. Ε, 509.).

Σ. 261. Λειανέω] Λείαν καὶ ὁμαλὴν ποιήσω. Σ. — ὡς τὴν τάφρον καταβαλὼν, ἢ τοὺς Ἀχαιοὺς τρεψάμενος, ἵν' ἢ ὁ δὲ ἀντὶ τοῦ γάρ. Σ. Β. — Τρέψω] Λείπει τὸ εἰς φυγήν. Ε.

Σ. 263. Ὡς δ' ὅτε τις στατὸς ἵππος] Ἴδ. Ζ, 506. —

НБ ОНУ імені І.І.Мечникова

ὅτι τῇ τοῦ στατοῦ ἵππου παραβολῇ, ᾗ ἔφθασε χρήσασθαι ἐπὶ Ἀλεξάνδρου ἐν τῷ τέλει τῆς ζῆτα ῥαψῳδίας βραχύ τι παυσαμένου τῆς μάχης, χρᾶται καὶ νῦν ἀπαραποιήτως ἐπὶ Ἕκτορος. Ἔχει δ' ἐκεῖ τὰ τῆς παραβολῆς προσφυέστερον ἤπερ ὧδε. Ἐκεῖ μὲν γὰρ ὁ Πάρις ἐξ ἀναπαύσεως εἰς τὴν τοῦ πολέμου πεδιάδα κάτεισιν, ἐνταῦθα δὲ ὁ Ἕκτωρ οὐκ ἐκ ἀναπτώσεως ἥκει, ἀλλ' ἐκ θανατηφόρου πληγῆς καὶ πτώματος ἀνασφήλας τὴν μάχην τολμᾷ. Οὔτε γοῦν τὸ κυδιόων, οὔτε τὸ ὑψοῦ κάρη ἔχων ἁρμόζει τῷ ἄρτι ἐκ λειποθυμίας ἑαυτὸν ἀναλαβόντι. Καὶ ἡ τοῦ ἵππου δὲ στάσις, οὐχὶ τῷ πεσόντι Ἕκτορι ἀλλ' Ἀλεξάνδρῳ οἰκεία τῷ ἐν θαλάμῳ διατετριφότι, καὶ οἷον ἀκοστήσαντι, ὅ ἐστι κριθιάσαντι. — Διὰ τοῦτο οἱ παλαιοὶ δύο στίχους ἐνταῦθα μόνους ἐκ τῆς παραβολῆς δέχονται, τοὺς ἐν τῇ ἀρχῇ, τοὺς δὲ τέσσαρας ὀβελίζουσι, παρατιθέντες τῷ ὀβελῷ καὶ ἀστερίσκον, ὡς ἀλλαχοῦ κάλλιστα κειμένων τῶν τοιούτων ἐπῶν, καὶ μὴ ἐνταῦθα. Σημείωσαι δὲ καί, ὅτι ἐκεῖ μὲν ἡ τῆς ῥηθείσης παραβολῆς ἀπόδοσις λαμπρότητα δηλοῖ τοῦ Πάριδος, λέγουσα· ὡς Πριάμοιο πάϊς. κ. τ. λ. ἐνταῦθα δὲ τάχος ὑπεμφαίνει τοῦ Ἕκτορος· φησὶ γάρ, ὡς Ἕκτωρ λαιψηρὰ πόδας. κ. τ. λ. δι' οὗ δηλοῦται, ὡς πρὸς μόνον τάχος παρέλαβε τὴν παραβολήν. Ε.

Σ. 271. Κεραόν] Ἴδ. Γ, 24.

Σ. 272. Ἐσσεύοντο κύνες] Ὅτι σεύεσθαι οὐ μόνον τὸ ὁρμᾷν καὶ παρορμᾷν, ἀλλὰ καὶ τὸ διώκειν. Ε.

Σ. 273. Ἠλίβατος] Ὑψηλή, ἀπρόσβατος· ἧς ἄν τις διαμάρτοι τῆς ἐπιβάσεως διὰ τὸ πολὺ ὕψος· ἀλιτεῖν γὰρ τὸ διαμαρτεῖν· ἢ ἧς ὁ ἥλιος μόνος ἐπιβαίνει. Σ. — Δάσκιος] Ἡ πολύσκιος, ἢ κατὰ συγκοπὴν ἡ δασύσκιος. Ε.

Σ. 275. Λῖς ἠϋγένειος] Ὅτι τὸ γένειον λέοντος τρίχες περὶ τὴν γένυν ὀξὺ προέχουσαι, δι' ὧν φόβος προφαίνεται καὶ σεμνότης τῷ λέοντι. Ε. — δασὺ γένειον ἔχων. Σ.

Σ. 281. Θόας Ἀνδραίμονος υἱός] Ἦν δὲ ὁ Θόας Ἀνδραίμονος καὶ Γόργης υἱὸς τῆς Οἰνέως· ὅν φασιν ὁ Διομήδης ἀπέδειξεν Αἰτωλίας βασιλέα. Ε.

Σ. 282. Ἐπιστάμενος ἄκοντι] Ἔστι δὲ ἐπιστάμενος, ὁ ἐπιστήμων· εἰ μὴ ἄρα λείπει τὸ πολεμίζειν, ἤ τι τοιοῦτον. Ε.

Σ. 283. Ἀγορῇ] Νῦν λόγῳ. Σ.

Σ. 286. Ὢ πόποι] Οὐκ ἐπὶ θρήνῳ οὐδὲ νῦν ῥηθέν· ὅλως γὰρ ἐπὶ καινοτέροις τισὶν ἐπιφωνεῖται, εἴτε θρῆνος τὰ τοιαῦ-

τα, εἴ τε ἔκπληξις ὡς ἐνταῦθα, ἢ ἕτερα πάθη ψυχῆς τοῦ λέγοντος. Ε.

Σ. 287. Ἀνέστη Κῆρας ἀλύξας] Ὅτι τὸ ἀνέστη κῆρας ἀλύξας, ταὐτόν ἐστι τῷ ἀνεζωώθη, καὶ ὡς ἀλλαχοῦ φησιν ἀμπνύνθη. Ε.

Σ. 295. Ἀνώξομεν] Κελεύσωμεν. Σ. — ἵνα μὴ ἄρδην διωκόμενοι ὑπὸ τῆς ἵππου τῆς περὶ Ἕκτορα, ἐμπέσωσι τῇ τάφρῳ· ἄλλως τε καὶ ἀσθενὴς ὄχλος, ἀχρεῖος πρὸς ἄμυναν, καὶ μᾶλλον τροπῆς περιποιητικός. Σ. Β.

Σ. 308. Εἱμένος] Ἠμφιεσμένος, περικείμενος. Σ.

Σ. 309. Ἀμφιδάσειαν] Πανταχόθεν τετριμμένην· οἱ μὲν ἀμφίμαλλον· οἱ δὲ κυκλοδάσειαν, διὰ τοὺς θυσάνους· ὑφ' ἓν δὲ τὸ ὄνομα. Σ. Β.

Σ. 317. Λιλαιόμενα] Ἐφιέμενα, ἐπιθυμοῦντα. Σ. Β.

Σ. 320. Κατενῶπα] Ἡ συγκοπὴ τούτου ἀπὸ τοῦ ἐνώπια· ὡς μηρία μῆρα, σιτία σῖτα· — ἔστιν ἐνωπὴ ἡ πρόσοψις. Ε. — κατὰ πρόσοψιν. Σ.

Σ. 322. Ἔθελξε] Τουτέστιν ἐξέστησε, μετεποίησεν ἐκ τοῦ εὖ ἐνεργεῖν· — ἐπὶ κακῷ ἄρα καὶ ὧδε τὸ θέλγειν· (ἴδ. Μ. 255.). — καὶ ὅρα καὶ νῦν, ὅτι σείσας ὁ Ἀπόλλων, οὐ μὴν βαλὼν ἢ τρώσας τῇ αἰγίδι ἔβλαψεν τοὺς Ἀχαιούς· καὶ ἔοικεν ὁ τοιοῦτος σεισμὸς πτυρμόν τινα ποιεῖν, ὁποῖα τὰ πανικὰ ἱστορεῖται δείματα. Ε.

Σ. 324. Θῆρε] Λέοντες κατ' ἐξοχήν. Σ. —δύο μὲν λέοντας παρείληφεν, ἐπεὶ καὶ οἱ τοὺς Ἀχαιοὺς ταράττοντες δύο εἰσὶν, Ἕκτωρ καὶ Ἀπόλλων· νυκτὸς δὲ οὗτοι ἐπιτίθενται· ὁ γὰρ ἐν ἡμέρᾳ φόβος ἥττων. Εἰς ἐπίτασιν δὲ τὴν ἀσέληνον καὶ τῆς νυκτὸς τὸ μεσαίτατον παρείληφε, τό, τε ἐξαπίνης χαλεπὸν πρὸς τὸ μὴ παραφυλάξασθαι· καὶ ὁ ποιμὴν αὐτοῖς οὐ πάρεστιν βοηθὸς, ὡς οὐδὲ ὁ Ποσειδῶν τοῖς Ἕλλησι συμμαχεῖ. Σ. Β. — Νυκτὸς ἀμολγῷ] Λέγει δὲ καὶ ἐνταῦθα νυκτὸς ἀμολγὸν, ὅτε οὐ μογοῦμεν, πλεονασμῷ τοῦ λ· ἢ καθ' ὃν οὐ μολοῦμεν, ἐπενθέσει τοῦ γ, ἢ τὸν τοῦ ἀμέλγειν καιρόν· διττὸς δὲ αὐτὸς, ἢ ἑῷος, ἢ ἑσπέριος· καὶ ἄλλως δὲ, ἀμολγὸς νυκτὸς, τὸ πυκνόν. — Ἀχαιοὶ δὲ κατὰ τοὺς γλωσσογράφους, ἀμολγὸν τὴν ἀκμήν φασι· ὡς εἶναι νυκτὸς ἀμολγὸν, τὴν ἀκμὴν, ἤτοι τὸ μέσον. Ε. (ἴδ. Χ, 28.).

НБ ОНУ імені І.І. Мечникова

Σ. 325. Σημάντορος] Ἄρχοντος, νῦν δὲ φύλακος, νομέως. Σ. — ἤγουν σημαίνοντος, ὅ ἐστιν ἐπιστατοῦντος τοῖς θρέμμασι. Ε.

Σ. 326. Ἀνάλκιδες τότε γενόμενοι. Σ. Β.

Σ. 328. Κεδασθείσης] Ἐστὶ δὲ κεδασθῆναι τὸ διαλυθῆναι. Ε. Διαλυθείσης, σκορπισθείσης, ἀλλαχοῦ ἄλλου τραπέντος. Σ. — μέγα δὲ τὸ παρὸν δυστύχημα· αἱ γὰρ ἀναιρέσεις τῶν ἡγεμόνων, ἢ τῶν περὶ τούτου ἀριστέων ἔσονται. Σ. Β.

Σ. 335. Ἐν Φυλάκῃ] Πόλις Θεσσαλίας· βαρυτόνως δὲ ἀναγνωστέον, ὡς Ἰθάκη, πρὸς ἀντιδιαστολὴν τοῦ δεσμωτηρίου. Σ.

Σ. 336. Γνωτόν] Νῦν ἀδελφόν. Σ.

Σ. 339. Μηκιστῆ] Περισπαστέον, εἴτε κατὰ ἀποκοπὴν τοῦ ᾱ, ὡς Τυδῆα, Τυδῆ, εἴτε Δωρική ἐστιν ἡ κρᾶσις, Μηκιστέα, Μηκιστῆ. Σ. Β.

Σ. 340. Πρώτῃ ἐν ὑσμίνῃ] Ἐν τοῖς πρωταγωνισταῖς οὐ γὰρ νῦν ἐστιν ἡ πρώτη συμβολή. Σ. Β.

Σ. 342. Ἐν προμάχοισι] Τινὲς ἐν πυμάτοισι, καὶ οἰκεῖον τοῦτο Πάριδι· ἢ ἐν πρώτοις τῶν διωκόντων ὧν ὁ Πάρις, οὐχ αὐτὸν ἐν τοῖς προμάχοισι φεύγοντα. Μόνος δὲ οὗτος Ἑλλήνων ὄπισθεν τέτρωται, καὶ Ἠϊονεὺς ἐν τῇ ῑη ὑφ' Ἕκτορος. Σ. Β.

Σ. 344. Ἐνιπλήξαντες] Ἐμπεσόντες. Σ. — τὴν μετὰ δέους, γενομένην ἄτακτον ἔμπτωσιν διὰ τῆς λέξεως ἐδήλωσε. Σ. Β. — κυρίως δ' ἐπὶ ὀρνέων τὸ ἐμπλῆξαι, ὅτε δικτύοις ἢ παγίσιν ἐγκρούσουσι. Ε.

Σ. 347. Ἐπισσεύεσθαι] Ἐφορμῆσαι. Σ.

Σ. 348. Ὃν δ' ἂν ἐγὼ κ.τ.λ.] Βαρβαρικὴ ἡ ἀπειλὴ καὶ τὸ πρόσταγμα· οὐ γὰρ ὡς ὁ Νέστωρ φησί, ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἔκηλοι νεκροὺς ἀμπεδίον συλήσετε, ἀλλὰ θρασέως καὶ ἀπηνῶς. Σ. Β.

Σ. 349. Μητίσομαι] Μηχανήσομαι, ἐργάσομαι. Σ. — οὐκ ἐνδοὺς δηλαδὴ οὐδὲ βραχύ τι ἐπιζῆσαι. Ε.

Σ. 350. Πυρὸς λελάχωσι] Ἀντὶ τοῦ λαχεῖν ποιήσουσι· ἐντεῦθεν νόμος τὸν προδότην μὴ θάπτεσθαι. Σ. Β. — Σημείωσαι δὲ ὅτι τὸ μὲν αὐτόν τινα λαχεῖν, αἰτιατικῇ συντάσσεται· ἔλαχεν οὐρανόν· ἔλαχε ζόφον· τὸ δὲ ἄλλῳ δοῦναι λάχος, γενικῇ· ὁποῖον καὶ τὸ πυρὸς λελαχεῖν. Ε. (ἴδ. Η, 80).

Σ. 351. Ἐρύουσι] Ἐνεστὼς ἐστὶν ἀντὶ τοῦ μέλλοντος. Σ. Β. — τὸ δὲ πρὸς ἄστεος ἡμετέροιο ἐντρέπει τὸν λειποτάκτην, εἰ μὴ

НБ ОНУ імені І.І.Мечникова

ἐν τῷ ναυστάθμῳ παρὰ τοῖς ἀγνοοῦσι πεσεῖται, ἀλλ' ἐπὶ τῆς πατρίδος κυνῶν μέλπηθρα γένηται. Ε.

Σ. 352. Κατωμαδόν] Ἀντὶ τοῦ ἀνατείνας ἕως ὤμων τὴν μάστιγα· ὤμων δὲ, ἢ τῶν ἑαυτοῦ, ἢ τῶν ἵππων. Ε.

Σ. 353. Κεκλόμενος] Ἤγουν ἐγκελευόμενος. Ε.

Σ. 354. Ἔχον] Ἤγουν ἤλαυνον ἐρυσάρματας ἵππους· — εὐθεῖα δὲ πληθυντικὴ οἱ ἐρυσάρματες. Ε. — τοὺς ἐλαύνοντας τὰ ἅρματα, τοὺς ὑποζυγίους. Σ.

Σ. 356. Καπέτοιο] Τὰς ἀνασκαφὰς τῆς τάφρου δηλονότι. Ἀργεῖοι οὖν τὴν τάφρον κάπετον ὠνόμαζον. Σ. Β. — Ἐρείπων] Σ. ἐρίπων· καταβάλλων.

Σ. 357. Γεφύρωσεν] Διαβατὴν ἐποίησε. Σ.

Σ. 359. Ἧσι] Εὐσταθ. ἥσει· τουτέστι πέμψει· ὅθεν καὶ ἡμῶν ὁ ἀκοντιστὴς, καὶ ἥματα τὰ ἀκοντίσματα. — Ἧσι· ἐπεκτέταται τὸ ἧσι· ἀντὶ γὰρ τοῦ ἧ ἐστιν ὑποτακτικοῦ, ὅπερ ἡ συνήθεια λέγει μετὰ προθέσεως, ἀφῇ· διὸ καὶ μετὰ τοῦ ῑ γράφεται, καὶ δασύνεται· ἀπὸ γὰρ τοῦ ἵημι δασυνομένου κέκληται. Σ. Β. — ἀφῇ, βάδην ἀκοντίσῃ. Σ.

Σ. 360. Πρὸ δ' Ἀπόλλων] Ἤγουν πρὸ δὲ τῶν ἄλλων, Ἀπόλλων ἐκέχυτο δηλαδή.

Σ. 362. Ὡς ὅτε τις] Σημείωσαι τὴν παραβολὴν ταύτην τῆς ἄμμου ἀμίμητον οὖσαν, οὐκ ἂν γὰρ εὑρήσει τις κχιριωτέραν εἰς ἔκφρασιν τῆς ἐν ἀκαρεῖ γενομένης καταῤῥίψεως τοῦ τείχους καὶ συγχύσεως. Ε.

Σ. 363. Ἀθύρματα] Παίγνια, καὶ ἀθύρων, παίζων. Σ. — Νηπιέῃσι] Ἀντὶ τοῦ νηπιότησιν, ἀφροσύναις, ἀσυνεσίαις· ἄλλως δὲ κατ' ἔλλειψιν λέγεται, ἵνα ᾗ τὸ τέλειον, νηπιέαις φρεσί. Ε.

Σ. 364. Συνέχευε] Τὸ δὲ συγχέειν ἐναντίον τῷ τάττειν καὶ ἁρμόττειν. Ε.

Σ. 365. Ἤïε] Τὸ δὲ ἤïε Ἀρίσταρχος μὲν δασύνει, ἀπὸ τοῦ ἵημι ἥσω, διὰ τὴν ἕσιν τῶν βελῶν. Ἡρωδιανὸς δὲ, καὶ οἱ περὶ Κράτητα ψιλοῦσιν ἀπὸ τῆς ἰάσεως· ἰατρὸς γάρ· ἢ ἀπὸ τοῦ ἰέναι, ἤγουν ἔρχεσθαι, ὑπερίων γάρ. Καὶ μὴν Ἀριστάρχῳ μάχεται καὶ ὁ κανὼν, ὁ τὸ η̄ πρὸ φωνήεντος ὂν, ψιλοῦσθαι ἀπαιτῶν· — οἷον, ἠὖτε· ἠΰςτε μέγας τε· ἠὼς ἡ ἡμέρα· καί τοι τῆς ἕω δασυνομένης· ἠέλιος, καὶ ταῦτα τοῦ ἥλιος δασὺ πνεῦμα ἔχοντος· — ὅτι δοκεῖ τὸ ἰήïος καὶ ἀπὸ τοῦ ἰὴ γίνεσθαι, ὅπερ ἐςὶν

НБ ОНУ імені І.І. Мечникова

ἐπιφώνημα λαλούμενον ἐν τόποις ὅπου τὸ θεῖον τιμᾶται, ὡς δῆλον καὶ ἐκ τοῦ, ἰὴ παῖαν, ὅθεν καὶ τὸ ἱερὸν παρῆκται. Ε. — Ἤιε· τοξικέ· παρὰ τὴν ἄφεσιν τῶν βελῶν· ἔστι δὲ ἐπίθετον Ἀπόλλωνος· εἴρηται δὲ κατὰ ἀφαίρεσιν τῆς πρώτης συλλαβῆς· ἵν᾽ ᾖ ἰήιε· ἰὸς γὰρ λέγεται τὸ βέλος παρὰ τὸ ἰέναι· ἔνιοι δὲ ψιλῶς ἀναγιγνώσκοντες, ἀπέδοσαν ἰατρὲ, οὐκ ὀρθῶς· ἐπεὶ θεῶν ἰατρὸς Παιήονα Ὅμηρος παραδίδωσι. Σ.

Σ. 371. Ἀστερόεντα] Οὐ τὸν τότε, ἀλλὰ τὸν τῇ φύσει. Σ. Β.

Σ. 372. Ἐν Ἄργεΐ περ] Ὅλην τὴν Ἑλλάδα· περισσὸς δὲ ὁ περ· πιθανὸν δὲ τὸ μὴ ὑπὲρ ὧν αὐτὸς ἔθυσε, σωτηρίαν αἰτεῖν· οὐ γὰρ ὑπὲρ ἑαυτοῦ δέδοικεν, ἀλλ᾽ ὑπὲρ πάντων· διὸ τὴν κοινὴν εὐσέβειαν προβάλλεται Σ. Β

Σ. 379. Διὸς κτύπον] Λέγει δὲ κτύπον Διὸς τὴν βροντὴν, καὶ ἔστιν ἡ λέξις λειοτέρα, καὶ δηλοῖ ὑφειμένην βροντὴν καὶ ἀτράχυντον· ὥσπερ δὲ οὐ τὸ ἔκτυπε μόνον δηλοῖ τὸ ἐβρόντησεν, ἀλλ᾽ ὁμοῦ τὸ ἔκτυπε Ζεὺς, οὕτως δ᾽ ἁπλῶς κτύπος ἡ βροντὴ, ἀλλὰ Διὸς κτύπος

Σ. 380. Μᾶλλον—θόρον] Παρανοήσαντες δηλαδὴ τὸ τέρας, διὰ τὸ μὴ εἰδέναι τὸν αἴτιον τῆς βροντῆς. Ε.

Σ. 382. Νηὸς ὑπὲρ τοίχων] Ὅτι δὲ ὁ τοῖχος κυριολεκτεῖται καὶ ἐπὶ νηὸς, δῆλον ἐξ οὗ καὶ τειχίζειν λέγεται ναῦς· — ἐπὶ δὲ τῶν μεγάλων νηῶν καὶ ἄρχοντες ἦσάν τινες τῶν τοιούτων τοίχων· καὶ ἦν ἐνδοξότερος ὁ τοῦ δεξιοῦ τοίχου τεταγμένος ἄρχειν. Ε.

Σ. 384. Κατὰ τεῖχος ἔβαινον] Ἐν δὲ τῷ, κατὰ τεῖχος ἔβαινον, τεῖχος νοητέον, τὸν τόπον, ἔνθα πρὸ βραχέων ἀκέραιον τεῖχος ἀνίστατο· νῦν γὰρ κεῖται χαμαί· καὶ ἔστι δι᾽ αὐτοῦ ὁδὸς ἱππήλατος. Κατὰ τεῖχος οὖν βάντες καὶ ἵππους εἰσελάσαντες οἱ Τρῶες ἐπὶ πρύμνῃσι μάχονται. Παρυψούμενοι τοῖς ἅρμασι καθὰ ταῖς πρύμναις οἱ Ἀχαιοὶ, καὶ οὕτως ἀπὸ ἴσου ὕψους μαχόμενοι. Ε.

Σ. 389. Εἱμένα χαλκῷ] Ἤγουν ἐνδεδυμένα, κεκαλυμμένα· δηλοῖ δὲ οὕτω τὰ οὐκ ἀμφίγυα ὁποῖα εἶχον ἀνωτέρω προσεχῶς οἱ ἱππόται Τρῶες σιδηρούμενα ἑκατέρωθεν, ἀλλ᾽ ἐξ ἑνὸς μέρους ἔχοντα σίδηρον· —Κολλήεντα] Τὸ δὲ κολλήεντα καὶ τὸ μακροῖς ξυστοῖς, αὐτὸς Ὅμηρος ἑρμηνεύων ἐν τοῖς ἑξῆς ἐρεῖ. κολλητὸν βλήτροισιν ὅ ἐςι συμβολαῖς, δύω καὶ εἰκοσίπηχυ, καὶ διὰ τοῦτο μακρόν· (στ. 678.) — διπλάσιον ὂν ἤπερ τὸ ἁπλῶς

πολεμικὸν ἔγχος· ἐκεῖνο γὰρ ἑνδεκάπηχυ. Ε. — κολλήεντα· ἐκ πολλῶν συγκεκολλημένα· ἵνα γένηται μακρὰ, οἷον σύνθετα καὶ οὐ μονόξυλα. Σ. — Ἔτι ὅρα καὶ τὸ ναύμαχα, δι᾽ οὗ ναυμαχίας διάθεσις ἐμφαίνεται ἄρτι κατὰ χέρσον συνίστασθαι· ἣν εἰκός φασιν ἀπὸ Μίνωος πεπολιτεῦσθαι παρ᾽ Ἕλλησι· μᾶλλον μὲν οὖν πεζομαχίᾳ ναυμαχίαν ὁ ποιητὴς ἐνταῦθα συγκιρνᾷ. Ε.

Σ. 395. Ἐπεσσυμένους] Ἤγουν ἐπελθόντας τῷ τείχει. Ε.

Σ. 403. Σὺν δαίμονι] Ὃ δὴ ἀφορμὴν δέδωκε, παροιμίαν ὕστερον λεχθῆναι τὸ, σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει· ὡς καὶ ἐνταῦθα ὁ Πάτροκλος σὺν δαίμονι καὶ πόδας κινεῖ. Ε.

Σ. 404. Ἀγαθὴ παραίφασις] Ἡ ἐξ ἑταίρου γινομένη παραμυθία ἀγαθή. Σ. Β.

Σ. 410. Ὥστε στάθμη—ἐξιθύνει] Πρὸς τὸ ἀκριβὲς τῆς ἰσότητος ἐν ἄλλοις μὲν τάλαντα ἕλκουσαν ἔλαβεν, ἀλλαχοῦ δὲ ζυγὸν καὶ μέτρα γῆς· νῦν δὲ ὑπὸ τέκτονος ἐμπείρου ἐξιθυνόμενον ξύλον πρὸς τὴν στάθμην· σημείωσαι δὲ, ὅτι ἅπαξ ἐνταῦθα σοφίαν ὠνόμασεν, οὐ τὴν λογικὴν, ἀλλὰ τὴν τεκτονικὴν τέχνην· οἱ γὰρ παλαιοὶ πάντας σοφιστὰς ἐκάλουν, πλὴν οἱ νεώτεροι οὐκ ἠθέλησαν ταὐτὸν τῇ γνώσει φέρειν καὶ ταῦτα ὀνομα· οἱ δὲ φιλόσοφοι φιλοσοφίαν εἶναι ὁρίζονται ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῆς περὶ ἑκάτερον αἰτίας· στάθμη δέ ἐστι σχοινίον λεπτὸν ἐρυθρῷ ἢ μέλανι χρώματι ἐχρισμένον, ᾧ κανονίζεται τὰ ξύλα. Σ. Β. — Νήϊον] Ἴδ. Γ, 62.

Σ. 412. Ὑποθημοσύνῃσιν] Ὑποθημοσύνη ταὐτὸν τῇ ὑποθήκῃ ἐστί. Ε. — ὑποβολαῖς, διδασκαλίαις. Σ.

Σ. 415. Εἴσατο] Ὥρμησεν. Σ. Β. — ἐφάνη. Σ.

Σ. 417. Οὔθ᾽ ὃ τὸν ἐξελάσαι] Ἰσότης οὖν καὶ αὕτη μάχης ἡρωϊκῆς· καὶ ὅρα τὸ σύντομον τοῦ σχήματος καὶ κατηπειγμένον, ἐν τῷ οὔθ᾽ ὃ τὸν ἐξελάσαι, οὔθ᾽ ὃ τὸν ὤσασθαι· μονοσύλλαβοι γὰρ ἀντὶ κυρίων ὀνομάτων κεῖνται ἀντωνυμίαι διὰ γοργότητα. Ε.

Σ. 419. Κλύτιος ἀδελφὸς Πριάμου] Καλήτωρ ἀνεψιὸς Ἕκτορος· ἔστι δὲ καὶ ἕτερος Κλύτιος ὁμώνυμος. Σ.

Σ. 426. Ἐν στείνεϊ τῷδε] Στεῖνος λέγει τὸ ἔσω μεταξὺ τοῦ τείχους καὶ τοῦ πρώτου στίχου τῶν νεῶν, ὡς καὶ πρὸ τούτου τὸ ἔξω μέσον τάφρον καὶ τείχους· ὥστε στεῖνος ἢ ἐφ᾽ ἑκάτερα τοῦ τείχους. Ε. — τῷ μεταξὺ νεῶν καὶ τῆς τάξεως τῶν ἵππων στενῷ τόπῳ. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 431. Θεράποντα] Ἰστέον δὲ καὶ, ὅτι, ὥσπερ οὐκ ἂν ὁ ἥρως Μηριόνης θεράπων Ἰδομενέως λέγοιτ' ἂν ὀνόματι δουλικῷ, οὕτως οὐδ' ὁ Κυθήριος Λυκόφρων θεράπων νοηθείη ἂν Αἴαντος ὡς δοῦλος. Ἀλλ' ἔχει καὶ ἡ λέξις μέσως καθὰ καὶ οἰκεὺς καὶ ὁ οἰκέτης, οἵπερ οὐδ' αὐτοὶ ἐξ ἀνάγκης δούλους δηλοῦσιν· — εἰσὶ δέ φασιν οἰκέται, οἱ κατὰ τὴν οἰκίαν διατρίβοντες, κἂν εἶεν ἐλεύθεροι. Ἦσαν δὲ ἄλλως δουλικαὶ λέξεις ἐν Κρήτῃ μὲν, οἱ κλαρῶται, διὰ τὸ κληρωθῆναι· ἔτι δὲ οἰκέται μὲν, οἱ κατὰ πόλιν χρυσώνητοι· ἀμφαμιῶται δὲ, οἱ κατὰ ἀγρὸν ἰδίᾳ δοῦλοι· ἐκάλουν δέ φασι Κρῆτες καὶ μνοίαν τὴν κοινὴν δουλίαν· καὶ μνώτας τοὺς ἐγγενεῖς οἰκέτας. Παρὰ δὲ τοῖς γλωσσογράφοις, παρ' οἷς καὶ ὁ θεράπων δεδούλωται, δουλικὰ ὀνόματα καὶ οἱ ἄζοι, καὶ οἱ πάλμονες, καὶ οἱ λάτριες, καὶ οἱ ἑρκίται, οἵπερ εἰσὶν κατ' ἀγρὸν οἰκέται· καὶ οἱ σίνδρωνες, οἱ κοινῶς δουλέκδουλοι· ἤδη δὲ καὶ οἱ ἀκόλουθοι, καὶ οἱ ὑπηρέται. Σέλευκος δέ φασιν, ἄζους οὐ δούλους μόνους, ἀλλὰ καὶ τὰς θεραπαίνας οὕτω καλεῖ. Παρὰ δὲ Λάκωσιν οἱ παρὰ τὸ ἕλος εἵλωτες, ἐλευθερωθέντες ἐκαλοῦντο ἀφέται· οἱ δὲ ἀδέσποτοι· τινὲς δὲ, ἐρυκτῆρες· ἄλλοι δεσποσιοναῦται, οὓς εἰς τοὺς στόλους κατέτασσον· ἦσαν δὲ καὶ οἱ νεοδαμώδεις ἕτεροι τῶν εἱλώτων. Ε. — Κυθήριον] Ἰδ. Κ, 268. — Κύθηρα δὲ νησίδιον τῆς Λακωνικῆς. Σ. Β.

Σ. 438. Κυθηρόθεν] Τὸ δὲ Κυθηρόθεν ἔνδον ἐόντα, ἀντὶ τοῦ ἐξ αὐτῆς τῆς ἐκεῖ πόλεως, οὐ μὴν ἐκ τῆς περιχώρου τῆς νήσου Κυθήρων. Ε.

Σ. 441. Ὠκύμωροι] Ὅρα δὲ τὸ ὠκύμωροι ἀσυνήθως ληφθέν· κοινῶς μὲν γὰρ ὠκύμωρος ἐν παθητικῇ σημασίᾳ, ὁ θνήσκων ὠκύ· νῦν δὲ ὀϊστοὶ ὠκύμωροι οἱ θανοῦντες ὠκύ· τοιούτῳ τινὶ λόγῳ καὶ μετ' ὀλίγα πολύστονος ἰὸς, ὁ ποιῶν οὐμὴν πάσχων στόνους (στ. 451.). Ε. — Τόξον] Φασὶ δὲ οἱ παλαιοὶ, ὅτι τὸ τόξον ὁ ποιητὴς νῦν οὐ τὸ σκεῦος λέγει, ἀλλὰ τὴν τοξικὴν τέχνην τοῦ Τεύκρου. Ε.

Σ. 444. Ἰοδόκον] Ἰοδόκος ἰωνικῶς, ἡ δεχομένη τοὺς βλάπτειν δυναμένους ἰούς· παροξύνεται δὲ τὸ ἰοδόκος καθὰ καὶ τὸ ξεινοδόκος, ἐνεργητικὸν γάρ ἐστι καὶ οὐ πάθος δηλοῖ. — Ἰστέον δὲ, ὅτι καὶ ἐν τῷ, ἠδὲ φαρέτρην, μετοχὴν συννοητέον οἰκείαν τῇ κατοχῇ αὐτῆς· οὐ γὰρ ὥσπερ τόξον ἔχει τις ἐν χειρὶ, οὕτω καὶ φαρέτραν. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 448. Τῇ γὰρ ἔχε] Ἐκεῖ γὰρ ἤλαυνεν. Σ.

Σ. 452. Ὑπερώησαν[ Ὅ ἐστιν ὑπεχώρησαν οἱ ἵπποι. Ε.

Σ. 462. Εὖχος ἀπηύρα] Ἀφείλετο. Σ.

Σ. 463. Ἐϋστρεφέα] Τὴν δ' ἐϋστρεφέα νεόστροφον κατωτέρω λέγει Τεῦκρος· ἔστι δὲ νευρὰ μὲν καταχρηστικῶς ἐκ παλαιᾶς χρήσεως ὀνόματι μόνῳ ἡ οὐκ ἐξ ἀνάγκης ἐκ νεύρου, ἣν παρονομάζουσί τινες τῇ χόρδῃ, ἀλλὰ καὶ ἡ ἐκ δέρματος ζωϊκοῦ εὐςρεφής τε καὶ εὔςροφος, ἡ εὔκλωστος· ἐπεὶ καὶ τὸ κλώθειν ςρέφειν λέγεται. Ε.

Σ. 464. Ῥῆξ' ἐπὶ τῷ ἐρύοντι] Δοκεῖ δὲ ἡ ῥηθεῖσα τῆς νευρᾶς ῥῆξις καὶ ἡ ἐκ χειρὸς πτῶσις τοῦ τόξου τῆς προδηλωθείσης αἰγίδος ἔργον εἶναι, ἧς ἐπισειομένης γίνονται κλόνοι, τρόμοι, ῥήξεις, φυγαὶ, καὶ ὅσα τοιαῦτα. Ε. — Ἐρύοντι] Ἤγουν ἕλκοντι καθ' Ἕκτορος. Ε.

Σ. 467. Μήδεα κείρει] Πᾶσαν τὴν εἰς τὸν πόλεμον ἡμῶν προθυμίαν θεός τις κωλύει, καὶ παρασπᾷ· — ἐμποδίζει τὰ βουλεύματα. Σ.

Σ. 470. Πρώϊον] Ζηνόδοτος πρώην γράφει· ἀλλ' ἔμφασιν ἔχει πλείονος χρόνου τὸ πρώην· τὸ δὲ πρώϊον σημαίνει πρωΐας· ἐν γὰρ τῇ κολοβομάχῃ ἐν τῇ πρὸ ταύτης ἡμέρᾳ ἐῤῥάγη ὑφ' Ἕκτορος, ὥςε εὔλογον τῇ ἑξῆς ἡμέρᾳ πρωΐας ἐμβαλεῖν τὴν νευρὰν τῷ τόξῳ. Σ. Β.

Σ. 472. Ταρφέας ἰούς] Οὓς συνεχῶς βάλλεις κατὰ τῶν πολεμίων. Σ. Β.

Σ. 473. Συνέχευε] Ἀντὶ τοῦ τῆς πρὶν εὐκοσμίας ἐστέρησεν. Ε. — Μεγήρας] Φθονήσας. Σ.

Σ. 476. Ἀσπουδί] Χωρὶς σπουδῆς καὶ κακοπαθείας. Σ.

Σ. 479. Τετραφάλυμνον] Ὅ ἐστι τετράπτυχον· τετράθετον. Ε. — τέσσαρας θέσεις ἔχον ἐπαλλήλους. Σ.

Σ. 489. Διόθεν] Ἀναγκαίως τὸ Διόθεν, ἵνα τοὺς μὲν ἐπιῤῥώσῃ, τοὺς δὲ περιδεεῖς καταστήσῃ· τῇ τῶν θεῶν οὖν ἐλπίδι ἀνεγείρει τὸν ςρατόν. — Βλαφθέντα] Βεβλαμμένα τῆς τῶν τόξων χρήσεως. Σ. Β.

Σ. 491. Ὁτέοισιν] Οἷς τισιν. Σ. — τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἀπὸ γὰρ τοῦ ὅτοισίν ἐστι. Σ. Β.

Σ. 496. Τεθνάτω κ. τ. λ.] Ὁ Ἕκτωρ τῆς ἐν τῇ συντάξει φράσεως ἀλλὰ ἐλλειπτικῶς ἔφρασεν· ἔδει γὰρ εἰπεῖν, ὅτι εἰ γὰρ αὐτὸς θάνοι τις, ἀλλ' ἄλοχός τε σόη καὶ τὰ ἑξῆς· — πάνυ δὲ τεχνικῶς

НБ ОНУ імені І.І. Мечникова

παρατίθησι τῷ τοῦ θανάτου δυσχερεῖ, τὰ μετὰ ταῦτα λυσιτελῆ· καί φασιν οἱ παλαιοὶ, ὡς κάλλιόν ἐστι ταῦτα τοὺς μαχίμους νέους ἀναγινώσκειν ἐν βραχεῖ δυνατῶς καὶ κατὰ τάξιν, ἢ ἃ Τυρταῖος πολυλογῶν Λακεδαιμονίοις ἔγραψε· δαιμονίως δ' ἐνταῦθα καταμερίζει δι' ὀλίγων Ὅμηρος πόλεως σωτηρίαν, μεταποιήσας ἐκ τοῦ ἐναντίου τὸ ἐν ταῖς Λιταῖς νόημα. Ὅρα γὰρ, ὡς ἐκεῖ μὲν ἔλεγε διὰ τῆς Κλεοπάτρας τὰ ἐπισυμβαίνοντα τῇ πορθήσει τρία μεγάλα κακά· φόνον ἀνδρῶν, πόλεως ἐπινέμησιν διὰ πυρὸς, καὶ αἰχμαλωσίαν τέκνων καὶ γυναικῶν. Ὧδε δὲ ἀντιφράζων τὰ αὐτοῖς ἐναντία, φησὶν ὡς περιούσης τῆς πατρίδος, ἄλοχός τε καὶ παῖδες σώζονται μὴ αἰχμαλωτιζόμενοι δηλαδὴ, ὡς ἐν πορθήσει πόλεως· καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, μὴ γενόμενα δηλαδὴ πυρὸς ἔργον. Τὸ δὲ τρίτον κακὸν, ἤγουν οἱ κτεινόμενοι ἐκεῖ ἄνδρες, οὐκ ἀντιφράζονται νῦν διὰ τῶν σωζομένων· ἢ διότι συνεπινοεῖται τοῦτο, κἂν ὁ Ἕκτωρ οὐκ εἶπεν, ὡς ἐπειγόμενος τῷ καιρῷ· εἰ γὰρ αὐτοὶ ἀριστεύσαντες τὰ φίλτατα καὶ τὰ κατ' οἴκους περισώζονται, περίεισιν ἄρα καὶ οὐ κτείνονται· ἢ καὶ ἄλλως, διότι οὐκ ἐξ ἀνάγκης τῇ πατρίδι σωζομένῃ συμπερισώζονται καὶ οἱ ἄνδρες ἅπαντες, καὶ οὐδεὶς κτείνεται· ἀλλά τινες μὲν πίπτουσιν ἀμυνόμενοι περὶ πάτρης, ὧν τά τε φίλτατα σώζεται, καὶ ὁ οἶκος ἀκήρατος μένει· οἱ πλείους δὲ περίεισι. Ε. — παῖδας καλεῖ τὴν πᾶσαν γενεὰν καὶ διαδοχήν· καλὴ δὲ καὶ ἡ προσθήκη τοῦ ὀπίσω, αἰωνίαν διαδοχὴν τοῦ γένους παριστάς. Σ. Β.

Σ. 498. Κλῆρος] Κλῆρος δὲ ἢ ὡς περὶ ἀριστέων ἐῤῥέθη, οἷς ὁ βίος ἀπὸ μερίδων, ἐφ' αἷς κλῆροι πάλλονται, ὅτε καιρὸς δάσασθαι· ἢ δηλοῖ ἄλλως, ὡς καὶ τὰ ἐκ προικὸς καὶ διαδοχῆς γένους κλήρῳ ἐλάγχανον· ὅθεν καὶ ἡ κληρονομία σύγκειται, ὡς κλήρῳ διανεμομένη. — Ἀκήρατος] Ἀκήρατος δὲ ὁ ἀκέραιος καὶ σῶος κατὰ στέρησιν τοῦ κείρεσθαι ἢ τῆς κηρός. Ε. — ἀκέραιος, ἄφθαρτος. Ε.

Σ. 502. Αἰδώς] Λείπει τὸ γενέσθω· καλὴ δὲ παρ' Ἕλλησιν αἰδοῦς ὑπόμνησις, οὐ φόβος ἀπειλούμενος καὶ νεκρὸς ἄταφος, ὡς παρ' Ἕκτορι. — Ἄρκιον] Ὠφέλιμον, ἢ ἔτυμον, ὃ καὶ ἄμεινον. Σ. Β.

Σ. 504. Ἢ ἔλπεσθε] Ἦθος καὶ εἰρωνεία καὶ βάρος μεθ' ὑποκρίσεως αὐτοῦ τὰ ὡμολογημένα πυνθανομένου. Σ. Β.

Σ. 505. Ἐμβαδόν] Τὸ δὲ ἐμβαδὸν, ἀντὶ τοῦ βάδην καὶ πεζῇ· ὅθεν ἄβατος ἡ μὴ πορευομένη. Ε.



НБ ОНУ імені І.І.Мечникова

Σ. 508. Ἀλλὰ μάχεσθαι] Λείπει τὸ, οἱ δὲ πείθονται· — ἀντὶ τοῦ οὐκ εἰς πανήγυριν, ἀλλ' εἰς κινδύνους καλεῖ. Ε. — εἰς χορείαν. Σ.

Σ. 509. Νόος καὶ μῆτις] Τὸ δὲ νόος καὶ μῆτις ἀσφαλῶς ἔχει ῥηθέν· πολλαχοῦ γὰρ, νοῦς μέν ἐστιν, μῆτις δὲ οὐκ ἔστιν· οὐ γὰρ πᾶν τὸ νοηθὲν καὶ ἐξαγγέλλεται. Ε — Μῆτις] Βουλή. Σ. — οὐδέν φησιν ἡμῖν ἐστι προτιμότερον, ἢ χωρῆσαι εἰς χεῖρας. Σ. Β.

Σ. 511. Ἀπολέσθαι ἕνα χρόνον] Τὸ δὲ καθ' ἕνα χρόνον, ἀντὶ τοῦ ἐν ὀλίγῳ καιρῷ. Σ. Β. — ἐν μιᾷ ῥοπῇ. Σ. — Βιῶναι] Διαστολὴ ἐπὶ τῷ βιῶναι· μέχρι δὲ αὐτοῦ συναπτέον· ὁ γὰρ λόγος· ἢ ἀποθανεῖν, ἢ ζῆσαι συντόμως, βέλτιόν ἐστιν ἢ μετὰ παρολκῆς καταπονεῖσθαι, στρεύγεσθαι, στραγγίζεσθαι, κακοπαθεῖν, ταλαιπωρεῖν. Σ. Β.

Σ. 512. Στρεύγεσθαι] Στρεύγεσθαι δὲ τὸ στραγγίζεσθαι, καὶ οἷον κατὰ στράγγα καὶ κατ' ὀλίγον ἐκλείπειν, ὃ καὶ ἀπολιβάζειν φασὶν οἱ μεθ' Ὅμηρον, οἱονεὶ κατὰ λιβάδα ὑποῤῥεῖν. Ε.

Σ. 513. Αὔτως] Ἀπράκτως, ματαίως. Σ. — Χειροτέροισιν] Γενναῖον δὲ τὸ κἂν ταῖς ἐπιφοραῖς διαφυλάττειν τὸ φρόνημα καὶ χείρους ἡγεῖσθαι καὶ νικῶντας τοὺς Τρῶας· ἅμα δὲ καὶ πρὸς ἐντροπὴν Ἑλλήνων ὅτι ὑπὸ χειρόνων ἡττῶνται. Σ. Β.

Σ. 515. Σχεδίον] Ὅτι οὗτός ἐστι Σχεδίος ὁμώνυμος τῷ ἐν καταλόγῳ· καὶ ἀμφότεροι ὑφ' Ἕκτορος ἀνῄρηνται· ἀλλ' ἐκεῖνος μὲν Ἰφίτου πατρὸς, οὗτος δὲ Περιμήδους. Σ. Β.

Σ. 517. Πρυλέων] Πεζῶν ὁπλιτῶν. Σ. — ὅρα δὲ τὸ πρυλέων, παροξυτόνως ῥηθὲν, ἐξ οὗ δῆλον, ὡς οὐκ ἐκ τοῦ πρύλις πρύλεως, ἀλλ' ἐκ τοῦ πρυλὴς πρυλέως κατὰ τοὺς παλαιοὺς κλίνεται. Ε.

Σ. 518. Κυλλήνιον] Ὅτι οὐκ ἀπὸ Κυλλήνης τοῦ ἐν Ἀρκαδίᾳ ὄρους, ἀλλ' ἐπίνειόν ἐστιν Ἠλείων Κυλλήνη· οὗτοι δέ εἰσιν Ἠλεῖοι. Σ. Β. — Ἀρκάδα, Κυλλήνη δὲ ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμοῦ· καὶ ὑπ' αὐτῷ πόλις ὁμώνυμος. Σ.

Σ. 520. Ὕπαιθα] Εἰς πλάγιον ἐξέκλινεν· εἰς τοὔμπροσθεν. Σ. — ἀντὶ τοῦ εἰς τὸ ἰθὺ καὶ ἀντικρὺ καὶ ἔμπροσθεν· ἐκ πλαγίων γὰρ νοῆσαι τὸ ὕπαιθα, οὐκ ἀρέσκει τοῖς παλαιοῖς. Ε.

Σ. 521. Ἀπήμβροτεν] Ἀφήμαρτεν, ἀπέτυχε. Σ.

Σ. 525. Δόλοψ] Ὅτι οὗτος Τρωϊκὸς Δόλοψ, Λάμπου υἱὸς τοῦ ἀδελφοῦ Πριάμου, ὁμώνυμος τῷ ἐν τῇ λ Δόλοπι· καὶ Δόλοπα Κλυτίδην, καὶ Ὀφέλτιον. Σ. Β.

НБ Онлайн І.І.Мечнікова

Σ. 529. Ἤρκεσε] Ἐβοήθησεν, ἀπέστρεψε. Σ.

Σ. 530. Γυάλοισιν] Ἴδ. Ε, 99. — ὅτι τὰ κύτη καὶ τὰ κοιλώματα τοῦ θώρακος γύαλα, οὐχ ὡρισμένος τόπος. Σ. Β.

Σ. 531. Ἐξ Ἐφύρης] Τῆς ἐν Ἤλιδι, ἣ νῦν καλεῖται Οἰνόη. Σ. — ὅτι τῆς Θεσπρωτιακῆς Ἐφύρας λέγει· — δῆλον δὲ ἐκ τοῦ Σελλήεντος, ἀφ' οὗ καὶ Σέλλοι, οἱ περίοικοι, καὶ ὅτι ἕτερός ἐστι Σελλήεις ποταμός. Σ. Β.

Σ. 533. Ἀλεωρήν] Ἴδ. Μ, 57.

Σ. 536. Κύμβαχον] Καὶ ὅρα τὸ κόρυθος κύμβαχον, πρὸς διαστολὴν τοῦ τῆς κεφαλῆς· τινὲς δὲ οὕτω φασί· κύμβαχον, τὸ ἄνω τοῦ κράνους· διὸ ἐπήγαγεν ἐξηγητικῶς τὸ ἀκρότατον· ἔτι δὲ καὶ ἄλλως, κύμβαχον, τὸ ὑπὲρ κεφαλῆς διάκενον τῆς περικεφαλαίας εἰς ὃ καθίεται ὁ λόφος. Ε. ἴδ. Ε. 586. — τὸ κάτακρον τῆς περικεφαλαίας, ἐν ᾧ ἐμβάλλεται ὁ λόφος. Σ.

Σ. 538. Φοίνικι φαεινός] Νεωστὶ φοινικῷ χρώματι βεβαμμένος, ὅ ἐστιν ἐρυθρῷ τῷ αἵματι. Σ.

Σ. 539. Ἔλπετο νίκην] Ἑκάτερος αὐτῶν δηλονότι, οὐ μόνον ὁ τύψας. Σ. Β.

Σ. 540. Τόφρα δὲ οἱ] Τῷ Μέγητι δηλονότι. Σ. Β.

Σ. 541. Εὐράξ] Ἴδ. Λ, 251. — οὐ τὸ ἐκπλαγίου δηλοῖ, ἀλλὰ τὸ κατὰ τὸ ἔμπροσθεν, ἢ ὄπισθεν παρὰ τὸ εὐρός. Σ. Β.

Σ. 544. Ἐεισάσθην] Νῦν ἐπῆλθον, καὶ ὥρμησαν. Σ.

Σ. 545. Κασιγνήτοισι] Κασιγνήτους ἐνταῦθα Ἕκτωρ εἶπε τοὺς ἀνεψιοὺς ἢ ἁπλῶς συγγενεῖς· καί φασιν, ὅτι καὶ νῦν παρὰ Ἴωσιν οἱ συγγενεῖς κασίγνητοι λέγονται. Ε. — ὁ γὰρ Μενάλιππος ἀνεψιὸς ἦν Ἕκτορος. Σ.

Σ. 546. Ἐνένιπεν] Ἐνένισπεν· (Σ. Β.) ἐπέπληξεν, ἀπὸ τῆς ἐνιπῆς, ἥ ἐστιν ἐπίπληξις· — ἐνένιπεν, ἐκακολόγησεν, ἐνέπληξεν.

Σ. 547. Ὁ δ' ὄφρα] Ὅρα δὲ καὶ τὸ ὄφρα μὲν βοῦς, ληφθὲν ἀνωτέρω ἀντὶ τοῦ εἵως, καὶ ἕως, ἃ δηλοῦσι τὸ τέως καὶ μέχρι τινός. Ε.

Σ. 548. Ἐν Περκώτῃ] Πόλις Ἑλλησπόντου, οἱ δὲ Θρᾴκης. Σ.

Σ. 550. Μετέπρεπε] Ἐκπρεπὴς ἦν. Σ.

Σ. 553. Μεθήσομεν] Μεθήσομεν, καὶ οὐκ ἀντιληψόμεθα τῶν συγγενῶν. Σ. Β.

Σ. 555. Περὶ τεύχε' ἕπουσιν] Περὶ τὰ ὅπλα ἀσχολοῦνται. Σ.

Σ. 556. Ἀποσταδόν] Ἀφεστῶτες πόῤῥω ἐκ διαστήματος. Σ. — μέγας οὖν καὶ τελευταῖος ἀγὼν πρόκειται, ὥστε ἀναγκαῖον

καὶ τὸν ἀκροατὴν τῷ ἀκμαιοτάτῳ τούτῳ μέρει τῆς ποιήσεως προσχεῖν. Σ. Β.

Σ. 557. Κατ' ἄκρης] Κατὰ κεφαλῆς, ἀπὸ τῆς ἀκροπόλεως. Σ. ἴδ Ν, 772. — ἢ ἐπιῤῥηματικώτερον κεῖται ἀντὶ τοῦ ὁλοτελῶς, ἢ τὴν ἀκρόπολιν δηλοῖ ἐλλιπῶς ληφθὲν, ἵν' ᾖ, κατ' ἄκρης πόλεως. Ε.

Σ. 558. Κτάσθαι] Τὸ δὲ κτάσθαι, ὅ ἐστι φονευθῆναι, παροξύνεται, ὅτι μὴ φυσικῶς ἐκτείνει τὴν παραλήγουσαν κατὰ τὸ κτᾶσθαι. Ε. — ἀναιρεθῆναι. Σ.

Σ. 563. Πέφανται] Ὅταν δὲ φύγωσι, καὶ ἀδοξία καὶ ἀσθένεια αὐτοὺς καταλαμβάνει. Σ. Β.

Σ. 567. Χαλκείῳ] Τῷ κύκλῳ τῶν ἀσπίδων, ταῖς ἀσπίσιν. Σ.

Σ. 571. Εἴ τινά που] Καὶ σημείωσαι καιριωτάτην ταύτην ἔλλειψιν· λείπει γὰρ τὸ ἀξιῶ, ἢ τὸ θέλησον, ἤ τι τοιοῦτον· ἵνα λέγῃ, ὅτι σπεῦσον, εἴπως τινά που Τρώων βάλῃς. Ε. — ὁ σύνδεσμος ἀντὶ τοῦ εἴθε. Σ. Β.

Σ. 574. Ὑπὸ κεκάδοντο] Νῦν ὑπεχώρησαν, διέστησαν. Σ.

Σ. 579. Κύων ὥς] Τὸ ἀδεές τε καὶ ταχὺ καὶ πρόθυμον τοῦ Ἀντιλόχου διὰ τοῦ κυνὸς δηλοῖ. Σ. Β.

Σ. 586. Δαιμονίως τῇ παραβολῇ κέχρηται] Καὶ γὰρ ἡ φυγὴ τούτῳ κατὰ πρόνοιαν, οὐ κατὰ δειλίαν γίνεται. Καλῶς δὲ οὐκέτι παραβέβληται κυνί· οὐ γὰρ ἔδει τὸν ἥρωα φεύγοντα κυνὶ εἰκάζειν, ἀλλὰ λέοντι οὐ δεδιότι τοὺς ἐναντίους, ἀλλ' ἔφοδον πλειόνων ἀφορωμένῳ ἀγροίκων. Σ Β. — Θηρί] Ὁ ἐστι λέοντι κατ' ἐξοχήν· ἰδιότης δέ φασι λέοντος καὶ τῶν ὁμοίων ζώων ἐστὶν, ὅτι τὶ κακουργήσωσι, συστέλλεσθαι δέει ποινῆς, καὶ φεύγειν, πρινὴ ὑπ' ἀνδρῶν καταληφθῶσι, διὰ τὸ οἷον νοεῖν, ὡς κακόν τι ἔῤῥεξαν· — ὅτι καὶ νῦν τὸ ἔτρεσεν, ἀντὶ τοῦ μετὰ δέους ἔφυγε. Ε.

Σ. 594. Θέλγε δὲ θυμόν] Ἐπὶ τὸ χεῖρον ἠπάτα· βασανίζει δὲ τὴν διάνοιαν τοῦ ἀκροατοῦ τὸν ἐμπρησμὸν προσδοκῶντος. Σ. Β. — ἠπάτα καὶ παρῃτεῖτο τὴν τοῦ ἀμύνασθαι δύναμιν. Σ.

Σ. 595. Ἀπαίνυτο] Ἤγουν ἀφῃρεῖτο. Ε.

Σ. 598. Ἐξαίσιον ἀρήν] Ἔνθα λέγει ἀρὴν μὲν σεμνότερον, τὴν ἱκετείαν· ἐξαίσιον δὲ οὐ κατὰ τοὺς ὕστερον, τὴν ἄγαν αἰσίαν, παρ' οἷς ἡ ἐξ πρόθεσις δηλοῖ ἐπίτασιν, ἀλλὰ κατ' ἄλλον λόγον, τὴν ἔξω τοῦ αἰσίου· ὥσπερ αὖ πάλιν ἐναίσιμον,

τὸ καθῆκον καὶ ἐντὸς τοῦ αἰσίου· οὕτω καὶ ἔκδικος καὶ ἐκδικεῖν, νῦν μὲν ἐπὶ τοῦ ἄγαν δικαίου, πάλαι δέ ποτε ἐπὶ ἀδίκου καὶ ἀθέσμου τὸ ἔκδικον ἐλέγετο, οἱονεὶ τὸ ἔξω δίκης. Ε.

Σ. 601. Παλίωξιν] Ἴδ. στ. 69. — ἐπιστάμενος τοὺς ἀκροωμένους συναχθομένους τοῖς Ἕλλησιν, εὐέλπιδας ἀπεργάζεται τῇ τῆς μελλούσης νίκης προεκθέσει. Σ. Β.

Σ. 606. Ἐνὶ τάρφεσιν] Τοῖς πυκνώμασι· — οὐκ ἔστιν ἐπιθετικῶς, ὡς ὀξέσιν, ἀλλ' ὡς βέλεσιν. Σ.

Σ. 607. Ἀφλοισμός] Ὁ ἀφρισμὸς κατὰ Αἰτωλούς· λαμβάνεται δὲ καὶ πεποιημένως ἐπὶ ἰδιώματος ὕδατος ἤχου. Σ. — ταῦτα δὴ ἃ καὶ μαινόμενοί τινες; ἢ ἄκρως θυμούμενοι πάσχουσι. Ε.

Σ. 608. Βλοσυρῇσιν] Ἴδ. Π, 212.

Σ. 610. Ἕκτορος . . . ἀπ' αἰθέρος] Ἀθετοῦνται ε. στίχοι, διὰ τὸ λέγειν, ὅτι ὀλιγοχρόνιον ὄντα ἐτίμα, καὶ ὅτι ἀπ' αἰθέρος· ἀπὸ γὰρ Ἴδης ἦν· καὶ διατὶ μαρναμένοιο νοεῖται τὸ Ἕκτορος. Ἔστι δὲ τὸ γὰρ ἀντὶ τοῦ δέ· τὸ δὲ ὄνομα ἐπανείληπται πρὸς πλείονα ἔμφασιν· εἴωθε γὰρ θαυμάζων τινὰ τῶν ἔργων πολλάκις ἐπαναλαμβάνειν τὸ ὄνομα. Τὸ δὲ ἀπ' αἰθέρος, ὅτι ὁ αἰθέριος Ζεύς· οὐ γὰρ ἀπὸ τῆς μερικῆς αὐτὸν, ἀλλ' ἀπὸ τῆς τελείας διατριβῆς ἐχαρακτήρισε καὶ ἡ πρόσληψις (πρόληψις) δέ ἐστι σχῆμα ποιητικόν· προσεκτικὸν δὲ ταῦτα τὸν ἀκροατὴν καὶ περιπαθητικὸν (περιπαθέστερον. Β.) ἐργάζονται· (καὶ τοῦ λέγοντος ἦθος χρηστόν. Β.) καὶ ὡς συναλγοῦντος ἡ πίστις. Σ.

Σ. 618. Ἴσχον] Ἴσχον τουτέστιν ἀντεῖχον, οἱ Ἕλληνες δηλαδή. Ε. — ἡ μὲν ἐμβολὴ τῶν βαρβάρων κύμασιν ἀεὶ εἴκασται· ἡ δὲ τῶν Ἑλλήνων καρτερία τῷ τῆς πέτρας ἀκινήτῳ. Σ. Β. — πυργηδόν. (Ἴδ. Μ, 43.).

Σ. 619. Ἠλίβατος] Τὸ δὲ ἠλίβατος οὐ μόνον ἐψίλουν οἱ παλαιοὶ ἀπὸ τοῦ ἀλιτεῖν, ὅ ἐστιν ἀποτυχεῖν καὶ ἁμαρτεῖν τῆς ἐκεῖ βάσεως, ἀλλά τινες καὶ ἐδάσυνον, ἀπὸ τοῦ εἰς τὰ ὑψηλὰ πρῶτα τὸν ἥλιον βαίνειν. Τούτοις δὲ οὐ πείθεται ἡ παράδοσις· συγκέκοπται δὲ ἡ λέξις, ἠλιτόβατος γὰρ ὤφειλεν εἶναι, ὡς ἠλιτόμηνος. Ε. (Ἴδ. Β. Ἀπολλόν. σελ. 331.).

Σ. 620. Λιγέων ἀνέμων] Λιγὸς δὲ οὐ μόνον ἐπὶ ῥήτορος, ὡς τὸ, λιγὺς, ἀγορητής, (Α, 248.), ἀλλὰ καὶ ἁπλῶς ἐπὶ

φωνῆς ὀξείας· ὅθεν καὶ λιγεῖς ἄνεμοι, καὶ μάστιξ λιγυρά. Ε. — Κέλευθα] Τὰς ἐφόδους. Σ. Β.

Σ. 621. Κύματά τε τροφέοντα] Τροφέοντα δὲ κύματα ἢ τροφόεντα, γράφεται γὰρ διχῶς, τὰ μεγάλα καὶ εὐτραφῆ, ἢ τὰ εὐπαγῆ καὶ στερεά. Ε. — Προσερεύγεται] Μετὰ ἤχου φέρεται. Σ.

Σ. 623. Λαμπόμενος πυρί] Περιλαμπόμενος ὑπὸ τῶν ὅπλων, ὡς ὑπὸ πυρός. Σ. Β.

Σ. 625. Λάβρον] Ἀθρόον. Σ. (ἴδ. Β, 148.). — Ἀνεμοτρεφής] Ὃ ἀνέμῳ τρέφεται, ὅ ἐστι πήγνυται, συνίσταται, αὔξεται· ἕτεροι δὲ τὸ εὔτονον λέγουσι. Ε. (ἴδ. Λ, 256.).

Σ. 626. Ἀνέμοιο δὲ δεινὸς ἀήτης] Ἀήτης δὲ ἀνέμου, ἡ πνοή. Ε. — ὅτι ἀρσενικῶς δεινὸς ἀήτη, ἀλλ' οὐ δεινή, ὡς κλυτὸς Ἱπποδάμεια (Β, 742.)· ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι δεινὸς ἀήτης· ἀλλ' οὐ δεῖ γράφειν οὕτως.

Σ. 628. Τυτθόν] Βραχὺ γάρ ἐστι τὸ διεῖργον αὐτοὺς τοῦ θανάτου διάστημα, ὅ ἐστι, παρ' ὀλίγον θνήσκουσι· τὸ τυχὸν γὰρ ἀπέχουσι τοῦ θανάτου. Πρῶτος δὲ εἶπε τοῦτο Ἀνάχαρσις ὁ Σκύθης, ὃς ἐρόμενος τινὰ τῶν ναυτῶν, πόσον ἀπέχομεν τοῦ ὕδατος; καὶ μαθὼν ὡς τέσσαρας δακτύλους, τοσοῦτον, φησι, καὶ τοῦ θανάτου· καὶ Ἄρατος, ὀλίγον δὲ διὰ ξύλον. Σ. Β.

Σ. 629. Ἐδαΐζετο] διεμερίζετο, ἐκόπτετο. Σ.

Σ. 630. Αὐτὰρ ὅγ' — Ἀχαιοί— ἐφόβηθεν] Σημείωσαι δέ, ὅτι οὐκ εὐσύντακτος ἡ τοιαύτη παραβολή, ἀλλὰ δυσαπόδοτος, καὶ καινοπρεπής. Ἀρξάμενος γὰρ ἀπ' εὐθείας, αὐτὰρ ὅγε, ἤγουν ὁ Ἕκτωρ — οὐκ ἀπέδωκε συνήθως, οἷον, ὡς ὁ Ἕκτωρ ἐποίησε τάδε, ἀλλ' ἀνακολούθως πρὸς τοὺς Ἀχαιούς, οὓς εἴκασε φευγούσαις βουσίν, ἐποίησε τὴν ἀπόδοσιν, εἰπών· ὣς τότε Ἀχαιοὶ θεσπεσίως ἐφόβηθεν. — Εἰ δέ τις εἴποι καὶ ἐπίτηδες τῇ τῶν πραγμάτων ἄρτι καινότητι τὴν ποιητικὴν συνεξομοιωθῆναι φράσιν, καὶ δεινωθῆναι πλέον τοῦ συνήθους, ὡς οἷον ἐνθουσιῶντος Ὁμήρου μεγαλοπρεπέστερον, εἴποι ἂν οὐκ ἀπροσφυῶς. Ε. — Βουσὶν ἐπελθών] Τὸ δὲ βουσὶν ἐπελθών· ἀντὶ τοῦ κατὰ βοῶν ἐλθών· μάχιμος ἄρα κἀνταῦθα λέξις τὸ ἐπελθεῖν. Ε.

Σ. 631. Ἕλεος] Ὅ ἐστι συμφύτου καὶ ὑγροῦ τόπου. Σ. — εἰαμενή· ὑγρὸς τόπος, καὶ φυτῶν ἀναδοτικός· — οἱ δὲ παλαιοί φασι καὶ ὅτι ἑαμεναί, λειμῶνες, νομαὶ τεναγώδεις, ὅθεν ἂν ποταμὸς ὑποχωρήσῃ. Ε. — δασυντέον, ἀπὸ τῆς ἕσεως τῶν ὑδάτων. Σ. Β.

Σ. 632. Οὔπω σάφα εἰδώς] Ἤγουν ἐμπείρως εἰδὼς περὶ μάχε-

σθαι, διὰ κυνῶν τυχὸν ἐπαφέσεως, ἢ δαδῶν προέσεως, ὥς φασιν οἱ παλαιοί. Ε.

Σ. 633. Ἕλικος βοός] Ἴδ. Φ, 448. — ἀμφὶ φονῆσιν· περὶ ἀνῃρημένης βοός, ἢ ὑπὲρ τοῦ μὴ ἀναιρεθῆναι. Σ.

Σ. 634. Πρώτῃσι καὶ ὑστατίῃσι] Ἐν πρώταις καὶ ὑστάταις· ὁ δὲ καὶ σύνδεσμος, ἀντὶ τοῦ ἢ διαζευκτικοῦ κεῖται. Σ.

Σ. 635. Ὁμοστιχάει] Ἅμα πορεύεται, συμπαρακολουθεῖ. Σ. — βάρβαρον δέ φησιν εἶναι αὐτὸ Διονύσιος. Σ. Β.

Σ. 639. Κοπρῆος] Οὗτος ὁ Κοπρεὺς ἦν κήρυξ Εὐρυσθέως τοῦ τῶν Ἀργείων βασιλέως, ὃς τὰς παρὰ Εὐρυσθέως ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ τῶν ἄθλων ἕνεκα ἔξωθεν τῆς πόλεως μένοντι· δεδοικὼς γὰρ αὐτὸν οὐκ εἴα ἔνδον εἰσελθεῖν. Σ. Β.

Σ. 640. Ἀγγελίης οἴχνεσκε] Ἤγουν χάριν ἀγγελίας. Ε.

Σ. 642. Ἠμὲν πόδας ἠδὲ μάχεσθαι] Ὅτι τὸ ἠμὲν πόδας ἠδὲ μάχεσθαι ἤγουν ποδῶν καὶ μάχης, ἢ τῆς κατὰ πόδας καὶ τῆς κατὰ τὸ μάχεσθαι εἴδη πολλὰ αἰνίττεται εἶναι ποδῶν καὶ μάχης· τῶν μὲν τὸ ἅλλεσθαι, τὸ θέειν, τὸ ἐξαρκεῖν πεζοποροῦντα, καὶ εἴτι ἄλλο· τῆς δὲ τὸ λοχᾶν, τὸ ἀμφαδὸν ἀντιβαίνειν, τὸ δορατίζειν, τὸ ὀϊστεύειν καὶ τ' ἄλλα. Ε.

Σ. 645. Πάλτο] Ἀντὶ τοῦ προσέκρουσε, προσέπταισε, διὰ τὸ αὐτῆς ποδηνεκές. Ε. — ἐνήλλατο καὶ ἐνεπλάκει τῷ ἔξωθεν τῆς ἀσπίδος κύκλῳ. Σ.

Σ. 651. Ἑταίρου] Ὅτι ἐλλείπει ἡ περί, περὶ ἑταίρου. Ἑλλάνικος δὲ Αἰολικῶς νομίζει τὴν περὶ περ' εἰρῆσθαι. Σ. Β.

Σ. 653. Εἴσωποί] Οἱ Ἀχαιοὶ δηλαδή, ἀντὶ τοῦ ὑποστείλαντες ἑαυτοὺς ὑπὸ τὰς νῆας τὰς πλησίον τοῦ τείχους· ἢ ἐν ὄψει ἔχοντες διὰ τὴν ἧτταν τὰς πρὸς τῷ τείχει νῆας, ἃς εἶχον κατὰ νώτου πρὸ τούτου, ἐγγὺς τοῦ τείχους μαχόμενοι. Ε. — ἐν ὄψει τὰς ναῦς ἔβλεπον, ὅ ἐστιν εἰσῆλθον εἰς αὐτάς, τουτέστιν ὑπὸ τὴν στέγην αὐτῶν ἐγένοντο. Σ.

Σ. 653. Περὶ δ' ἔσχεθον] Ὅ ἐστι κατέσχον αὐτοὺς τοῦ καὶ εἰς πλέον φυγεῖν αἱ λοιπαὶ πρῶται νῆες, ὅσαι πρὸς τῇ θαλάσσῃ ἦσαν. Ε. — περίεσχον, περιεκάλυπτον. Σ. — Ἄκραι] Αἱ πρῶραι. Σ.

Σ. 654. Ἐπέχυντο] Ἐπηνέχθησαν. Σ. — τῶν προτέρων (Εὐστάθ.) ἤγουν τῶν ἐγγὺς τοῦ τείχους, αὐτοῦ δὲ — ἔμειναν ἀθρόοι, μέσοι δηλονότι τῶν τε πρὸς τῇ θαλάσσῃ, ἃς ἄκρας καὶ πρώτας καὶ παρὰ ταῖς κλισίαις φησί, καὶ τῶν πρὸς τῷ τεί-

χει, ὧν εἰσωποὶ ἐγένοντο, ἃς προτέρας λέγει· ἵνα κατὰ νώτου μὲν ἔχωσι τὰς ἐν θαλάσσῃ πρώτας· πρὸ ὀφθαλμῶν δὲ, τὰς ἐν τῷ τείχει προτέρας. Ε.

Σ. 655. Ἐχώρησαν] Ὑπεχώρησαν. Σ.

Σ. 656. Πρωτέων] Γράφεται πρώτων, καὶ προτέρω (ἴσως προτέρων) καὶ πρωτέων. Σ. Β.

Σ. 660. Γουνούμενος] Ἱκετεύων. Σ.

Σ. 664. Ἠμὲν ὅτεῳ ζώουσι] Γονέων ζώντων μὲν, αἰδῶ· τεθνεώτων δὲ μνήμην. Ε.

Σ. 665. Τῶν ὕπερ] Ἀντὶ τοῦ δι' αὐτῶν, ἵνα, φησὶν, οὕτω σπεύδητε, ὡς ἐκείνους ὁρῶντες δεομένους. Σ. Β.

Σ. 668. Ἀχλύος ὦσεν Ἀθήνη] Ἀθηνᾶ, ἡ τοῦ Νέστορος σύνεσις, ἡ προσεχῶς ὀτρύνουσα μένος καὶ θυμὸν ἑκάστου, καὶ ὡς ἐκ σκότους εἰς φῶς τοὺς Ἀχαιοὺς καταστήσασα· ἔστι γὰρ νῦν φῶς ἰδεῖν, τὸ ζῆσαι ἀπαλλαγέντας ἀχλύος, ἣν ἡ τροπὴ ἐπάγει, καὶ ἐλπίδος τοῦ μέλανος θανάτου, καὶ ὡς εἰπεῖν τοῦ σκότου. Ε.

Σ. 669. Φόως] Ἤγουν ἡ διὰ τῆς νίκης σωτηρία. Ε.

Σ. 670. Ἠμὲν πρὸς νηῶν κ.τ.λ.] Ἔδει ἐπαγαγεῖν ἢ δὲ, εἰ μή τί γε ὁ (ἴσ. τὸ) καὶ ἀντὶ αὐτοῦ ἐστιν, ἵν' ᾖ καὶ περὶ τῶν, καὶ περὶ τοῦ πολέμου. Σ. Β.

Σ. 671. Ἐφράσαντο] Ἐθεάσαντο. Σ.

Σ. 676. Νηῶν ἴκρι'] Ἴκρια δὲ νηῶν, τὰ καταστρώματα· οἱ δὲ, τὰ κατὰ πρῶραν καὶ πρύμναν σανιδώματα, ὅπερ καὶ κρεῖττον· —ἄλλοι δὲ ἰκριά φασι τὰ ἐξέχοντα τῶν νηῶν ἄκρα. Ε.

Σ. 677. Νώμα] Νῦν διέφερεν, ἐκίνει. Σ.

Σ. 676. Βλήτροισι] Ἔστι δὲ βλῆτρον ὁ σιδηροῦς κύκλος δι' οὗ τὰ δύο ξυστὰ εἰς ἓν συμβάλλονται δόρυ ναύμαχον. Ε.

Σ. 679. Κελητίζειν] Ὅτι τὴν τοῦ Αἴαντος μεταπήδησιν ἀπὸ νηὸς εἰς νῆα παραβάλλει ἀνδρὸς ἐνεργείᾳ κελητίζοντος διὰ τεσσάρων· — ὅτι δὲ κέλης κυρίως οὐχ ὁ ἐπιβάτης, ἀλλὰ ἵππος, ὅθεν καὶ κέλητι νικᾶν τινες ἐν ἀέθλοις ἐλέγοντο· — δηλοῖ δὲ τὸν ἄζευκτον ἵππον, καὶ κατά τινας, τὸν μονάμπυκα, ὅς νῦν φασι σελλάριος λέγεται. Ε. — ὅτι κέλητα αὐτὸς μὲν οἶδε, χρωμένους δὲ τοὺς ἥρωας οὐ συνίστησι. Τὸ δὲ κελητίζειν, κέλητι ἱππεύειν — ὁ μὲν εἷς οὖν ἐζευγμένος ἵππος· κέλης ὠνόμασται· οἱ δὲ δύο, ἄμιπποι, ὃ καὶ ξυνωρὶς, οἱ δὲ τέσσαρες τέτρωρον καὶ τέθριππον. Σ. Β.

Σ. 680. Πίσυρας] Τέσσαρας. Σ. — ἐκ πολέων συναγείρεται·

НБ ОНУ імені І.І. Мечникова

ἤγουν ἐπιλέγδην συνάγει· εἰ δὲ γράφει συναείρεται, τὸ συζευγνύειν καὶ ὁμοῦ εἴρειν ἡ λέξις δηλοῖ. Ε. — ἀντὶ τοῦ ἐκ πολλῶν τοὺς ἐπιτηδείους οἷον ἀρίστους καὶ ἰσοταχεῖς συναγάγῃ ἐκδεξάμενος· κίνδυνος γὰρ ἐκπεσεῖν μεθαλλομένῳ ἀπὸ ἄλλου εἰς ἄλλον. Σ. Β.

Σ. 681. Σεύας] Ὁρμήσας. Σ. — Δίηται] Γράφεται διώκῃ. Σ. Β.

Σ. 682. Λαοφόρον] Λεωφόρον, δι᾽ ἧς ὁ λεὼς ἔρχεται· ὅ ἐστιν ὁ ὄχλος. Σ. — Θηήσαντο] Μετὰ θαύματος εἶδον. Σ.

Σ. 684. Ἄλλοτ᾽ ἐπ᾽ ἄλλον] Ἐν μέρει ἐπέρχεται· ὅ ἐστιν ἄλλοτ᾽ ἐπ᾽ ἄλλον μεθιζάνει. Σ.

Σ. 687. Σμερδνόν] Φοβερόν. Σ. — Αἰεί] Ἀντὶ τοῦ, συνεχῶς. Σ. Β.

Σ. 690. Αἴθων] Διάπυρος, ὀξὺς ἢ σφοδρὸς κατὰ τὴν πτῆσιν, μέλας. Σ.

Σ. 693. Ἴθυσε νεός] Ἤγουν, κατ᾽ εὐθὺ ὥρμησε. Ε. — Κυανοπρῴροιο] Κυάνῳ τὴν πρῷραν κεχρισμένην. Σ.

Σ. 696. Δριμεῖα μάχη] Τὸ δὲ δριμεῖα μάχη ἐκ μεταφορᾶς εἴρηται τῶν τοιούτων βρωμάτων ἢ φαρμάκων. Ε.

Σ. 697. Φαίης κ᾽ ἀκμῆτας] Ὅτι ὡς πρός τινα διαλέγεται. οὐκ ἔστι δέ· ἀλλ᾽ ἔστι, φαίη τίς ἄν. — Ἀκμῆτας] Μὴ κεκοπτωμένους, ἀπόνους. — Ἀτειρέας] Ἀκαταπονήτους. Σ. — Ὅρα δὲ ὡς ἐλθὼν ὁ ποιητὴς εἰς τὴν τοῦ κινδύνου ἀκμὴν, ἑαυτοῦ ἀκμαιότερος γίνεται τῇ τε φράσει καὶ τοῖς νοήμασι, συνεξομοιούμενος κἀνταῦθα τοῖς πράγμασι. Πάνυ δὲ γενναῖοι οἱ Ἕλληνες, εἴπερ ἀπογνόντες τοῦ ζῆν, οὕτω μάχονται. Ε.

Σ. 700. Ὀλέεσθαι] Οὐ λέγει, ὅτι ἀπεγνωκότες τῆς σωτηρίας ἐμάχοντο, ἀλλ᾽ ὅτι ταύτην εἶχον τὴν διάνοιαν ὡς μέχρι θανάτου μαχησόμενοι (ἴσως μᾶλλον), ἢ φευξόμενοι. Σ. Β.

Σ. 703. Ἐφέςασαν] Τὸ ἐφεστάναι, ἤγουν κατ᾽ ἐχθρῶν ἑςάναι. Ε.

Σ. 705. Ὠκυάλου] Τῆς ταχέως πλεούσης. Ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν μόνην τὴν Πρωτεσιλάου παρέδωκε ναῦν καιομένην· ῥητέον, ὅτι ᾐδέσθη τινὸς τῶν ζώντων ἐμπρῆσαι, μήπως ἀνανδρίαν αὐτοῦ τις δόξῃ καταγιγνώσκειν. Σ.

Σ. 706. Οὐδ᾽ αὖτις ἀπήγαγε] Τοῦτο δὲ οἰκτιζόμενος λέγει. Ε.

Σ. 708. Δῄουν ἀλλήλους] Ἤγουν συνέκοπτον ἀλλήλους. Ε. — Οὐδ᾽ ἄρα τοί γε] Ὅρα τὴν φράσιν τῆς κινδυνώδους ἀκμαίας μάχης, ἣν οὐκ ἂν φράσαιεν κάλλιον, οὐδ᾽ εἰ πάντες ῥήτορες εἰς ἓν συνελθόντες μελετήσαιεν. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 709. Ἀϊκάς] Διώξεις, ὁρμάς. Σ. —Ἀπὸ τοῦ ἀΐσσειν· τόξων δὲ, τῶν τοξευμάτων· ἀμφὶς δὲ, χωρὶς ἀλλήλων, ἢ ἀντὶ τοῦ περιέμενον, ὡς Κρόνον ἀμφὶς ἐόντες. Σ. Β.

Σ. 712. Ἀμφιγύοισι] Ἴδ. Ν, 147.

Σ. 713. Μελάνδετα] Μελάνδετα δὲ, ἢ τὰ σιδηρόδετα, μέλας γὰρ κατ᾽ ἐπικράτειαν ἐπιθετικὴν ὁ σίδηρος· ἢ τὰ ἐνδεδεμένα ἐπιμελῶς κατὰ τὴν λαβήν· ἢ τὰ ἔχοντα μελαίνας λαβάς. Ε.

Σ. 714. Ἄλλα μέν] Σὺν ταῖς χερσὶν ἀποκοπτόμενα, ἄλλα δὲ σὺν ὤμοις· γελοῖον γὰρ τὸ οἴεσθαι, ἀπὸ τῶν ὤμων ἐκπίπτειν τὰς μαχαίρας. Σ. Β.

Σ. 717. Ἄφλαστον] Ἄφλαστον δέ φασιν, οὐχὶ τὸ ἀκροστόλιον, διαφέρουσι γὰρ αἱ λέξεις, ἀλλὰ κατὰ Δίδυμον, ὥς φησι Παυσανίας, τὸ ἐπὶ πρύμνης ἀνατεταμένον εἰς ὕψος ἐκ κανονίων πλατέων ἐπικεκαμμένων, διήκοντος δι᾽ αὐτῶν (αὐτοῦ Σ. Β.) πλατέος κανονίου (θρανίτου μὲν ὠνομασμένου, ὑπερειςμένῳ δὲ τῷ στυλίσκῳ τῷ ὄπισθεν. Σ. Β.), ὑπηρεισμένου τούτῳ στυλίσκου ὄπισθεν τοῦ κυβερνήτου. Κρεμάννυται δ᾽ ἐκ τῶν κανονίων, καὶ τοῦ θρανίου, ταινία (κρέμανται δὲ ἐκ τῶν κανονίων καὶ τοῦ θρανίτου τὰ ἡνία. Σ. Β.), εἰς παράσημον δηλαδὴ τῆς νηός.—Ἀκροστόλιον δέ φασι, τὸ ἀπὸ τῆς πτυχῆς ἀνατεῖνον ξύλον ἐπὶ τὴν πρώραν· — πτυχὴ δέ ἐστιν, ὅπου οἵτε ὀφθαλμοὶ ζωγραφοῦνται, καὶ τὸ τῆς νεὼς ὄνομα ἐπιγράφεται. Ε.— τινὲς δὲ τὸ ἄφλαστον ἐπιῤῥηματικῶς γράφουσιν, ἵν᾽ ᾖ τὸ ἄμφω ταῖς χερσὶν ἐπεστραμμένως ἐπειλῆφθαι τῆς νεός. Σ. Β.

Σ. 719. Πάντων—ἄξιον] Τὸ δὲ πάντων ἄξιον ἀντὶ τοῦ ἰσόῤῥοπον τῶν προλαβόντων πόνων δηλαδὴ ἢ ἡμάτων· σαφέστερον δὲ αὐτοῦ τὸ ἀντάξιον. Ε.

Σ. 720. Θεῶν ἀέκητι] Ἄδηλον, πότερον παρὰ γνώμην θεῶν μολοῦσαι, ἢ ἡμῖν πήματα θέσαν θεῶν ἀέκητι. Σ. Β.

Σ. 721. Κακότητι γερόντων] Δειλίᾳ. Ε. — ἀβουλίᾳ· τὸ δὲ ἴδιον ἀσθενὲς τοῖς γέρουσι περιάπτει· οὐ γὰρ ἤθελον ἐξιέναι δι᾽ Ἀχιλλέα. Σ. Β.

Σ. 723. Ἰσχανάασκον] Κατεῖχον, ἐκώλυον. Σ.

Σ. 728. Ἀνεχάζετο τυτθόν] Ὅρα, ὅτι οὐ προτροπάδην ἔφυγε.

Σ. 729. Θρῆνυν] Ὑποπόδιον· θρῆνυν δὲ βέλτιον καλεῖσθαι ὑπὸ Ὁμήρου τὰς καθέδρας τῶν ἐρετῶν· ἀναχωρῶν γὰρ ἀπὸ τῆς νεὼς κατὰ τῶν στρωμάτων ἐπὶ ταύτας ἀφικνεῖται· τινὲς δὲ, τόπον τῆς νεὼς βάσιν ἔχοντα, ἐφ᾽ οὗ τὸν κυβερνήτην τοὺς πόδας τιθέναι, ὃ καὶ ἑδώλιόν φασιν· ἄλλοι δὲ τὴν ὑποδεχομέ-

НБ ОНУ імені І.І. Мечникова

νην τὸν ἱστὸν τράπεζαν εἶπον, οἱ δὲ διαβάθραν ἀπὸ νεὼς εἰς νῆα. Σ. Β.

Σ. 730. Δεδοκημένος] Τὸ δὲ δεδοκημένος, κυνηγετικὴ κυρίως λέξις, ὅτε ζῶον ἐπιὸν δέχονταί τινες· ὅθεν καὶ προδοκὴ, στένος τόπος τοιούτῳ ἔργῳ ἐπιτήδειος. Ε. — ὅτι παθητικῶς δεδοκημένος, ἀντὶ τοῦ δοκεύων, ἐπιτηρῶν. Σ. Β.

Σ. 735. Ἀοσσητῆρας] Ἴδ. Χ, 333.

Σ. 738. Ἀπαμυναίμεσθα] Δι' ἧς ἀμυνοίμεθα τοὺς πολεμίους. Σ. — Ἑτεραλκέα δῆμον λέγει, ὡς καὶ νίκην ἑτεραλκέα, ὃς δηλαδὴ ἀκμῆς ἐπελθὼν καὶ ἐπικουρῶν, θατέρῳ μέρει ἀλκὴν δίδωσι, ἢ γοργότερον εἰπεῖν, ὁ θατέρῳ μέρει ἀλαλκών. Ε. — Δυνάμενον ὄχλον ἐν μέρει πρὸς τὰ κατεπείγοντα βοηθεῖν τοῖς κατεπτοημένοις. Σ. — ἑτεραλκούμενον ἔχοντες τὸν ἴδιον δῆμον· οἱ δὲ, τὸν ἀπὸ τῆς πόλεως δῆμον ἔχοντες, ἑτέραν ἡμῖν ἀλκὴν περιποιοῦντα· πάντα δὲ εἰρηνικῶς. Σ. Β.

Σ. 740. Πόντῳ κεκλιμένοι] Οὐ εἴη ἂν ὄφελος οὐδὲν, εἴπερ αἱ νῆες καυθῶσι· τότε γὰρ ὡς καὶ ὁ Ἀχιλλεὺς ἐρεῖ, οὐκέτι φυκτὰ πέλονται. — Ἰστέον δὲ, ὅτι τὸ κεκλιμένοι καὶ τὸ ἥμεθα, ἔχουσί τι καὶ ὀνειδισμοῦ· ὡς ἀπρακτούντων τῶν Ἀχαιῶν ἐκεῖσε κατὰ τοὺς εἴτε κεκλιμένους εἴτε καθημένους. Ε. — παρακεκλιμένοι τῇ θαλάσσῃ, περιεχόμενον. Σ. — προσερηρεισμένοι καὶ προσανακείμενοι. Σ. Β. (ἴδ. Ε, 709).

Σ 741. Τῷ ἐν χερσὶ φόως κ. τ. λ.] Διὸ ἐν ταῖς χερσὶν ἡμῶν καὶ τῷ μάχεσθαι, ἡ σωτηρία· οὐ γὰρ ἐν τῷ μειλιχίους ἡμᾶς καὶ πράους εἶναι τοῖς πολεμίοις· ὅ ἐστιν· οὔτις περὶ τὸν πόλεμον φιλανθρωπινία· τὸ δὲ ἑξῆς, οὐχ ἡ προσήνεια πολέμου οἰκεία, ἀλλ' εἰρήνης· ἢ ἐπὶ δοτικῆς πτώσεως, οὐκ ἐν τῷ πολεμεῖν προσηνῶς ἡ ἐπιφάνεια τῆς σωτηρίας, ἀλλ' ἐν ταῖς χερσὶν ἡμῶν. Σ.

Σ. 744. Χάριν Ἕκτορος] Ἀντὶ τοῦ πρὸς χάριν· ὃ ταὐτόν ἐστι τῷ χαριζομένους τῷ Ἕκτορι. Ἔνθα σημείωσαι, ὡς οὐκ ἀεὶ ταὐτὸν τὸ χάριν καὶ τὸ ἕνεκεν· ἀλλ' εἰ καὶ ἀμφότερα αἰτιολογικά εἰσιν, ὅμως τὸ μὲν χάριν ἐπὶ τῶν χάριτος ἕνεκεν γινομένων τίθεται· οἷον Ἀχιλλεὺς χάριν Μενελάου ἐστράτευσε· αὐτὸ δὲ τὸ ἕνεκεν, ἐπὶ τῶν ἁπλῶς διά τι· οἷον Ἕλληνες ἕνεκεν τῆς Ἀλεξάνδρου ὕβρεως ἔπλευσαν εἰς Τροίαν.

Σ. 745. Δεδεγμένος] Ἐκδεχόμενος, ἐπιτηρῶν. Σ,

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

## ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Π.

Σ. 1. Ἐϋσσέλμοιο] Ἔστι δέ, φασι, σέλμα τὸ μεταξὺ τῶν τοίχων τῆς νεώς, ὃ καὶ ζυγὸς, καὶ σελὶς καλεῖται, καθέδρα ὂν ἐρέτου. Ε. (ἴδ. Β, 170).

Σ. 3. Μελάνυδρος] Βαθεῖα, σκοτεινή· τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος· τὰ δὲ ἐξ ἐπιπολῆς ὕδατα λευκὰ, καθότι πλέον ταῖς τοῦ ἡλίου ἀκτῖσι καταυγάζεται. Σ. Β.

Σ. 4. Αἰγίλιπος] Ἴδ. Β, 633.— Δνοφερόν] Μέλαν. Σ.

Σ. 5. Ὤκτειρε] Οἶκτον δηλονότι λαβὼν, οἷα χαίρων τῷ ὁμοίῳ, φιλόδακρυς γὰρ καὶ αὐτὸς, ὡς καὶ ἐν τῇ ͞α ῥαψῳδίᾳ φαίνεται. καὶ ὕστερον ἐν τοῖς κατὰ τὸν Πάτροκλον· διὸ καὶ ἀγαθός ἐστιν ὁ ἥρως· κατὰ γὰρ τὴν παροιμίαν, ἀγαθοὶ ἀριδάκρυες ἄνδρες.

Σ. 8. Ἀνελέσθαι] Ἀναλαβεῖν, βαστάσαι. Σ. —Προσυπακουστέον τῷ μητρὶ τὸ βαδιζούσῃ, ὅπως συνεξανύῃ θέουσα ἡ κόρη· καλῶς δὲ τὸ ἀνώγει· αἱ γὰρ τῶν βρεφῶν ἀξιώσεις τοῖς κελεύσμασιν ἐοίκασιν. Σ. Β.

Σ. 9. Εἰανοῦ] Ἴδ. Ε, 734. καὶ Φ, 507. — ὅτι ἑανὸς καὶ πέπλος, τὸ ἔνδυμα. Σ. Β. —τοῦ πέπλου· πέπλος ὡς ἐπιπολὺ τὸ γυναικεῖον ἱμάτιον, τὸ δὲ ἀνδρεῖον, χιτών. Σ.

Σ. 11. Τέρεν] Νῦν ὑγρόν. — Εἴβεις] Στάζεις, προχέεις. Σ.

Σ. 12. Πιφαύσκεαι] Προορᾷς, προσημαίνεις· εἰρωνευόμενος δὲ ταῦτά φησι· ἐπίσταται γὰρ, περὶ οὗ κλαίει, καὶ τελευταῖον τοῦτο ἐπιφέρει, ἠὲ σύγ' Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 14. Μενοίτιον, Ἄκτορος υἱόν] Αἰακὸς ὁ Διὸς καὶ Αἰγίνης, γήμας Ἐνδηΐδα τὴν Χείρωνος θυγατέρα, ἔσχε δύο παῖδας, Πηλέα καὶ Τελαμῶνα. Μιγεὶς δὲ καὶ Ψαμμάθῃ τῇ Νηρέως, γεννᾷ Φῶκον. Τοῦτον Πηλεὺς ἀποκτείνας, ἔφυγεν εἰς Μαγνησίαν τῆς Θετταλίας πρὸς Χείρωνα. Τελαμὼν δὲ ἐν τῷ λόχῳ τοῦ Καλυδονίου συὸς ἀνελὼν ἀκουσίως καὶ αὐτὸς ἕνα τῶν συγκυνηγούντων, ἔφυγεν εἰς Σαλαμῖνα, καὶ γήμας Ἐρίβοιαν, τὴν Ἀλθάκου, ἐγέννησεν Αἴαντα. Μενοίτιος δὲ ἀποικίσας εἰς Ὠποῦντα, Πάτροκλον ἐτέκνωσεν. Ὁ δὲ ἀποκτείνας καὶ αὐτὸς ἀκουσίως Ἀμφιδάμαντος παῖδα Κλησώνυμον, καὶ ἐπὶ τούτῳ φυγὼν εἰς Φθίαν πρὸς Πηλέα κατὰ συγγένειαν ἐπέμφθη παρ' αὐτοῦ πρὸς Χείρωνα, ὃς αὐτὸν μετ' Ἀχιλλέως ἀνέθρεψεν· ἡ ἱστορία παρὰ Φιλοστεφάνῳ. Σ. (ἴδ. Ἀπολλόδ. σελ. 773).

Σ. 17. Ἀργείων] Ἤγουν ὑπὲρ Ἀργείων. Ε. —ἠθικῶς πάνυ καὶ ἐπὶ τοῦτο ἧκε τελευταῖον, καί τοι γε ἀκριβῶς εἰδὼς τὴν πρόφασιν τῶν δακρύων. Ἅμα δὲ καὶ ὡς ἤδη μετατεθεὶς εἰς γνώμην, εἰς τοὺς περὶ Ἑλλήνων προκαλεῖται λόγους· διὰ τοῦτο γὰρ αὐτὸν καὶ ἀπεστάλκει πρὸς Νέστορα. Σ. Β.

Σ. 18. Ὑπερβασίης ἕνεκα σφῆς] Τῆς παραβάσεως τοῦ δικαίου· λεληθότως δὲ ὑπεραπολογεῖται, αἰδοῖ τοῦ ὡς ἀδικηθεὶς ὤργισται. Σ. Β.

Σ. 20. Πατρόκλεις] Ὅτι Πάτροκλος ἐπὶ θηλύτητι ὀνειδισθεὶς διά τι δαψιλὲς δάκρυον, πρῶτον μὲν κολακεύων σεμνύνει τὸν Ἀχιλλέα· — εἶτα συγγνώμην αἰτήσας καὶ εἰπών, μὴ νεμέσα, τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς, καὶ τὰ ἑξῆς, δι' ὧν ἡ πάνυ τοῦ ἄχους βία διαδείκνυται, τότε δὴ τραχύνεται, καὶ ἀναλαβὼν θυμόν, ἀντονειδίζει τῷ Ἀχιλλεῖ, οὐκέτι δάκρυα χέων, ἀλλὰ βαρυστενάχων· σὺ δ' ἀμήχανος ἔπλευ Ἀχιλλεῦ· καὶ ἐπάγει μετ' ἐνδιαθέτου εὐχῆς, μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις· — εἶτα δριμέως ἐπαινῶν τε ἅμα καὶ ψέγων τὸν Ἀχιλλέα φησίν· αἰναρέτη! τίς σευ ἄλλος κ. τ. λ. Ε.

Σ. 22. Μὴ νεμέσα] Λείπει τὸ δεδακρυμένῳ· — εὐλόγως γὰρ ἐπὶ τοῖς Ἑλληνικοῖς ἀτυχήμασι τοῦτο πράττω. Σ. Β.

Σ. 25. Διομήδης] Ἐπαινεῖται τῆς τάξεως. Τὸν μὲν γὰρ βασιλέα οὔτε προτάττει τῶν ἄλλων, μήποτε καὶ χαλεπήνας ὁ Ἀχιλλεὺς ἅμα τῇ τοῦ ἐχθροῦ μνήμῃ πρόηται τὴν ἔντευξιν. Ἀλλ' οὐδ' ἔσχατον τίθησι· δέος γὰρ καὶ οὕτω, μὴ τῇ τοῦ ὀνόματος προφορᾷ τελευταίᾳ κειμένῃ καὶ ἐναύλῳ οὔσῃ, ἀνανεύσῃ

πρὸς τὸ παρόν. Ὅθεν μέσην αὐτῷ δίδωσι τάξιν, ἐκκρούων τὴν μνήμην, καὶ ἀμβλύνων τὸ μῖσος, διὰ τῶν ἑκατέρωθεν, καὶ μάλιστα διὰ τῆς ἄγαν βραχυλογίας. Οὐ γὰρ πολλὰς λέξεις ἐπὶ τῷ βασιλεῖ, καθὰ καὶ ἐπὶ τοῖς ἄλλοις, ἐδαπάνησεν· ἀλλὰ φειδωλῶς οὕτως ἐπέδραμεν, ἠδ' Ἀγαμέμνων. Ε. — Βέβληται] Ἀντὶ τοῦ ἐκ βολῆς τέτρωται. Σ. — Δαιμονίως δὲ ἐπαιρεῖ τὸν Ἀχιλλέα, τὴν πᾶσαν σωτηρίαν τῶν Ἑλλήνων αὐτῷ ἀνατιθεὶς, καὶ διδάσκων, ὅτι οὐδὲν ὤνησαν τοὺς Ἀχαιοὺς οἱ ἄλλοι ἀριστεῖς, ἀλλὰ κεῖνται τετρωμένοι. Σ. Β.

Σ. 29. Ἀμήχανος] Ὅτι νῦν ἀμήχανος, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι· οὐκ αὐτὸς μὴ δυνάμενος μηχανήσασθαι. Σ. Β. — ὁ δυσπειθὴς καὶ ἀνάλωτος ἱκετείαις, ὡς ἐκ μεταφορᾶς τῶν μηχαναῖς δυσαναλώτων φρουρίων· ἐν ἄλλοις δὲ χωρίοις καὶ ἐπὶ ἁπλότητος ἡ λέξις κεῖται· ἔτι δὲ καὶ τὸ ἀνάπαλιν, ἐπὶ κακομηχανίας. Ε.

Σ. 30. Φυλάσσεις] Χόλος φυλασσόμενος κότος καὶ μῆνις ἐστί. Ε.

Σ. 31. Αἰναρέτη] Ἔχει ἡ λέξις ἔπαινον ὁμοῦ καὶ ψόγον, ἐξ ἀμφοῖν κεκραμένη· ὅτι μὲν γὰρ ἔχει ἀρετὴν, ὁμολογεῖ· ὅτι δ' οὐκ ἐπ' ἀγαθῷ τῶν φίλων, διαβάλλει. — Σύνηθες δέ φασι· Ὁμήρῳ τε καὶ ἄλλοις, τὸ αἰνὸν συντιθέναι, οἷον, αἰνόπαρις, αἰνελένη· οὕτω καὶ αἰναρέτης, ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων. Ε. — Ὀψίγονός περ] Ὁ μετὰ πολὺν χρόνον ἐσόμενος, μεταγενέστερος. Σ.

Σ. 34. Γλαυκὴ — θάλασσα] Ἡ γλαυκοειδής· τοῦτο δέ φησι διὰ τὸ τῆς θαλάσσης ἐπικίνδυνον, καὶ ἀνηλεὲς, καὶ τῶν πετρῶν τὸ σκληρόν. Σ.

Σ. 36. Ἀλεείνεις] Ἐρεθιστικῶς ταῦτα τῷ φιλοδόξῳ φησὶ, πρὸς ὃ μάλιστα δηχθεὶς ἀπολογεῖται, ὡς οὐ δέει θανάτου τὸ λειποτάξιον πεποίηται. Σ. Β.

Σ. 38. Ὄπασσον] Παράσχου, δός. Σ.

Σ. 39. Φόως] Φῶς δὲ καὶ ἐνταῦθα τὴν νίκην λέγει. Ε.

Σ. 41. Ἴσκοντες] Τουτέστιν εἴπως με σοὶ ἀπεικάζοντες ἀπόσχωνται κ. τ. λ. — ὁμοιοῦντες· — καλῶς δὲ καὶ λίαν ἐντέχνως ὀνειδίσας δειλίαν, ἐγγὺς τέθεικε τὸ τῆς ὑπεροχῆς, εἰ καὶ μόνη φαντασία Ἀχιλλέως ἱκανὴ τρέψασθαι τοὺς πολεμίους. Σ. Β.

Σ. 42. Ἀναπνεύσωσι] Ἀναπνέειν δὲ κἀνταῦθα τὸ ἐκ λειποψυχίας αὖθις πνέειν. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 43. Ἀνάπνευσις] Προσληπτέον τὸ ἐστίν. Σ. — Ὀλίγη] Τὸ δὲ ὀλίγην· εἶναι ἀνάπνευσιν ἐν δεινῷ πολέμῳ, καὶ τὸ τοὺς ἀκμῆτας ςρατιώτας ῥᾷον δύνασθαι τρέπειν τοὺς ἐν μάχῃ καμόντας, δύναται οὐ μόνον πρὸς τὰ παρόντα λελέχθαι, ἀλλὰ καὶ γνωμικῶς εἰρῆσθαι. Ε.

Σ. 44. Ἀκμῆτες] Ἴδ. Ο, 697.

Σ. 46. Μέγα νήπιος] Ὅτι μέγα νήπιος ὁ Πάτροκλος ἀναφωνητικῶς παρὰ τοῦ ποιητοῦ καλεῖται, ἐφ' οἷς ἱκέτευε· διατί, ἡ γὰρ ἔμελλέ φησιν οἷ αὐτῷ, τουτέστιν, ἑαυτῷ θάνατόν τε καὶ κῆρα λιτέσθαι, ἤγουν, λιτανεῦσαι. Ε. — ὡς ἀνεννόητος τῶν μελλόντων. Σ. Β.

Σ. 50. Ἐμπάζομαι] Ἐπιςρέφομαι. Σ. — πρὸς δὲ τὸν Πάτροκλον καὶ εὔλογος ἡ ἀγανάκτησις, ὅτι ὡς ἀγνοῶν τὴν αἰτίαν τῆς μήνιδος Ἀχιλλέως ταῦτα ἔφη· ὅθεν καὶ ἄνωθεν διηγεῖται τὸ γνωριμώτερον, ἐξελέγχων αὐτὸν, ὅτι τὴν αἰτίαν εἰδὼς τῆς ὀργῆς, ἄλλας ὑπονοίας ἐκόμιζε, μὴ οὔσας ἱκανάς. Σ.

Σ. 53. Ἀμέρσαι] Ἀντὶ τοῦ μερίδος στερῆσαι· ὃ καὶ ἑρμηνεύων ἐπήγαγε τὸ, γέρας ἔμπαλιν ἀφελέσθαι· ἵνα διαστείλῃ, πρὸς τὸ ἀμέρδειν, ὃ ἐπί τε τυφλότητος λέγεται, ὡς τὸ, ὀφθαλμῶν μὲν ἄμερσε· καὶ ἐπὶ σκοτώσεως, ἤτοι ζοφώσεως· οἷον, ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείη. Ε.

Σ. 54. Ὅτε] Τὸ δὲ ὅτε, ἀντὶ τοῦ ἐπεί· ἢ ἀντὶ τοῦ ὅστε, ἵν' ᾖ, ὁππότ' ἀνὴρ, ὅστε κράτεϊ προβεβήκει, τὸν ὅμοιον θέλησιν ἀμέρσαι· προβέβηκε δὲ, προὔχει τῶν ἄλλων, κράτεϊ δὲ, τῇ ἀρχῇ, τῇ βασιλείᾳ. Σ. Β.

Σ. 56. Ἔξελον] Ὡς ἐξαίρετον ἔδωκαν. Σ.

Σ. 57. Κτεάτισσα] Ἐκτησάμην. Σ.

Σ. 59. Μετανάστην] Ὅτι δὲ μετανάστης κυρίως ὁ μετὰ τὸ γεννηθῆναί που ἀναστατωθεὶς ἐκεῖθεν, οὐκ ἂν ῥηθείη ἀφυῶς. Ε. — μέτοικον, φυγάδα· μέτοικοι δὲ λέγονται οἱ καταλιπόντες τὴν ἰδίαν πόλιν, καὶ ἄλλην οἰκοῦντες. Σ. — ἐδόκεον δὲ ἀτιμότεροι εἶναι οἱ μέτοικοι, ὡς διὰ μοχθηρίαν τρόπων, τὰς ἰδίας ἐῶντες. Σ. Β.

Σ. 60. Προτετύχθαι] Προγεγονέναι, συμβάντα. Σ. — Οὐδ' ἄρα περ ἦν] Οὐδαμῶς δυνατὸν ἦν. Σ.

Σ. 61. Ἀσπερχές] Ἀδιαλείπτως, ἄγαν ἐπιτεταμένως, ἀμετάβλητι. Σ. Β. — Ἤτοι ἔφην γε] Καί τοι ἐλογισάμην. Σ.

Σ. 66. Νέφος] Ἴδ. Δ, 274.

Σ. 68. Κεκλίαται] Ἴδ. Ο, 740.

Σ. 69. Πόλις] Τὸ πλῆθος τῶν Τρώων. Σ. — σημείωσαι δὲ καὶ ὅτι τὸ ἀμφιβαίνειν μὲν οὐ τὸ σύνηθες, ἀλλὰ δι' οὗ δηλοῦται τὸ κύκλῳ βαίνει καὶ περιέχει, νέφει οἰκεῖον· οὕτω γὰρ καὶ ἥλιος ἀμφιβαίνει· τῇ δὲ πόλει τὸ ἐπιβαίνειν, ἤγουν ἐπικεῖσθαι, οἰκειοτερον. Ε.

Σ. 70. Μέτωπον] Οὐκ ἐξέκλινον δὲ οἱ παλαιοὶ τὸ αὐτοέπαινον· μεγαλοφυῶς δὲ φθέγγεται· οὐ γὰρ ἔφη ὅτι δεδοίκασι μαχόμενον, ἀλλ' ὡς μηδὲ τὴν αὐγὴν τῶν ὅπλων αὐτοῦ ὑφισταμένων τῶν βαρβάρων. Σ. Β.

Σ. 71. Ἐναύλους] Ἔναυλοι δὲ, τὰ ἐν τοῖς πεδίοις κοιλώματα, καὶ αἱ ςεναὶ διώρυχες· ἢ αἱ περὶ τὴν τάφρον τόποι· παρὰ τὸν στενὸν καὶ ἐπιμήκη αὐλόν. Ε. (Ἴδ. Φ, 283. — διὰ δὲ τούτου προκατασκευάζει ὁ ποιητὴς τὴν παρὰ τῷ ποταμῷ μάχην τὴν ἐναρῆ (ἀνάγνωθ. ἐν τῇ) Σ. Β.

Σ. 73. Ἤπια εἰδείη] Εἰδὼς ἦν· οὐ γὰρ εἰς φιλίαν αὐτὸν προσκαλεῖται· καλῶς δὲ ἔφρασε τὸ εὐνοεῖν. Σ. Β.

Σ. 74. Οὐ γὰρ Τυδείδεω] Οὐκ ἔτι γὰρ ἀριστεύει κατὰ τὸν πόλεμον ὁ Διομήδης πρὸς τὸ ἀποτρέψαι τὰ κακὰ τῶν Ἑλλήνων. Σ. — ὅτι ἔοικεν ἀκηκοότι τὰ εἰρημένα ὑπὸ Διομήδους μετὰ τὴν πρεσβείαν. Σ. Β.

Σ. 75. Μαίνεται] Δαιμονίως ἐνεργεῖ, ἐνθουσιᾷ. Σ.

Σ. 78. Περιάγνυται] Περιῤῥήγνυται· ἐξ οὗ περιηχεῖ. Σ. — ἡ αὐδὴ δηλαδή· ληφθεῖσα κατὰ κοινοῦ ἐκ τῆς αὐδήσαντος μετοχῆς. Ε.

Σ. 81. Ἔμπεσ' ἐπικρατέως] Τουτέστι γενναίως πρόσβαλε τοῖς ἐχθροῖς. Ε.

Σ. 86. Ἀψ ἀπονάσσωσιν] Ἀντὶ τοῦ ἀποστρέψωσιν. Ε. — εἰς τοὐπίσω ἀποκαταστήσωσιν, ἀποδώσωσιν. Σ.

Σ. 87. Ἰέναι πάλιν] Ἀντὶ τοῦ ἴθι, καὶ παραγίγνου. Σ.

Σ. 89. Λιλαίεσθαι] Προθυμεῖσθαι. Σ.

Σ. 90. Ἀτιμότερον] Ὡς μόνος αὐτὸς ἀνύσας τὸ πᾶν δίχα ἐμοῦ, καὶ ζημιώσεις δὲ δηλαδή. Ε.

Σ. 94. Ἐμβήῃ] Τὸ δὲ ἐμβήῃ οὐ μακρὰν μέν ἐστι τοῦ ἐμπέσῃ, ὃ πρὸ μικροῦ ἐῤῥέθη, δηλοῖ δὲ μάλιστα τὸ ἐνάλλεσθαι. Ε. — Κατέλθοι] Ὃ ἐςιν ἐμποδὼν στῇ, ἐμποδίσῃ. Σ.

Σ. 99. Ἐκδῦμεν] Διαφύγοιμεν· ἀπαρέμφατόν ἐστιν, ἵν' ᾖ ἡμῖν τὸν ὄλεθρον ἐκδῦναι γένοιτο. Σ. — ἢ ἀγανακτῶν ὑπερβαλλόντως

НБ ОНУ імені І.І. Мечникова

τοιαῦτά φησιν Ἀχιλλεύς· ἢ καὶ ἄλλως ἀφελῶς λαλῶν, ὁποῖα τὰ τῶν φίλων· ἐν γὰρ ὁμιλίαις φιλικαῖς πολλὰ πρὸς ἀφέλειαν λαλοῦντα. Ε.

Σ. 100. Κρήδεμνα] Κρήδεμνα δὲ Τροίας, τὰ ἄνω τοῦ τείχους· ὡς καὶ πίθου κρήδεμνον ἐν Ὀδυσσείᾳ, τὸ ἐπικείμενον πῶμα. Ε. — Νῦν τὰ τείχη μεταφορικῶς· ἰδίως γὰρ κρήδεμνον καλεῖται τὸ τῆς κεφαλῆς κάλυμμα. Σ.

Σ. 102. Ἔμιμνε] Ὅρα δὲ, ὅτι οὐκ εἶπε ῥητῶς ὡς ἔφυγεν ὁ Αἴας, ἀλλὰ σεμνῶς ἔφη, Αἴας δ' οὐκ ἔτ' ἔμιμνεν· εἶτα καὶ ἐπὶ πλέον σεμνύνων τὸν ἥρωα τῷ αἰτίῳ τοῦ μὴ μένειν, ἐπήγαγε· δάμνα μιν Ζηνός τε καὶ νόος καὶ ἑξῆς. Ἰστέον δὲ καὶ ὅτι τὸ, δάμνα μιν θεοῦ τε νόος καὶ οἱ δεῖνα ἀγαυοὶ, προσαρμόσσει παντὶ ὑπὸ πολλῶν καινῶς κινδυνεύοντι. Ε.

Σ. 106. Φάλαρ'] Φάλαρα δὲ εἰσὶ τὰ κατὰ τὸ μέσον τῆς περικεφαλαίας μικρὰ ἀσπιδίσκια, ἅτινα κόσμου χάριν ἐντίθενται. Σ. — Φάλαρα δὲ καὶ νῦν οἱ λεγόμενοι φάλοι· — παρὰ δὲ τοῖς ὕστερον, φάλαρα καὶ κόσμος ἵππου προμετωπίδιος, οὗ χρῆσις πολλαχοῦ καὶ διὰ τοῦ ἦτα. Ε.

Σ. 107. Ἔμπεδον] Οὐ τὸ ἐν πέδῳ τουτέστιν ἐν γῇ, ὡς ἡ κυριολεξία ἐθέλει, ἀλλ' ἁπλῶς κατὰ τροπὴν, ἀντὶ τοῦ στεῤῥῶς κατὰ ἔννοιαν ἐπιῤῥηματικήν. Ε. — Αἰόλον] Νῦν ποικίλον. Σ.

Σ. 108. Ἀμφ' αὐτῷ] Ἤγουν κύκλῳ αὐτοῦ ἀνθιστάμενοι. Ε. — Ἐρείδοντες] Ὠθοῦντες. Σ. — Πελεμίξαι] Τὸ πελεμίζειν, τὸ μετακινεῖν δηλοῖ. Ε. (ἴδ. Φ, 176).

Σ. 109. Ἄσθματι] Τῇ πολλῇ ἀναπνοῇ. Σ. — Ἆσθμα· τὸ ἀλγεινὸν καὶ δύσεργον καὶ μὴ κατὰ φύσιν εἰσοδεῦον καὶ ἐξοδεῦον. Ε.

Σ. 111. Ἐστήρικτο] Πανταχόθεν δὲ αὐτὸν περιεστοίχησαν τὰ κακά. Σ.

Σ. 112. Ἔσπετε νῦν μοι Μοῦσαι] (ἴδ. Α, 1, σελ. 12.) — ὡς παράδοξον μέλλων λέγειν τὴν ὑποχώρησιν Αἴαντος τὸν ἀκροατὴν προσεκτικώτερον ποιεῖ τοῖς παρὰ Μουσῶν λόγοις. Σ. Β.

Σ. 115. Παρὰ καυλόν] Οὐ συντακτέον μετὰ τῆς αἰχμῆς· οὐ γὰρ λέγοι ἂν, αἰχμῆς καυλὸν, ἀλλ' ὑπερβατῶς ῥητέον, ὡς ἔπληξε τὸ δόρυ παρὰ καυλὸν, ὄπισθεν τῆς αἰχμῆς· ἵνα εἴη κατὰ κυριολεξίαν καυλὸς δόρατος, ὁ τῷ σιδήρῳ τῆς ἐπιδορατίδος ἐνιέμενος. Ε. (ἴδ. Ν, 162).

Σ. 116. Ἀπάραξε] Τοῦ δὲ ἀπάραξεν οὐκ ἔχει καιριωτέραν



НБ ОНУ імені І. І. Мечникова

λέξιν εἰπεῖν ἐπὶ τῶν τοιούτων πληγῶν· δηλοῖ γὰρ τὸ ἰσχυρῶς καὶ ἀθρόον ἀποκόψαι καὶ κρατερῶς. Ε.

Σ. 117. Πῆλεν] Ἐκράδαινεν, ἔσειε. — Κόλον] Κολοβὸν, ἐστερημένον αἰχμῆς. Σ. — ἐκράδαινε πρὸς τὸ διαγνῶναι εἰ τέλεον ἠχρήστωται· διασώσαντος δὲ αὐτοῦ, ἀπέῤῥιπται ἡ αἰχμή· — οἱ δὲ, τὸ τῆλε δὲ, ἀντὶ τοῦ γὰρ τόνδε. Σ. Β.

Σ. 120. Ἔργα θεῶν] Τὸ δὲ ἔργα θεῶν, διασαφεῖται μὲν εὐθὺς, ἐξαιρεῖται δὲ δειλίας τὸν Αἴαντα· οὐ γὰρ τὸν Ἕκτορα ἐῤῥίγησεν ἀλλὰ τὰ θεῖα ἔργα. Ε. — Κεῖρε] Ἀντὶ τοῦ, τὰ τῶν μαχομένων ἐνθυμήματα ἐλαττοῖ. Σ.

Σ. 124. Ἄμφεπεν] Ἐνήργει. Σ.

Σ. 125. Μηρὼ πληξάμενος] Μεγίστη νῦν καὶ καιρία ἡ συμφορὰ, ὅπου γε καὶ Ἀχιλλέα εἰς τὴν τοιαύτην μετέβαλε λύπην καὶ ἀγωνίαν. Σ. Β. — Ὅρα δὲ ὅπως ὅπερ λόγοι πάνυ πολλοὶ οὐκ ἴσχυσαν ἀνῦσαι παρὰ τῷ Ἀχιλλεῖ, θέα οἰκτρὰ ἐξετέλεσε, κινήσασα ἐκεῖνον εἰς ἔλεον. Ε.

Σ. 126. Ἱπποκέλευθε] Ἐφ' ἵππων ποιούμενε τὴν κέλευθον· οἷον ταχύτατε, ἱππικὲ, ἢ οἷον παραπλησίαν ἵπποις ὁρμὴν ἔχων. Σ. — Ἰστέον δὲ, ὅτι τὸ ἱπποκέλευθε, ὡς σεμνότερον τοῦ ἱππικὲ καὶ τοῦ ἡνιοχικὲ ὁ Ἀχιλλεὺς ἐπελέξατο εἰς ἔπαινον τοῦ ἑταίρου. Ε.

Σ. 127. Ἰωήν] (Ἐρωήν) νῦν ὁρμὴν, ἀναφορὰν, πνοήν. Σ.

Σ. 129. Δύσεο] Τοῦ δὲ δύσεο ἐνεστὼς δύσω· ἀναδραμὼν ἐκ μέλλοντος εἰς θέμα τὸ, δύσω, δύσομαι, ἐδυσόμην· τοιοῦτον δὲ σὺν ἄλλοις καὶ τὸ ἐβησόμην ἐβήσετο, ἐξ ἐνεστῶτος τοῦ βήσω. Ε.

Σ. 131. Κνημῖδας] Ἴδ. Λ, 17.

Σ. 134. Ἀστερόεντα] Ἤτοι ἀστέρας ἐμπεποικιλμένους ἔχοντα, ἢ λαμπρόν. Σ.

Σ. 140. Ἔγχος κ.τ.λ.] Ἔχρην γάρ τι ἐξαίρετον εἶναι τῷ Ἀχιλλεῖ· ἄλλως τε οὐκ ἦν τέκτων Ἥφαιστος· οὐ γάρ ἐστιν ἐν οὐρανῷ ξύλα. Εἰκότως οὖν ὅπερ οὐκ ἐνῆν κατασκευάσαι, τοῦτο Ἀχιλλεῖ τετήρηκε. Κατέκρυψε μέν τοι πλάσμα τῇ τοῦ Ἀχιλλέως ὑπεροχῇ, δι' ἀσθένειαν· οὐ δυνηθῆναι φήσας τὸν Πάτροκλον τῷ δόρατι χρῆσθαι. Σ. Β. — τὰ δὲ λοιπὰ ὅπλα περιθέσθαι τῷ Πατρόκλῳ δίδωσιν, ἵνα σκυλευθέντος αὐτοῦ, ἡ μετὰ ταῦτ' ὁπλοποιΐα ἔχῃ πιθανὴν ἀφορμήν. Ε.

Σ. 142. Ἐπίστατο] Νῦν ἀντὶ τοῦ ἠδύνατο. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 143. Πηλιάδα μελίην] Τὴν ἐκ Πηλίου ὄρους Θεσσαλικοῦ τμηθεῖσαν· μελία δὲ εἶδος δένδρου. Σ. — τὴν ἐκ μελίης. Σ. Β.

Σ. 146. Αὐτομέδοντα] Ὅτι Πάτροκλος μὲν Ἀχιλλέως ἡνίοχος, Πατρόκλου δὲ Αὐτομέδων. Σ. Β.

Σ. 147. Ὁμοκλήν] Ἤγουν πεπεισμένος ἦν ἐπ' αὐτῷ Πάτροκλος, ἢ καὶ ἄλλως πίστιν ἐκεῖνος ἐδίδου τῷ Πατρόκλῳ, ὡς ἔστιν ὑπομενετικὸς ἐν μάχῃ, οἷα μενεχάρμης καὶ μενεπτόλεμος.

Σ. 149. Ἅμα πνοιῇσι] Ὅ ἐστιν ὁμοίως πνοαῖς ἀνέμου ἐπέτοντο. Ε.

Σ. 150. Ἅρπυια Ποδάργη] Ἰστέον δὲ, ὅτι ταῦτα μυθικῶς μὲν διὰ τὸ ὑπερβάλλον τάχος τῶν τοιούτων ἵππων λέγει, καὶ ἑξῆς ποδηνέμων, ἢ μελλοπόδων ὄντων. — Ἡ δὲ Ἅρπυια, εἶδος μέν τι ἄλλως ἀνέμου ἐστί· πέπλασται δὲ τῷ μύθῳ εἰς δαιμόνιον πτερωτὸν ἱπποφυὲς, ὁποῖα ὁ μῦθος παραφύειν τολμᾷ· ἐπεὶ γὰρ ἄνεμοί τινες βίαιοι κουφίζουσι κάτωθεν καὶ βαρέα σώματα, ἐμυθεύθησαν ἐντεῦθεν Ἅρπυιαι σωματοειδῆ τινα πνεύματα τερατώδεις πλάσεις, ὑφ' ὧν καὶ λέγονται ἁρπάζεσθαι, ὅσα γίνονται ἀφανῆ· — ὧν μιᾶς τινος ἐξέφυ καὶ ἡ Ποδάργη, πρέπουσα κατὰ τὸν μῦθον, εἰς γένεσιν πόδας ἀργοῦ ἵππου, εἴτουν ποδώκεος. Δῆλον δὲ, ὡς εἰ καὶ ταῖς λοιπαῖς Ἁρπυίαις ὁ μῦθος χεῖρας προσπλάττει, ὡς ἁρπάζειν, ἀλλ' ἡ Ὁμηρικὴ αὕτη οὐκ ἂν εἶναι πιθανολογηθείη τοιαύτη, διὰ τὸ ἱπποφυές. Ε. — Ἅρπυιαι ἤτοι ἀνέμου εἶδος παρὰ τὸ ἁρπάζειν· ἢ δαίμονες ἁρπακτικαὶ, ὧν τὰ ὀνόματα, Ἀελλὼ, Ὠκυπέτη, Ποδάργη· τινὲς δέ φασιν Ἅρπυια Ποδάργη, ἵν' ᾖ ὄνομα φορβάδος, λευκοὺς πόδας ἐχούσης. Σ.

Σ. 152. Ἐν παρηορίῃσιν] Παρηορίαι δὲ αἱ παρηρτημέναι τῷ ζυγῷ σειραὶ εἰς δεσμὸν περισσοῦ ἵππου, ὅς ἐστι παρήορος. Ε. (Ἴδ. Θ, 87.). — Ἵει] Μετὰ προθέσεως χρὴ λέγειν, ἐνίει, ὅ ἐστιν ἐνέβαλλεν, ἐνετίθει, ἐνεδέσμει. Ε.

Σ. 153. Ἠετίωνος πόλιν] Θήβας, τὰς Ὑποπλακίους λέγει. Σ.

Σ. 156. Λύκοι ὣς] Κεκορεσμένοις δὲ εἴκασε καὶ ἐπὶ πότον ἐρχομένοις, ἐπεὶ πεινῶντες μὲν διασκεδάννυνται ἄλλος ἄλλοσε ἐς νομὰς, ἐς πότον δὲ ἀθρόοι ἀπίασιν. Σ. Β.

Σ. 159. Δάπτουσιν] Σαρκοφαγοῦσι. Σ.



НБОНУ імені І. Мечникова

Σ. 160. Ἴασιν] Τὸ δὲ ἴασιν, ὅ ἐστιν ἔρχονται· προπαροξύνεται πρὸς διαστολὴν τοῦ ἰᾶσι· ὅθεν τὸ ἀφιᾶσι. Ε.

Σ. 161. Λάψοντες] Πιόμενοι, ἀναῤῥοφήσοντες. Σ. — ὅτι ῥοφήσεως εἶδος τὸ λάπτειν· — καὶ οὐδὲ κυριολεκτεῖται ἐπὶ κυνῶν. — Ἄκρον δὲ λάπτουσιν ὕδωρ, διότι κατὰ τοὺς παλαιοὺς, οὐ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ, ὡς οἱ βόες, οὐδὲ κατὰ τοὺς λυκοσπάδας ἵππους τὸ ἥμισυ τῆς ὄψεως, ἀλλὰ τοῦ ἐπιπολῆς ὕδατος πίνουσιν, ὡς εἴπερ καὶ ἔλειχον. Ε. — Ἀραιῇσιν] Λεπταῖς. Σ.

Σ. 162. Φόνον αἵματος] Τὸ δὲ φόνον αἵματος, περιφραστικῶς ἀντὶ τὸ αἷμα. Ε. — Τὸ δὲ ἐρευγόμενοι φόνον αἵματος, ἀντὶ τοῦ φόνου αἷμα, ὅμοιον τῷ, χασσάμενος πελεμίχθη, ἀντὶ τοῦ πελεμιχθεὶς ἐχάσατο· (Δ, 535.). Σ. Β.

Σ. 163. Περιστένεται] Τὸ δὲ περιστένεται εἰ καὶ φαίνεται στεναγμόν τινα σημαίνειν ταῖς λύκοις διὰ τὸ ἐκ τοῦ κόρου πολὺ βάρος, ἀλλ' ὁ Ἀρίσταρχος ἀντὶ τοῦ περιτείνεται νοεῖ διὰ πλησμονήν. Ε. — περιστενοχωρεῖται, περισσῶς γενοῦται. Σ.

Σ. 166. Ῥώοντο] Ἐῤῥωμένως καὶ μετὰ πολλῆς προθυμίας καὶ γενναιότητος περὶ αὐτὸν ἵσταντο, ἐπιθυμίαν ἔχοντες πολεμίου αἵματος, ὡς οἱ λύκοι. Σ. Β.

Σ. 170. Κλήισι] Ἴδ. Β. 74.

Σ. 173. Ἰῆς στιχός] Μιᾶς τάξεως. Σ. τὸ δὲ ἰῆς περισπῶσι, οὐκ ἀκολούθως εὐθείᾳ τῇ ἴα βαρυνομένῃ. Σ. Β. — Αἰολοθώρηξ] Ποικίλον θώρακα ἔχων. Σ.

Σ. 174. Διϊπετέος] Ἤτοι ὑπὸ Διὸς πεπτωκότος· διὰ τὸ ὑπὸ τῶν ὀμβρίων ὑδάτων πληροῦσθαι τοὺς χειμάῤῥους· ἢ διαφανοῦς. Σ. — καταχρηστικῶς δὲ καὶ ὁ ἀένναος. Ε.

Σ. 175. Πηλῆος] Ἐνταῦθα οἱ μὲν φασιν ἑτέρου τινὸς εἶναι Πηλέως ἔγγονον τὸν ῥηθέντα Μενέσθιον, καὶ ἐπαγωνίζονται τῷ λόγῳ· οἱ δέ τινες ἀδελφιδοῦν αὐτὸν τοῦ Ἀχιλλέως εἶναι τίθενται καὶ νικῶσιν οὗτοι· καὶ τοίνυν θεωρητέον ὡς Πηλεὺς μὲν Θέτιδι μιγεὶς θαλασσίᾳ δαίμονι, γεννᾷ τὸν Ἀχιλλέα· ἡ δὲ τοῦ Ἀχιλλέως ἀδελφὴ ὑπὸ ποταμῷ γεννᾷ τὸν Μενέσθιον. Ε.

Σ. 176. Σπερχειῷ] Σπερχειὸς ποταμὸς Θεσσαλίας. Σ. — Ἀκάμαντι] Ἀκάμαντα δὲ Σπερχειὸν ἀντὶ τοῦ ἀέναον· καὶ ὡς εἴ τις εἴποι ἀκάματον — καὶ ἄλλως δὲ ἀκάμαντα διὰ τὸ ὀξὺ καὶ περισπερχὲς τοῦ κατ' αὐτὸν ῥεύματος. Ε. — Ἀκάμαντι] Ἀκάμαντα δὲ λέγει Σπερχειὸν, ἀντὶ τοῦ ἀέναον· — καὶ ἀλ-

НБ ОНУ імені І.І. Мечникова

λως δὲ, διὰ τὸ ὀξὺ καὶ περισπερχὲς τοῦ κατ' αὐτὸν ῥεύματος. Ε. (Ἴδ. στ. 122.).

Σ. 177. Ἐπίκλησιν] Κατ' ἐπίκλησιν δὲ καὶ φήμην Βώρῳ. Σ. — ἵνα ᾖ ἐπίκλησις, κλῆσις ἐπὶ τῇ πρώτῃ πρόσθετος. Σπερχειοῦ γὰρ ὢν φύσει, κατὰ μῦθον ἐνταῦθα ὁ Μενέσθιος, ἐπεκαλεῖτο Βώρου υἱός· — ἐκ δὲ τοῦ ἐπίκλησιν, τὸ ἐπίκλην, ἐπιθετικὸν ἐπίῤῥημα συνέκοψαν οἱ μεθ' Ὅμηρον. Ε.

Σ. 178. Ἀναφανδὸν ὄπυιε] Τὸ δὲ ἀναφανδὸν ὀπυίειν, τὴν νόμιμον ὁμιλίαν δηλοῖ· οὗ ἐναντίον μετ' ὀλίγα τὸ παρελέξατο λάθρα, ὃ ταὐτόν ἐστι τὸ κλεψὶ γαμεῖν, ἐφ' οὗ τὸ ὀπυίειν χώραν οὐκ ἔχει, ἀλλὰ τὸ παραλέξασθαι, καὶ τὸ εὐνηθῆναι, ὡς ἀνωτέρω κεῖται. Σημείωσαι δὲ καὶ, ὅτι καλῶς οἱ μὴ γεννώμενοι παῖδες ἐκ γυναικῶν ἀναφανδὸν ὀπυιομένων σκότιοι λέγονται· — Ἔδνα] Τὰ ἐξ ἀνδρῶν πρὸς γυναῖκας εἶπεν. Ε.

Σ. 179. Τῆς δ' ἑτέρης] Τὸ δὲ, τῆς ἑτέρας ἀντὶ τοῦ δευτέρας· ὡς μὴ ἐγχωροῦν εἰπεῖν ἐν ἡρωϊκῷ μέτρῳ τὸ δευτέρας διὰ τὸ ἀθεράπευτον ἀμφίμακρον. Ε.

Σ. 180. Παρθένιος] Ὁ ἐκ νομιζομένης παρθένου γεννηθεὶς, φθαρείσης λαθραίως. Σ. — Χορῷ καλή] Ἐν τῷ χορεύειν καλλίστη. Σ. — ἢ ὡς εἰπεῖν καλλίχορος. Ε.

Σ. 183. Χρυσηλακάτου] Καλλιτόξου, ἢ χρυσῷ τῷ βέλει χρωμένης· ἠλακάτην γὰρ καλοῦσι τὸ βέλος, καὶ τὸ γυναικεῖον ἐργαλεῖον, ἐξ οὗ τὸ νῆμα ἕλκουσιν· ὡς ἐκεῖ ὁ Ποιητής· ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα (Ὀδυσσ. Δ, 135.)· καὶ τὸ ὑποίστιον (ὑπερίστιον Ἐτυμ. Μεγ. ἠλακάτη), ὅταν λέγῃ· (Ἐτυμ. Μεγ. λέγηται)· καθ' αὐτοῦ λῖνα χεῦον (χεῦεν) ἐπ' ἠλάκατα τανύσαντες (ἐπ' ἠλακάτην ἐρύσαντες). Σ. — Κελαδεινῆς] Κυνηγετικῆς, παρὰ τὸν γιγνόμενον ἐν τοῖς κυνηγίοις κέλαδον, ὅ ἐστι θόρυβον. (Ἴδ. Ι, 543.). Σ.

Σ. 184. Ὑπερῷ] Ἴδ. Β, 514. — φασὶ δὲ καὶ ὅτι τὰ μετέωρα τῶν οἰκημάτων ᾦα καλοῦσιν οἱ Λακεδαιμόνιοι· ὅθεν ὑπερῷον τὸ οἷον εἰπεῖν, ὑπερύψηλον. Ε.

Σ. 185. Ἀκάκητα] Ὁ μὴ δυνάμενος κακωθῆναι ὑπὸ ἑτέρου· μήτε δὲ κακῶσαι ἄλλον διὰ τὴν οἰκείαν ἀρετήν· ὅθεν καὶ δοτὴρ ἐάων, ὅ ἐστιν ἀγαθῶν. Σ.

Σ. 186. Θείειν ταχύν] Ὁ δὲ θέειν· ταχὺς, ὁ αὐτὸς τῷ ποδώκει ἐστί. Ε.

Σ. 187. Μογοστόκος Εἰλείθυια] Ἴδ. Λ, 270.

Σ. 188. Ἐξάγαγε πρὸ φόωσδε] Ὅρα δὲ καὶ ὅτι τὸ μὲν γεννῆσαι ἐξαγαγεῖν εἶπε προφόωσδε· τὸ δὲ γεννηθῆναι, ἠελίου ἰδεῖν αὐγάς. Ε. — Ἀριστοφάνης, φόωσδε· Ζηνόδοτος δὲ προφόωσδε. Σ. Β. — εἰς τὸ φῶς, καὶ εἰς τὸ φανερόν· περισσεύει ἡ πρὸ πρόθεσις. Σ.

Σ. 191. Ἀτίταλλεν] Ἴδ. Ε, 271.

Σ. 195. Ἑταῖρον] Τὸν Πάτροκλον κατ᾽ ἐξοχὴν δηλοῖ. Σ. Β.

Σ. 199. Εὖ κρίνας] Ὅ ἐστι κατὰ στίχας διακρίνας, διαχωρήσας· ἐξ οὗ ληφθεῖσα σύγκειται παρὰ τοῖς μεθ᾽ Ὅμηρον, ἡ εὐκρίνεια· ταὐτὸν οὖσα τῇ εὐκοσμίᾳ ἔν τε λόγοις ἔν τε ἔργοις. Ε.

Σ. 202. Μηνιθμόν] Ἤγουν τὸν ὅλον καιρόν μοι τῆς μήνιδος. — Ὅρα δὲ ὅτι Ἀχιλλεὺς μὲν μηνιθμὸν ἔφη περὶ ἑαυτοῦ, ἀληθεύων. Μυρμιδόνες δὲ καθὰ καὶ ὁ Πάτροκλος, σεμνότερον μὲν δοκοῦσιν εἰπεῖν χόλον· ἔστι δὲ ἀληθῶς αὐτὸ δριμύτερον, οὐ μόνον, ὅτι κακὸν χόλον εἶπον, ἀλλὰ καὶ ὅτι ὁ μὲν μηνιθμὸς εἰ καὶ πολυχρόνιος, ἀρχήν τινα ἔχει καὶ τέλος παρὰ τῷ ζῶντι· ὁ δὲ χόλῳ μητρόθεν τραφεὶς σύμφυτον ἔχει διὰ βίου τὸ κακόν. Ε. — ὅτι χόλῳ ἀρσενικῶς ἀντὶ τοῦ χολῇ ὑπερβολικῶς, οὐ γάλακτι, ἀλλὰ χολῇ· — διὰ τὸ ἄμετρον τῆς ὀργῆς. Σ. Β. — Σημείωσαι δὲ καί, ὅτι ταῦτα λέγων ὁ Ἀχιλλεὺς ἐπιεικῆ λεληθότως ἑαυτὸν ὑποδείκνυσιν· εἰ γὰρ χόλῳ ἐτέτραπτο, πάνυ ἂν ἐχολοῦτο, τοιαῦτα βαρέως πρὸς τῶν ὑπηκόων ἀκούων. Ε.

Σ. 207. Νῦν δὲ πέφανται] Τὸ δὲ νῦν πέφανται, ὁμοφωνεῖ μὲν τρίτῳ πληθυντικῷ, ἔστι δὲ ἑνικὸν ἀπὸ τοῦ φαίνω, φυλάσσων τὸ νῦν ὡς καὶ τό, ἐξήρανται χείρ, καὶ κατῄσχυνται ὁ δεῖνα, ἢ μεμίανται, καὶ ὅσα τοιαῦτα· — διὰ τὸ φυσικῶς ἔχειν ἐγκείμενον τὸ νῦ ἀμετάβολον. Ε.

Σ. 208. Ἔης — ἐράασθε] Ἔης, ἔφη, ὡς καὶ ἀλλαχοῦ τὸ ὡς, ἕως, πλεονασμῷ τοῦ ε ἀττικῶς· καθὰ καὶ Ἡσίοδος ἐν Θεογονίᾳ τὸ. εἷς ὀφθαλμός, ἕεις φησί. Ε. — ἐντέχνως χάριν αὐτοῖς δοκεῖ κατατίθεσθαι προπέμπων, καὶ τὴν ὁρμὴν ἔρωτα κέκληκε· καὶ ὡς ἐπιτυχόντας, ὧν ἐπεθύμουν, ἀνδρίζεσθαι παρακελεύεται. Σ. Β.

Σ. 211. Ἄρθεν] Ἡρμόσθησαν, ἐπυκνώθησαν ἐξιόντες. Σ. — ἡρμόσθησαν, ὡς δῆλον ἐκ τῆς παραβολῆς· οἱ δέ, ἀντὶ τοῦ ἐπήρθησαν καὶ φρονήματος ἐπληρώθησαν. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 220. Πρόσθεν Μυρμ. πολεμιζέμεν] Ἤγουν προμάχεσθαι.

Σ. 221. Χηλόν] Χηλὸν δὲ κατὰ τοὺς παλαιοὺς τὴν κιβωτόν φασιν οἱ Λάκωνες, Βουτεάδαι δὲ (οἱ Ἀττικοὶ Σ. Β. Ἰδ. Στεφάν. Βουτάδαι καὶ Εὐστάθ. σελ. 13.) λάρνακα, Μιτυληναῖοι δὲ ἀντίπηγα. Ε.

Σ. 223. Ἐῢ πλήσασα χιτώνων] Τὸ δὲ ἐϋπλήσασα (Εὐστάθ.) χιτώνων, ἔχων Ὅμηρος εὖ πλήσατα, ἢ ἐμπλήσατα εἰπεῖν, ὅμως οὐχ εἵλετο οὕτω γράψαι, ἀλλὰ ποιητικώτερον ἔφρασε· πρὸς ὁμοιότητα τοῦ ἐϋκρίνας, ὃ πρὸ ὀλίγων γέγραπται (στ. 199.). Ἰστέον δὲ ὅτι τε καὶ ἐνταῦθα διαφορὰ χιτῶνος φαίνεται καὶ χλαίνης ἐν τῷ, χιτώνων χλαινάων τε· καὶ ὅτι αἱ χλαῖναι χιτώνων παχύτεραι· διὸ καὶ ἀνεμοσκεπέες λέγονται, καὶ ἀπὸ τοῦ χλιαίνεσθαι παρετυμολογοῦνται· καθὰ ἴσως καὶ αἱ χλανίδες· οὐ μὴν δηλαδὴ καὶ αἱ χλαμύδες, ἃς ἐφαπτίδας φασὶν εἰρῆσθαι παρὰ τῷ εἰπόντι, ὅτι εἶχον πορφυρᾶς ἐφαπτίδας. — Ὅτι δὲ χιτὼν οὐκ ἐξ ἀνάγκης μόνον ὁ τῆς σαρκὸς ἀμέσως ἐχόμενος, ἀλλὰ καὶ τὸ ἁπλῶς ἔνδυμα, πλὴν εὐαφὲς καὶ ἁπαλὸν, καὶ ὡς εἰπεῖν χυτὸν, δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν, οὐχ ἥκιστα δὲ καὶ ἐκ τοῦ ἱστορήσαντος, ὅτι τοῖς τὴν Σίριν οἰκοῦσιν ἐπεχωρίασε τὸ φορεῖν ἀνθίνους χιτῶνας, οὓς ἐζώννυντο οἱ ἐκεῖ μίτραις πολυτελέσι· διὸ καὶ ἐκαλοῦντο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες πρός τινα διαστολήν· ἐπεί φησιν Ὅμηρος τοὺς ἀζώτους ἀμιτροχίτωνας καλεῖ. Ε.

Σ. 224. Οὔλων τε ταπήτων] Ὅτι οὖλοι τάπητες ἢ οἱ δασεῖς καὶ τριχωτοὶ ὁποῖα τὰ κοινῶς λεγόμενα ἐπεύχια, ἢ εὐείλητοι καὶ εὔκλωστοι, ὅθεν καὶ οὔλη θρίξ· ἢ καὶ ἄλλως εὐείλητοι, ὅ ἐστιν εὐδίπλωτοι διὰ μαλακότητα. — Τάπητες δὲ σκοπητέον εἴ περ ὡμοίωνται τοῖς ἀμφιτάποις ἢ ταῖς ψιλοτάπισιν, ὧν μνεία παρὰ τῷ δειπνοσοφιστῇ, εἰπόντι, ὡς κλίναι χρυσαῖ σφιγγόποδες ἵσταντο, ταύταις δ' ἀμφίταποι ἁλουργεῖς, ὑπέστρωντο τῆς πρώτης ἐρέας· ὅθεν δῆλον, ὡς ὑπόστρωμα, καὶ, ὡς εἰπεῖν, ὑποβολὴ στρώματος ἢ μᾶλλον περιστρώματος ἦν, ὥσπερ ἐστὶν ὅ τε ὁ τάπης, οὕτω καὶ ὁ ἀμφίταπος· ἐναντίος ἂν τῇ ψιλοτάπιδι, τῇ ἴσως καὶ ψιλοδάπιδι, καθότι δίμαλλος αὐτὸς ἔοικεν εἶναι κατὰ τοὺς ὡς ἂν εἴποι τις διπροσώπους σάγους. Ὅτι δὲ ὑπέκειντο καθὰ οἱ ἀμφίταποι καὶ οἱ τάπητες οὕτω καὶ αἱ ψιλοτάπιδες, ὧν ἐτυμολογία τὸ πατεῖσθαι, δῆλον ἐκ τοῦ, διήει ὁ βασιλεὺς διὰ τῆς αὐλῆς πεζὸς ὑποκι-

НБ ОНУ імені І.І. Мечникова

θεμένων ψιλοταπίδων Σαρδιανῶν, ἐφ' ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν ἢ βασιλεύς· δοκοῦσι δὴ ἄμαλλον μὲν αἱ ψιλοτάπιδες ὡς καὶ αἱ ψιλοδάπιδες· ἀμφίμαλλοι δὲ οἱ ἀμφίταποι· ἑτερόμαλλος δὲ οἱ τάπητες. Ε.

Σ. 227. Οὔτε τεῳ] Ἤγουν τινὶ, πλεονασμὸν, ἔχει τοῦ ἐ· ταὐτὸν γὰρ οὔτε τεῳ εἰπεῖν καὶ οὔτε τῳ· τοῦ δὲ τέῳ καὶ γενικὴ πληθυντικῶς ἐστι τέων. Ἰστέον δὲ καὶ ὅτι ὥσπερ ἡμεῖς ἰδιωτικώτερόν φαμεν οὐκ ἄλλῳ τινὶ εἰ μὴ τῷ δεῖνι· — τοῦτο Ὅμηρος μὲν οὕτω φησιν· οὔτε τῳ ἔσπενδεν ὅτε μὴ Διΐ· οἱ δὲ ὕστερον ῥήτορες, ὅτι μὴ Διΐ· τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων πτώσεων· οἷον, οὐδεὶς ἕτερος ὅτι μὴ ὁ δεῖνα· καὶ οὐδένες ἄλλοι, ὅτι μὴ οἱ δεῖνα· οὕτω δὲ καὶ ἐπὶ ῥημάτων· οἷον οὐκ ἄλλό τι ἔδρα ὅτι μὴ ἐτρύφα· — ἐν τῷ, ὅτε μὴ Διῒ πατρὶ, τὸ μὲν τε, παραπληρωματικῶς παρέλκει· τὸ δὲ ὅ, ἀντὶ τοῦ ὅτι νοεῖται.

Σ. 228. Θεείῳ] Θέειον δὲ ἢ τὴν θέαφον λέγει, ἢ λεπτὴν αἰθάλην πυρὸς, καθά τισι τῶν παλαιῶν δοκεῖ· ἢ καὶ εἶδός τι θυμιάματος, ὃ ἐπὶ καθαρμῷ καὶ ἀποτροπιασμῷ μετεχειρίζοντο, διὸ καὶ θεῖον αὐτὸ ἐδόκει· — καὶ ἔστι τὸ καθαίρειν θεία λέξις παρὰ τοῖς παλαιοῖς, ἐξ οὗ καὶ οἱ θρυλλούμενοι καθαρμοί· τὸ μέν τοι κάθαρμα οὐ σεμνὴ λέξις, ὡς οὐδὲ τὸ λῦμα, ὅθεν καὶ ὁ λυμεών. Σ.

Σ. 230. Ἐνίψατο δ' αὐτὸς χεῖρας] Ἐνίψατο δὲ, ἵνα μὴ χερσὶν ἀνίπτοις, ὃ δὴ λέγεται (ἴδ. Ζ, 266.), σπείσῃ τῷ Διΐ· πρέπον δὲ πάντως τοῦτο, εἴγε καὶ πρὸ εὐχῆς ἐνίπτοντο. Ε.

Σ. 231. Μέσῳ ἕρκεϊ] Τὸ δὲ μέσῳ ἕρκεϊ ἐμφαίνει καὶ Ἑρκείῳ Διῒ σπένδειν ἄρτι τὸν Ἀχιλλέα, οὕτω λεγομένῳ, διὰ τὸ συντηρεῖν πάντας τοὺς περὶ τὸ αὐτὸ ἕρκος. Ε. — ἐπεὶ ἐν μέσῳ τοῦ οἴκου Ἑρκείου Διὸς βωμὸς ἵδρυται, μεσέρκειον καλοῦσι τὸν Δία· ἕρκει δὲ τῷ περιφράγματι τῆς σκηνῆς. Σ. Β.

Σ. 233. Δωδωναῖε] Δωδωναῖος δὲ Ζεὺς, ὁ περὶ Δωδώνην ἐξέχουσαν ἔχων τιμήν· περὶ ἣν Πελασγοὶ τὸ ᾀδόμενον ἵδρυσαν ἱερὸν κατὰ τοὺς παλαιούς· ὅθεν καὶ Πελασγικὸς ὁ αὐτός. Ἰστέον δὲ ὅτι δύο Δῶδωναι κατά τινας· ἡ μὲν Θεσσαλίας· ἡ δὲ Μολοσσίας· ἧς καὶ μεμνῆσθαί φασιν ἐνταῦθα τὸν Ἀχιλλέα· — Ὅτι δὲ περὶ τοὺς τοιούτους τόπους καὶ γῆ Παιόνων ἐστι, δηλοῖ ὁ γράψας οὕτω· Παίοσιν ὅμοροι Σελλοὶ καὶ Δόλοπες περὶ Δωδώνην μέχρις Ἀχελώου. Ε. — τίς δὲ ἔστιν ὁ τοῦ Δωδωναίου Διὸς λόγος καὶ τῶν τόπων ἐξ ὧν αὐτὸς ἐπικαλεῖται οὕτω;

НБ ОНУ імені І.І. Мечникова

Δευκαλίων, μετὰ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμὸν, παραγενόμενος εἰς τὴν Ἤπειρον, ἐμαντεύετο ἐπὶ τῇ δρυΐ· πελιάδος δὲ χρησμὸν αὐτῷ δούσης, κατοικίζει τὸν τόπον, συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ ἀπὸ τοῦ Διὸς καὶ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων, Δωδώνην τὴν χώραν προσηγόρευσεν· ἡ ἱστορία παρὰ Θρασυβούλῳ καὶ Ἀκεστοδώρῳ. — Δήμων φησὶν, ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται· τούτους δὲ ψαύειν ἀλλήλοις, καὶ κρουσθέντος τοῦ ἑνὸς, ἠχεῖν ἐκ διαδοχῆς πάντας, ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τὴν περίοδον. Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων, δύο φησὶ στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑτέρου, λέβητα, ἐπὶ θατέρου δὲ, παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας, σειομένους ὑπ' ἀνέμου, τῷ λέβητι προσκρούειν· τὸν δὲ τυπτόμενον ἠχεῖν. Δωδώνη δὲ πόλις ἐν Θεσπρωτίᾳ Πελασγίᾳ, ἐν ᾗ ἵσταται δρῦς, ἐν ᾗ μαντεῖον ἦν γυναικὸς προφήτιδος· καὶ εἰσιόντων τῶν μαντευομένων, ἐκίνετο δῆθεν ἡ δρῦς ἠχοῦσα· αἱ δὲ ἐφθέγγοντο, ὅτι τάδε λέγει ὁ Ζεύς· καὶ ἀνδριὰς ἵστατο ἐν ὕψει ῥάβδον κατέχων, καὶ παρ' αὐτὸν λέβης ἵστατο· καὶ ἔπαιεν ὁ ἀνδριὰς τὸν λέβητα· ἐξ οὗ ἦχός τις ἐναρμόνιος ἀπετελεῖτο, αἱ δὲ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσιν. Σ. Β. — Πελασγικέ] Πελασγία πρότερον ἡ Θεσσαλία ἐκαλεῖτο, ἐξ οὗ Θαύμαστος καὶ ὑπὸ Πελασγῶν τιμώμενος, ἐπεὶ Πελασγοὶ κατῴκουν τὴν Δωδώνην, ἐκβληθέντες ἀπὸ Βοιωτίας ὑπὸ Αἰολέων. Σ. Β.

Σ. 234. Δυσχειμέρου] Τῆς κακὸν χειμῶνα ἐχούσης. Σ. — Σελλὸς δὲ τὸ ἐθνικὸν, ἢ Ἑλλὸς κατὰ Πίνδαρον, ἀμφιβάλλεται γὰρ ἡ γραφή· — ἀπὸ Ἑλλοῦ τοῦ Θεσσαλοῦ· — ἀφ' ὧν (Ἑλλῶν) καὶ Ἑλλοπίαν τὸν περὶ Δωδώνην τόπον καλεῖσθαι· πλείους δὲ, οἱ Σελλοὺς γράφοντες. Ε. — ἔθνος Ἠπειρωτικὸν τῆς Θεσπρωτίας· κληθὲν ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ Σελλήεντος. Πίνδαρος δὲ Ἑλλοὺς αὐτοὺς κληθῆναί φησι, ἀπὸ Ἑλλοῦ τοῦ δρυτόμου, ὥς φασι, πρώτου καταδείξαντος τὸ μαντεῖον. Σ.

Σ. 235. Ὑποφῆται] Ὑποφῆται δὲ, ὡς ὑποφητεύοντες προφητεύοντι τῷ ἐκεῖσε Διΐ. Ε. ὑπομάντεις, ἱερεῖς· ὅ ἐστι χρησμῳδοὶ, θεολόγοι, προφῆται· ὑποφήτας γὰρ λέγουσι τοὺς περὶ τὰ χρηστήρια ἀσχολουμένους, καὶ τὰς μαντείας τὰς γιγνομένας ὑπὸ τῶν ἱερέων ἐκφέροντας. Σ. — Ἀνιπτόποδες] Ἤτοι βάρβαροι· σκληρῶς δὲ καὶ νομαδικῶς ζῶντες, ταύτην ἔχοντες δίαιταν, ὡς

НБ ОНУ імені І.І. Мечникова

μηδὲ ἀπονίζεσθαι τοὺς πόδας, διὰ τὸ μὴ παραδέχεσθαι τὴν ἐκ τοῦ πρώτου βίου μεταβολήν· ἢ τοῦτο ἔκ τινος ἔθους ἐπὶ τιμῇ τοῦ θεοῦ ποιοῦντες· ἔνιοι γὰρ καὶ λουτρῶν ἀπέχονται, καὶ τῆς τοιαύτης ἐπιμελείας· τινὲς δὲ αὐτοὺς διὰ τοῦτο λέγουσιν ἀνιπτόποδας, ὅτι οὐκ ἐξίασιν ἔξω τοῦ ἱεροῦ· διὸ οὔτε ἀπολούεσθαι ἀνάγκην ἔχουσιν. Ἀνδρῶν δὲ ἐν ἱστορίαις φησὶν οὕτω κληθῆναι, ἐπεὶ φιλοπόλεμοι ὄντες, οὕτως ἑαυτοὺς ἐσκληραγώγουν· Ἀλέξανδρος δέ φησιν ὁ Πλευρώνιος, ἔθνος εἶναι τοὺς Ἔλλους ἀπόγονον Τυῤῥηνῶν, καὶ διὰ πατρῷον ἔθος οὕτω τὸν Δία θρησκεύειν. Σ. — οἱ φυλασσόμενοι μήτι μιαρὸν πατῆσαι. Σ. Β. — Χαμαιεῦναι] Χαμαὶ γάρ φασι δοραῖς ἐγκοιμώμενοι δι' ὀνείρων τοῖς χρωμένοις χρηματίζουσιν ἐκ Διός, καθὰ καὶ Λυκόφρων ἱστορεῖ· ὃς καὶ τόμουρον τὸν ἁπλῶς μάντιν λέγει ὁμωνύμως τοῖς ἐν Δωδώνῃ· τόμουροι γὰρ οἱ ἐκεῖ τοῦ Διὸς ὑποφῆται· καὶ τόμουραι αἱ μαντεῖαι.

Σ. 239. Νηῶν ἐν ἀγῶνι] Ἐν τῷ ἀθροίσματι τῶν νηῶν, ἐν τῷ ναυστάθμῳ. Σ.

Σ. 245. Μῶλον Ἄρηος] Τὴν μάχην, ἀπὸ τοῦ παρεπομένου. Σ.

Σ. 247. Ἀσκηθής μοι] Ἀβλαβής, ὑγιής. Σ. — ἡ δὲ προσθήκη τοῦ μοι, τὸ φιλόστοργον ἦθος δηλοῖ. Σ. Β.

Σ. 250. Δῶκε — ἀνένευσε] Ἔνθα παρὰ καὶ καλῷ κακὸν ἔθετο θεός· ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐπὶ τοῦ Δημοδόκου τὸ ὅμοιον ἐῤῥέθη Θ'.

Σ. 254. Ἀπέθηκεν] Καὶ ὅρα τὸ ἀπέθηκεν, ἐξ οὗ δηλοῖ, κειμήλιον εἶναι τὸ δέπας, ὡς ἀποτεθειμένον, ἤτοι ἀπόθετον, ἀποκείμενον· καιρία δὲ ἡ λέξις, καὶ σαφής, ἤδη δὲ καὶ ἀφελής. Ε.

Σ. 259. Σφήκεσσιν ἐοικότες] Ὅτι θυμικὸν ζῶον ὁ σφήξ, καὶ μάλιστα ὁ ἐνόδιος. — Καὶ ὅρα τὴν Ὁμήρου δεινότητα, ὅς γε καὶ ταῖς ἐκ τῶν σμικροτάτων παραβολαῖς κοσμεῖ σεμνῶς τοὺς ἥρωας· καὶ νῦν μὲν τοὺς Μυρμιδόνας εἰκάζει πρὸς σφῆκας, οὐκ ἀνδρίαν, ἀλλὰ καρδίαν καὶ θυμὸν σφηκῶν αὐτοὺς ἔχειν εἰπών· — ἔνεισι γὰρ καὶ ἐν τοῖς εὐτελέσι τοσύτοις ἄξια λόγου ἰδιώματα, ὡς καὶ τοῖς σφηξὶ τὸ ἀμυντικόν· ὅθεν καὶ ὁ ἐρεθίζων κακόν τι ἐφ' ἑαυτόν, σφηκίαν ἐξεγείρειν κατ' ἑαυτοῦ λέγεται. Ε.

Σ. 260. Εἰνοδίοις] Τοῖς ἐν τῇ ὁδῷ οἰκοῦσιν, ὅ ἐστι φω-

НБ ОНУ імені І. І. Мечникова

λεύουσι, τοῖς τὴν σφηκίαν ἔχουσι παρὰ τὴν ὁδόν. Σ. — Ἔθοντες] Ἀντὶ τοῦ τὸ σύνηθες πράττοντες. Ε.

Σ. 261. Ἀθετεῖται] Τὸ κερτομεῖν οὐ τίθησιν ἐπὶ τοῦ δι' ἔργων ἐρεθίζειν, ἀλλὰ διὰ λόγων, καὶ διὰ τὴν ταὐτολογίαν. Σ. Β.

Σ. 277. Κονάβησαν] Ἴδ. Β, 334.

Σ. 278. Ὡς εἴδοντο] Αὐτοὶ μὲν οὐκ εἶδον ὡς Μενοιτίου υἱόν· παραπεφώνηκε δὲ τοῦτο ἀφ' ἑαυτοῦ ὁ ποιητής. Σ. Β.

Σ. 279. Καὶ θεράποντα] Αὐτομέδοντα ἐν τοῖς ὅπλοις ὄντα Πατρόκλου ᾤοντο εἶναι Πάτροκλον, Πάτροκλον δὲ Ἀχιλλέα. Σ. Β.

Σ. 281. Ἐλπόμενοι κ.τ.λ.] Εἰ καὶ μεθ' Ὅμηρον σημειοῦνται τὴν ἐλπίδα μὴ ἂν ἐπὶ κακῶν προσδοκίας λέγεσθαι, ἀλλ' ἰδοὺ τὸ ἐλπόμενοι ἐνταῦθα ἐπὶ Τρώων ἐῤῥέθη, μὴ ἐχόντων καραδοκίαν ἀγαθοῦ τινος. Ε.

Σ. 282. Μηνιθμὸν μὲν ἀποῤῥίψαι] Τὸ δὲ μηνιθμὸν ἀποῤῥίψαι πάνυ καιρίως πέφρασται, ὡς ἐπί τινος βάρους, τοιοῦτον γὰρ ὁ κότος. — Φιλότητα] Τὸ δὲ φιλότητα ἑλέσθαι, ἀναγκαίως πρόσκειται· οὐ γὰρ πᾶς ὁ μῆνιν ἀποῤῥίψας, ἤδη καὶ φιλότητα ἔτχεν. Ε.

Σ. 287. Βάλε Πυραίχμην] Ἴδ. Β, 848.

Σ. 290. Ἀμφεβόμβηθεν] Ἑκατέρωθεν ἔφυγον. Σ.

Σ. 293. Ἔλασεν] Ἐπαινετὰ δὲ τὰ ἔπη, ὡς ἐν τῷ τάχει καὶ τὴν ἀξιοπιστίαν ἔχοντα. Σ. Β.

Σ. 294. Ἡμιδαής] Ἡμίκαυστος, ἡμίφλεκτος. Σ. — ἐναργῶς ἔχει τὸ ἡμιδαής· σχεδὸν γὰρ αἴρει τὰς αἰσθήσεις ἡ τῶν ὀνομάτων αἴσθησις, καὶ ἐν ὄψει τὸ πρᾶγμα δείκνυσι. Σ. Β.

Σ. 298. Στεροπηγερέτα] Ἀστραπτικός. Σ. — καὶ δοκεῖ λέγειν, ὅτι ὥσπερ Ζεὺς ἀστραπηβολῶν κατέλαμψε τὰ πρὶν ἐν σκότῳ ὄντα, οὕτω καὶ Ἀχαιοῖς ἐξ ἀχλύος ἔφανεν οἷόν τι φῶς, ἡ ἐν κινδύνῳ ἀνάπνευσις· — καὶ πρὸς τοῦτο μόνον ἀφορᾷ ἡ παραβολή. Σ.

Σ. 299. Ἔκ τ' ἔφανεν] Ἴδ. Θ, 553.

Σ. 300. Ὑπεῤῥάγη] Διαφανὴς ἐγένετο.

Σ. 302. Ἐρωή] Νῦν ὁρμή· ἔστι δ' ὅτε τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν δηλοῖ. Σ.

Σ. 304. Προτροπάδην] Προτροπάδην δὲ φεύγειν ἐστὶ, τὸ εἰς τὰ πρὸ τῆς φυγῆς ἑαυτὸν τρέψαι, καὶ μηκέτι ἐπιστρέφεσθαι· οὐ

НБ ОНУ імені І.І.Мечникова

τὸ ἀνάπαλιν ἐπίῤῥημα, ὑποτροπάδην ἐστίν. Ε. —ἐπειγμένως καὶ ὁλοσχερῶς ἐκστρέψαντες τὰ νῶτα. Σ.

Σ. 306. Κεδασθείσης ὑσμίνης] Ἴσόν ἐστι τῷ — πλατυνθέντος τοῦ πολέμου ὧδε καὶ ἐκεῖ· ὃ καὶ ῥαγῆναι μάχην λέγεται καὶ συῤῥῆξαι πόλεμον. Ὅρα δὲ καὶ ἐνταῦθα πολλὴν ποικιλίαν· τὸν μὲν γὰρ, στρεφθέντα ἔβαλέ τις κατὰ μηρὸν ἔγχεϊ ὀξυόεντι κ.λ. —τοιαύτη τις κἀνταῦθα τῷ Ὁμηρικῷ πέπλῳ ποικιλία ἐμπάσσεται· καὶ οὐ μόνον κατὰ τοὺς τρόπους τῶν πληγῶν τε καὶ πτωμάτων, ἀλλὰ καὶ κατὰ φράσιν τὴν αὐτοῦ τοῦ ἔθανον· ἀντὶ γὰρ τοῦ ῥήματος τούτου, ἐφ᾽ ἑκάστων ἄλλως καὶ ἄλλως φράζει. Ε.

Σ. 308. Στρεφθέντος] Εἰς φυγὴν κλίναντος. Σ.

Σ. 314. Ἔφθη] Ἔφθασε, προέλαβε· — ὀρεξάμενος, νῦν ἐφικόμενος καὶ πλήξας ἐκ χειρός. — Πρυμνὸν σκέλος] Τὸ ἔσχατον μέρος τοῦ σκέλους. Σ. — Πάχιστος] Καλῶς δὲ καὶ πάχιστον αὐτόν φησι· ὁ γὰρ ἐν τῷ σώματι παχύτατος μῦς ἐν τῇ κνήμῃ ἐστι καταγόμενος ἐπὶ τὴν πτέρναν, ὃς καὶ τένων καλεῖται. Σ. Β.

Σ. 315. Μυών] Ἔνθα ὅρα, ὅτι μυὼν ἡ γαστροκνημία ἐστίν, ἣν ἡ τῶν πολλῶν γλῶσσα ἄνζαν φησί, συγκειμένη ἐκ νεύρων πολλῶν καὶ συνεστραμμένων σαρκῶν. Ε.

Σ. 316. Ὄσσε κάλυψε] Φασὶ δὲ οἱ παλαιοί, καὶ ὅτι ἡ ἀθρόα κατὰ μυώνων πληγὴ θανατοῖ· συμπάθειαν γὰρ καὶ αὐτοὶ ἔχουσι πρὸς τὰ καίρια, εἴπερ ἐκ νεύρων εἰσίν· —τὰ δὲ νεῦρα ἐξ ἐγκεφάλου. Ε.

Σ. 319. Αὐτοσχεδά] Ἀντὶ τοῦ αὐτοσχεδόν. Ε. — ἑτοίμως, παραχρῆμα· μᾶλλον δὲ ἀγχόθεν. Σ.

Σ. 322. Ὀρεξάμενος] Ἐπὶ τὸ πατάξαι ὁρμήσας. Σ.

Σ. 323. Πρυμνὸν βραχίονα] Τὸ ἀκρότατον τοῦ βραχίονος. Σ.

Σ. 324. Δρύψε] Δρύπτειν δὲ κυρίως μὲν ἐπὶ λεπισμοῦ δρυῶν, ἤτοι ξύλων, καταχρηστικῶς δὲ, καὶ τὸ ἁπλῶς ξέειν· κυριολεκτεῖται δὲ μάλιστα ἐπὶ σαρκῶν, τὸ ἀμύσσειν· τὸ μέν τοι δρύπτειν βαθύτερόν τι τοῦ ἀμύσσειν ποιεῖ· διὸ καὶ ἐπιφέρει· ἀπὸ δ᾽ ὀστέον ἄχρις ἄραξεν· ἐλλειπτικῶς εἰπών, ἵνα ᾖ, ὅτι ἀπάραξε τοὺς μῦς, εἰς ὀστοῦν ἄχρι· ἄλλως γὰρ τὸ ἄχρι αἰτιατικῇ οὐ συντάσσεται· οἱ δὲ παλαιοὶ τὸ ἄχρις ἀντὶ τοῦ διόλου φασί. Ε. —ἐπέσχισε δὲ τὴν σάρκα ἄχρι τοῦ ὀστοῦ. Σ. — τὸ ἄχρις καὶ χρονικὸν καὶ τοπικόν, ὡς νῦν. Σ. Β.

Σ. 329. Ἀμαιμακέτην] Ἴδ. Ζ, 179.

Σ. 334. Πορφύρεος θάνατος] Μέλας, σκοτεινός. Σ.

Σ. 336. Μέλεον] Ματαίως. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 338. Καυλός] Τὸ κατὰ τὴν λαβὴν τοῦ ξίφους ἐπίμηκες καὶ στενὸν, ἤγουν ἡ κώπη τοῦ ξίφους. Ε.

Σ. 339. Ἐῤῥαίσθη] Διεκλάσθη καὶ διεφθάρη ὑπὸ τῆς βίας τοῦ τύψαντος. Σ. Β.

Σ. 341. Παρηέρθη] Ἤγουν παρεκρεμάσθη κάρη· διακοπὲν δηλαδὴ τῆς συνεχείας. Ε.

Σ. 347. Κέασσε] Συνέτριψε, περιέσχισε. Σ. — οἰκείως δὲ ἐπὶ μὲν ὀστῶν ἐκέασθεν, ἐπὶ δὲ ὀδόντων ἐτίναχθεν ἐπὶ δὲ τοῦ δόρατος ἐξεπέρησέ φησι. Σ. Β.

Σ. 350. Πρῆσεν] Ἐξεφύσησε, μετὰ πνεύματος ἐξέδωκεν. Σ.

Σ. 352. Ἐπέχραον] Ἤγουν ἐνεπέπεσον, καὶ ὡς εἰπεῖν ἐν χρῷ ἐπῆλθον. Ε.

Σ. 353. Ὑπ' ἐκ μήλων αἱρεύμενοι] Ἀντὶ τοῦ ὑφαιρούμενοι ἐκ τῶν βοσκημάτων, τουτέστιν ὑποκλέπτονες· — ἢ τὰ ἐξαίρετα ἐκ φυσικῶς διαγνώσεως διαρπάζοντες. Ε. (ἴδ. Ρ, 62).

Σ. 357. Δυσκελάδου] Κακὸν ἦχον ὑποτελοῦντος. Σ. — προσφυὲς τὸ ἐπίθετον· βοῶσι γὰρ καὶ οἱ διώκοντες καὶ οἱ διωκόμενοι. Σ. Β.

Σ. 358. Αἴας δ' ὁ μέγας] Ὁ Τελαμώνιος, ἐπεὶ ὁ ἕτερος μείων. Σ. Β.

Σ. 359. Ἰδρείῃ] Ἰδρείη δὲ, ἡ ἐπιστήμη, ἀπὸ τοῦ ἴδρις ἴδρεος· οὗ τὸ ἀνάπαλιν ἄϊδρις, ἀφ' οὗ ἀϊδρείη πολέμου, ἡ ἀτεχνία καὶ ἀνεπιστημοσύνη. Ε.

Σ. 361. Ῥοῖζον καὶ δοῦπον] Ὁ δὲ ῥοῖζος ὅτι τραχυφωνότερός ἐστι τοῦ δούπου, δῆλόν ἐστι. Ε. — καλῶς δὲ ἐπὶ μὲν τοῦ ταχέος καὶ κούφου ῥοῖζόν φησι, ἐπὶ δὲ τοῦ βραδέος καὶ βαρέος δοῦπον. Σ. Β.

Σ. 362. Ἑτεραλκέα] Ἴδ. Η, 26.

Σ. 363. Ἀνέμιμνε] Τὸ δὲ ἀνέμιμνεν οὐ πάντη λύει τὴν τοῦ Ἕκτορος φυγὴν, ἀλλὰ μᾶλλον βεβαιοῖ· οὐ γὰρ ἔμεινεν ὁ Ἕκτωρ, ὡς ἐξ ἀρχῆς, ἀλλ' ἀνέμενεν, ἤγουν ὑποχωρήσας μικρὸν, πάλιν ἔμενε· τοῦτο γὰρ ἡ ἀνὰ πρόθεσις ἐνταῦθα δηλοῖ. — Σάω] Τὸ δὲ σάω ποιητικῶς ἀποκέκοπται ἐκ τοῦ σάωζεν, ὅ ἐστιν ἔσωζεν· ἵνα κατὰ μὲν τὸ ἀναύξητον, ἰωνίζηται ἡ λέξις· κατὰ δὲ τὴν ἀποκοπὴν, αἰολίζηται. Ε.

Σ. 367. Πέραον] Ἤγουν ἀτάκτως καὶ δυσδαιμόνως καὶ ἀκόσμως διεπέρων τὴν τάφρον, ὡς φεύγοντες· ὅπερ ἐκεῖνος ἔφη, οὐ

НБ СПбГУ імені І.І. Мечникова

κατὰ κόσμον φεύγεται· ταὐτὰ γὰρ ὥσπερ μοῖρα καὶ κόσμος, οὕτω καὶ τὸ οὐ κατὰ μοῖραν, καὶ τὸ οὐ κατὰ κόσμον. Ε.

Σ. 371. Ἄξαντ'] Ἄξαντες (ἄξαντε) ὅ ἐστι κλάσαντες, θραύσαντες ἐν κ.τ.λ. (ἴδ. Ζ, 40). Ε. — πρὸς τὰς συνωρίδας, αἷς ἐχρῶντο Τρῶες, τὸ δυϊκόν· πρώτῳ δὲ ῥύμῳ, τῷ ἄκρῳ πρὸς τὸν ζυγόν· οἱ δὲ, τῷ πρὸς τὸν ἄξονα. Σ. Β.

Σ. 372. Σφεδανόν] Ποιητικὴ μὲν λέξις—δηλοῖ δὲ τὸ ἠπειγμένον ἀπὸ τοῦ σεύδειν.

Σ. 375. Τανύοντο] Ἐπιτεταμένως ἔτρεχον. Σ.

Σ. 379. Ἀνεκυμβαλίαζον] Ἀντὶ τοῦ ἀνεκρότουν ἢ ἀνεπήδων· μετήνεκται δὲ ἡ λέξις ἀπὸ τῶν ἠχητικῶν κυμβάλων, ἅπερ ἀναπηδᾷ ἐν τῷ προσκρούεσθαι ἀλλήλοις· οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ ῥῆμα βομβῶδες ὂν, ἔμφασιν ἔχει τῆς μετὰ ἤχου τῶν ἁρμάτων ἀνατροπῆς· ἢ καὶ ἄλλως ἀνεκυμβαλίαζον, ἀντὶ τοῦ, τῇ μὲν προσηράσσοντο ἀλλήλοις, τῇ δὲ διΐπταντο μετὰ ἤχου, καθ' ὁμοιότητα καὶ τοῦτο κυμβάλου· ἢ ἀνετρέποντο ἄνω κάτω γινόμενοι κατὰ ὁμοιότητα τῶν πιπτόντων κυμβάχων. Ε. (ἴδ. Ε, 586. καὶ Ο, 536. — ἀνεκρότουν, ἀνετρέποντο. Σ.

Σ. 382. Ἐπὶ δ' Ἕκτορι] Ἀντὶ τοῦ, κατὰ Ἕκτορος. Ε.

Σ. 384. Βέβριθε χθών] Τὸ δὲ βέβριθε χθὼν, πολλὴν ἐπομβρίαν δηλοῖ, ὡς βαρυτέρας τηνικαῦτα γινομένης τῆς γῆς, καὶ μάλιστα τῆς μελαίνης τῷ δι' αὐτῆς ῥέοντι πολλῷ ὕδατι. Ε.

Σ. 385. Ὀπωρινῷ] Ὀπώρα δὲ, ὥρα, ἣ συνεχές ἐστι τὸ φθινόπωρον· — πάντως δὲ ὀπωρινὸν ὄμβρον, ὅ ἐστι θερινὸν παρέλαβεν ἐνταῦθα, πρὸς ἔνδειξιν τῆς παρὰ τοῖς ἀδίκοις θεομηνίας, εἰ καὶ ἐν θέρει κατακλύζονται οἱ τοιοῦτοι, ὅτε σπάνιος ὑετὸς καὶ μάλιστα ὁ λαυρότατος· ἡ γὰρ ἐν ἄλλαις ὥραις ἐπομβρία οὐ πάνυ δοκεῖ παράδοξος· λαυρότατον δὲ διὰ τοῦ ῡ γραπτέον, ἴσως ἀπὸ τοῦ λα ἐπιτατικοῦ καὶ τοῦ ῥέειν. — Λαβρότατον] Λάβρος μέντοι διὰ τοῦ ¯β, ὁ λίαν βορὸς ἢ βαρύς· ὅτι δὲ καὶ διὰ τοῦ βῆτα γραφῆναι τὸ λαβρότατον ὕδωρ ὀρθῶς ἔχει, προδεδήλωται (Ο, 625. σελ. 1033)· — καὶ σημείωσαι, ὅτι πρὸς μόνον τὸ στενάχοντο ἡ παραβολὴ, τὸ ἀπὸ συντονίας δρόμου γινόμενον· — τὰ δὲ λοιπὰ τῆς παραβολῆς ἐκφραστείδιόν τε ἔχει μεγάλου κατακλυσμοῦ, καὶ αἰτίαν αὐτοῦ ἠθικὴν, καὶ διδασκαλίαν εὐθυδικίας· ἢ ἐναντίον τὸ, σκολιὰς κρίνειν θέμιστας· δῆλον δὲ, ὅτι τε σεμναὶ πάντως αἱ τῆς εἰρημένης παραβολῆς ἔννοιαι· τοιαῦται γὰρ αἱ τῶν μεγάλων καὶ θείων πραγμάτων ἐκφράσεις καὶ αἱ ἠθικαὶ

НБ ОНУ імені І.І. Мечнікова

παιδεύσεις καὶ ὅτι σκοπὸς αὐτῇ, τοῦτο καὶ μόνον δηλῶσαι, ὡς αἱ Τρωϊκαὶ ἵπποι οὕτω ἔστενον ἀσθμαίνουσαι τῷ συντόνῳ δρόμῳ τῷ ἐκ τοῦ διώκεσθαι, καθὰ ἐν δεινῷ κατακλυσμῷ τῷ ἐκ θεομηνίας χαράδραι μεγάλα στενάχουσι ῥέουσαι. Ε.

Σ. 387. Οἳ βίῃ εἰν κ.τ.λ.] Ὅρα δὲ καί, ὡς οὐ δι' ἄλλην κακίαν κατακλύζεσθαί φησι γῆν, ἢ διὰ ἀδικίαν· ὡς ταύτην οὖσαν τῶν ἄλλων χειρίστην. Ε. (ἴδ. Ἡσιόδ. ἔργ. 221).

Σ. 390. Κλιτῦς] Κλιτῶς δὲ κατὰ τοὺς παλαιοὺς τὰ ἀποκλίματα ἐξέχοντα τῶν ὀρέων, παρὰ τὸ κεκλίσθαι· — οἱ προκεκλιμένοι καὶ προνενευκότες ἐν ἄκρῳ τινὶ τόποι, οὓς αἱ χαράδραι παρατρώγουσαι καταῤῥίπτουσι. Ε. — Χαράδραι] Ἴδ. Δ, 454.

Σ. 392. Ἐπὶ κὰρ] Τὸ δὲ ἐπὶ κὰρ ἔστι μὲν ἀντὶ τοῦ ἄνωθεν κάτω καὶ οἷον ἐπὶ κάρη, κατὰ ἀποκοπήν. Ε. — αὐτὸ δὲ τὸ κάρη τοῦ κάρηνόν ἐστιν ἀποκοπή. Σ. Β.

Σ. 394. Ἐπέκερσε] Ἀπέτεμεν. Σ. ἀπέκερσε.

Σ. 395. Ἔεργε] Συνήλαυνε. — Παλιμπετές] Εἰς τὰ ὀπίσω πεπτωκότας. Σ.

Σ. 398. Μεταΐσσων] Μεταδιώκων. Σ. — Ἀπετίνυτο ποινήν] Ἀντὶ τοῦ πολλοὺς Ἕλληνας ἐξεδίκει, καὶ οὕτως οἱ Τρῶες ἐτίνυον, ἣν ἐχρεώςουν ποινὴν ὑπὲρ τῶν ἤδη ἀνῃρημένων Ἀχαιῶν. Ε. — δίκην εἰσεπράττετο. Σ.

Σ. 401. Ὁ δέ] Ἤγουν Πάτροκλος. Ε.

Σ. 403. Ἀλείς] Ἀλεὶς (Εὐστάθ.) ὅ ἐστι συστραφείς, συσταλείς. Ε. — συστραφεὶς ἐν ἑαυτῷ ἀπὸ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως. Σ. Β.

Σ. 404. Ἠΐχθησαν] Ὡρμήθησαν. Σ.

Σ. 406. Ὡς ὅτε τις φώς] Ἐπαινοῦσι δὲ οἱ παλαιοὶ τὴν ῥηθεῖσαν παραβολήν, διὰ τὸ παντάπασιν ὅμοιον, καὶ ὅλον διόλου προσαρμόζον τῷ ὑποκειμένῳ πράγματι. Ε.

Σ. 407. Ἱερὸν ἰχθύν] Λέγει δὲ ἱερὸν ἰχθῦν, κατά τινας, ὧν καὶ Ἀριστοτέλης, τὸν ἀνθίαν, οἷα σημαντικὸν ὄντα, τοῦ ἄθηρον εἶναι τὴν θάλασσαν· ἐπεὶ ὅπου ἀνθίας, ἐκεῖ οὐκ ἔστι θηρίον θαλάσσιον· ᾧ σημείῳ χρώμενοι, κατακολυμβῶσιν ἀδεῶς οἱ σπογγεῖς, καὶ τὸν ἰχθῦν διὰ τοῦτο καλοῦσιν ἱερόν· ἱστοροῦντες καὶ ἄριστον εἶναι αὐτὸν ἐν χειμῶνι, καὶ εἰς ταὐτὸν ἄγοντες, ἀνθίαν, καὶ κάλλιχθυν, καὶ καλλιώνυμον, καὶ ἔλλοπα· ὅπερ ἀν-

НБ ОНУ імені І.І. Мечникова

τιλέγεται. Ἄλλος δέ τις φασὶ ποιητὴς ἱεροὺς ἰχθύας τοὺς δελφῖνας λέγει, ὧν ἱκανὰ σεμνώματα παρὰ τοῖς παλαιοῖς πεζολόγοις τε καὶ ποιηταῖς. Θεόκριτος δὲ ἐν Βερενίκῃ ἄλλο τι βούλεται, εἰπὼν ἱερὸν ἰχθὺν, ὃν λεῦκον ἢ γλαῦκον καλέουσι· ὃ γὰρ θ' ἱερώτατος ἄλλων. Ἕτεροι δὲ τὸν χρύσοφρυν ἱερόν φασιν ἰχθὺν, ὡς καὶ Καλλίμαχος ἐν Γαλατείᾳ, εἰπών· χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθύν· ἔνιοι δὲ τὸν πομπίλον, ὡς Τιμαχίδας, φάμενος, πομπίλιοι ἱεροὶ ἰχθῦς, ὡς οἷα σωτῆρες τῶν ναυτιλλομένων. Τινὲς δὲ τὸν κάλλιχθυν· ἄλλοι δὲ ἱερόν φασιν ἰχθὺν, μέγαν καὶ ἀσυνήθη τινὰ καὶ ἄνετον. Ε. — μέγαν. Σ.

Σ. 408. Θύραζε] Ἁπλῶς τὸ ἔξω. — Λίνῳ] Λίνον δὲ νῦν ἔφη τὴν ἐκ λίνου ὁρμίαν· — ὡς ἐπὶ πολὺ δὲ τὸ δίκτυον οὕτω λέγεται. — Ἤνοπα] Ἤνοπα δὲ χαλκὸν ἢ αὐτὸ λέγει τὸ ἄγκιστρον, ἢ τὸν πρὸ τοῦ ἀγκίστρου χάλκειον αὐλόν· ὡς γὰρ οἱ παλαιοί φασιν, αἱ λιναὶ ὁρμιαὶ συρίγγια εἶχον ἐνημμένα χαλκᾶ ἢ κεράτινα, ἵνα μὴ ἀποτρώγωσιν οἱ ἰχθύες τὸ λίνον — Ἤνοπα] Τὸν διαυγῆ, παρὰ τῷ ἐνόπτῳ. Ε.

Σ. 410. Κατέωσεν ἐπὶ σῶμα;] Ἤγουν, πρηνῆ κατέῤῥιψεν. Ε.

Σ. 411. Βάλε πέτρῳ] Νοητέον, ὅτι λίθους εἶχε καὶ ὁ Πάτροκλος ἐπὶ δίφρου, κατὰ τὸ σιωπώμενον. Ε.

Σ. 414. Θυμοραϊστής] Ἴδ. Ν, 544.

Σ. 419. Ἀμιτροχίτωνας] Ἀμιτροχίτωνας τοὺς τοιούτους λέγει, οὐχ ὡς ἀζώστους κατὰ τοὺς πρὸ ὀλίγων εἰρημένους· οὐδέποτε γὰρ μίτρα παρὰ τῷ ποιητῇ ἁπλῶς ἡ ζώνη, ἀλλὰ τοὺς μὴ ὑποζωννυμένους μίτρας τοῖς χιτῶσιν, ὅ ἐστι τοῖς θώραξιν, ἀλλὰ ἅμα τῷ θώρακι συνηρτημένην ἔχοντας καὶ τὴν μίτραν, καὶ οὐ συμβλητὴν κατὰ τοὺς πολλούς· ὥστε τὸ ᾱ ἐνταῦθα καὶ στέρησιν δύναται δηλοῦν διὰ τὸ μὴ ὑποζώννυσθαι μίτρας, καὶ ἀντὶ τοῦ ἅμα δὲ λαμβάνεται διὰ τὸ ὁμοῦ τῷ θώρακι συνηρτῆσθαι αὐτάς. Τὸ δὲ λέγειν, μὴ ἔχειν τὸ ἔθνος τῶν Λυκίων μίτρας καὶ χιτῶνας, ἀπίθανον. — Ὅτι δέ τις μίτρα καὶ περὶ κεφαλὴν ἦν, δηλοῖ ὁ γράψας, μίτραις εἱλίξατο τὰς κεφαλὰς οὐ πολεμικαῖς δηλαδὴ ἀλλά τισι ζωνοειδέσιν. Ε. (Ἴδ. Δ, 137).

Σ. 422. Νῦν θοοὶ ἐστέ] Ὀνειδίζει δὲ ὁ λόγος, τοὺς ἀνδρίζεσθαι μὲν βραδεῖς, ὀξυκινήτους δὲ φεύγειν. Εὐστάθ. — ἀγαθοὶ καὶ ταχεῖς εἰς τὸ πολεμεῖν γίνεσθε· — καιρίως δὲ κεῖται τὸ νῦν, οἷον, εἰ καὶ πρότερον ἐφεύγετε, νῦν ἐπιστρέψατε ἑαυτούς. Σ. Β.

Σ. 428. Γαμψώνυχες] Ἐπικαμπεῖς ὄνυχες ἔχοντες. Σ. — περὶ δὲ τοῦ ἀγκυλοχεῖλαι, ῥητέον καὶ ὅτι ὅπως ἂν καὶ παραχθείη ὁ ἀγκυλοχείλης, ἔχει ἀντιλογίαν. Εἰ μὲν γὰρ ἀγκυλοχείλης λεχθείη ὁ ἔχων ἀγκύλας χηλὰς ἤτοι ὄνυχας, ὡς τραπέντος τοῦ η εἰς τὴν ει δίφθογγον Βοιωτῶν ἔθει, ἀνάκριβες τὸ τῆς ἐτυμολογίας· ἐπειδὴ χηλὴ ἐπὶ ζώων κυριολεκτεῖται πεζῶν, ἃ καὶ διχηλὰ λέγεται· ἄλλως τε καὶ προείληπται ὁ νοῦς οὗτος ἐν τῷ γαμψωνυχές· — εἰ δὲ ἀγκυλοχείλης εἴη, ὁ ἔχων ἀγκύλα χείλη, ἔχει τι καὶ οὕτω πρόσαντες ἡ ἑρμηνεία· ἐπὶ γὰρ ἀετῶν ῥάμφος οὐ χεῖλος λέγεται· καὶ ὅμως κάλλιον τοῦτο, ἤπερ τὸ πρότερον· ἡ γὰρ λέξις τοῦ ῥάμφους τῶν ὑστέρων ἐςί. Ε.

Σ. 435. Διχθὰ δέ μοι κραδίη μέμονε] Παράφρασίς ἐστι τοῦ, ἐν δὲ οἱ ἦτορ στήθεσσι διάνδιχα μερμήριξε. (Α, 189.) Ε. — Μέμονε] Διανοεῖται. Σ.

Σ. 438. Ἢ ἤδη ὑπὸ χερσὶ—δαμάσσω] Συντέτακται καὶ νῦν τὸ ἤδη μέλλοντι, ἀνακολούθως τῇ χρήσει τῶν ὕστερον Ἀττικιστῶν, ὧν ἐστι καὶ ὁ Λουκιανός. Ε.

Σ. 442. Θανάτοιο . . . ἐξαναλῦσαι] Τὸ δὲ θανάτου ἐξαναλῦσαι ἀφορμή ἐστι τοῦ τῶν μοιρῶν μίτου· ἐπὶ τοιούτων γὰρ τὸ ἀναλύειν κυριολεκτεῖται· ὡς δῆλον καὶ ἐκ τοῦ τῆς Πηνελόπης ἱστοῦ, ὃν ἐκείνη ἀνέλυεν. Ε.

Σ. 443. Ἕρδ'! ἀτὰρ οὔ τοι κ. τ. κ.] Τὸ δὲ ἕρδ'· ἀτὰρ οὔ τοι κ. τ. λ. πολλὴν παριστᾷ δύναμιν· δηλοῖ γὰρ ὡς ἀντιπράττειν μὴ δυνάμενοι, μόνον γογγύζομεν. Ε.

Σ. 449. Κότον] Νῦν φιλονεικίαν. Σ.

Σ. 456. Ταρχύσουσι] Θάψουσι. Σ. — ταρχύσαι, τὸ ἐνταφιάσαι. Ε.

Σ. 459. Αἱματοέσσας . . . ἔραζε] Ὅτι αἱματοέσσας ψιάδας κατέχευεν ἔραζε παῖδα φίλον τιμῶν ὁ Ζεύς· καὶ ἔστιν ἡ τερατεία τῇ ποιότητι τοῦ προσώπου ἁρμόζουσα, καὶ κάλλιον ἐνταῦθα κεῖται, ἤπερ ἐν τοῖς πρὸ τούτων. Διὸς γὰρ υἱὸς ὁ πενθούμενος, φίλτατος, ὡς προεῤῥέθη ἀνδρῶν· διὸ καὶ συνάχθεται τῷ Διῒ τὸ πᾶν. Ε. — Ψιάδας] Ψεκάδας, δρόσους. Σ.

Σ. 465. Νείαιραν] Ἢ τὴν ἐσχάτην κατὰ βάθος, διὸ καὶ θνήσκει ὁ τοιοῦτος, ἢ δι' ἧς νέονται τὰ σιτία. Ε.

Σ. 468. Ἄισθων] Ἀλγῶν, ἐκπνέων. Σ. (ἴδ. Ο, 252.).

Σ. 469. Μακών] Ἀντὶ τοῦ εἰς μῆκος ἐκταθείς, ἢ ποιὸν



НБОНУ імені І.І. Мечникова

ἦχον ἀποτελέσας· ἐξ οὗ ἤχου καὶ τὸ μηκᾶσθαι. Ε. — μυκησάμενος, φθεγξάμενος βαρύ. Σ.

Σ. 470. Κρίκε δὲ ζυγόν] Τὸ δὲ κρίκε ζυγὸν, ἀντὶ τοῦ ἔτριξε κατὰ ὀνοματοποιΐαν· διὸ καὶ τρίγε τινὲς αὐτὸ ἔγραψαν ὡς δεύτερον ἀόριστον. Ε. — ἐψόφηκεν. Σ.

Σ. 471. Παρήορος] Ὁ ἔξω τοῦ ζυγοῦ ἵππος, παράσειρος λεγόμενος. Σ.

Σ. 474. Οὐδ' ἐμάτησε] Οὐδὲ ἐματαιοπράγησεν, ἢ ἠμέλησεν. Σ.

Σ. 475. Ἰθυνθήτην] Ἐπ' εὐθείας ἔστησαν τεταγμένοι. Σ. — Ῥυτῆρσι] Χαλινοῖς, ἡνίαις· παρὰ τὸ ἐρύειν, ὅ ἐστιν, ἕλκειν· — Τάνυσθεν] Ἀπευθύνθησαν. Σ.

Σ. 481. Φρένες ἔρχαται] Ἤγουν καθείργνυνται ἀμφ' ἀδινὸν κῆρ, ὅ ἐστι περὶ τὴν καρδίαν· ὅπερ ἀδινὸν λέγει διὰ τὴν τοῦ σπλάγχνου πυκνότητα· πυκνὴ γὰρ καὶ νευρώδης ἡ καρδία. — γέγονεν οὖν ἡ πληγὴ κατὰ τὸ διάφραγμα, ὃ καλεῖται φρένες, ἤγουν κατὰ τὸ ὑπὸ τὸν πνεύμονα διάζωμα τοῦ θώρακος. Εἰ δὲ πληγεὶς ἐνταῦθα ὁ Σαρπηδὼν φθέγγεται, δοτέον μὲν αὐτὸ τῇ ποιητικῇ ἀδείᾳ. Φασὶ δὲ οἱ παλαιοὶ, καὶ μηδὲν εἶναι τοῦτο θαῦμα· θάτερον γὰρ μέρος τοῦ πνεύμονος ὑπὸ τῶν ὑμένων σκεπόμενον, ἀπαθὲς μένει· φασὶ δὲ καὶ ὅτι τοῖς τὰς φρένας τρωθεῖσιν ἕπεται μεῖζόν τε ἐρεύγεσθαι καὶ τὰς ἐκπνοὰς μεγάλας ποιεῖσθαι· διὸ βεβρυχέναι τε καὶ στενάχειν ἐν τῷ κεῖσθαι, λεχθήσεται ὁ Σαρπηδών. Ε.

Σ. 482. Ἀχερωΐς] Ἴδ. Ν, 389.

Σ. 484. Νεήκεσι] Ἴδ. Ν, 391.

Σ. 486. Βεβρυχώς] Ἴδ. Ν, 393.

Σ. 487. Ἠΰτε ταῦρον ἔπεφνε λέων κ. τ. λ.] Ἡ πρώτη εἰκὼν πρὸς τὸ πῶμα, καὶ τὴν ἐπιπολὺ ἔκτασιν· ἡ δὲ δευτέρα πρὸς τὴν στοναχήν· ἅμα δὲ καὶ παραβέβληται τῇ τοῦ Σαρπηδόνος πρὸς τοὺς ἄλλους Τρῶας ὑπεροχῇ, ὡς ταύρου ἐν ἀγέλῃ βοῶν. Σ. Β.

Σ. 491. Μενέαινε] Νῦν, ἐλειποψύχει· ἀλλαχοῦ δέ φησι· νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν, ἀντὶ τοῦ, ὀργιζόμεθα. Καὶ, μενέαινεν κῆδος ἀρέσθαι, ἀντὶ τοῦ, προεθυμεῖτο. Σ.

Σ. 494. Ἐελδέσθω] Ἐπιθυμείτω. Σ. — ἐν ἐπιθυμίᾳ γενέσθω. Σ. Β. — Εἰ θοός ἐσσι] Πολεμιστὴς δηλαδὴ, καὶ μὴ θοὸς φεύγειν. Ε. (ἴδ. στ. 422.).

Σ. 496. Σαρπηδόνος ἀμφιμάχεσθαι] Τὸ δὲ Σαρπ. ἀμφιμά-

НБ ОНУ імені І.І. Мечникова

γεσθαι ἔχει τι οἴκτου κατὰ ἀναφορὰν, οἱονεὶ τοῦ ᾀδομένου, τοῦ ἐνδόξου, τοῦ εὐγενοῦς, τοῦ ἀνδρείου. Ε.

Σ. 498. Κατηφείη καὶ ὄνειδος] Τὸ μὲν οἴκοθεν αὐτοῦ δὴ τοῦ Γλαύκου πάθος ἔσται, τὸ δὲ ἐξ ἄλλων. Ε. — ἐνάρετος δὲ ὁ ἥρως, οὐ τὸν θάνατον αἰδούμενος, ἀλλὰ τὸ τὰ λάφυρα καταλεῖψαι τοῖς πολεμίοις. Σ. Β.

Σ. 500. Νεῶν ἐν ἀγῶνι] Ἐν τῷ ἀθροίσματι τῶν νηῶν. Σ. — ἄμεινον παροξυτόνως ἀναγινώσκειν νέων· οὐ γὰρ παρὰ ταῖς ναυσὶν ἐστιν ὁ κίνδυνος νῦν· ἔστι δὲ ὅμοιον τῷ, νέων δ' ἀλάπαζε φάλαγγας. Σ. Β.

Σ. 501. Ἔχεο] Ἀντέχου τῆς μάχης καὶ προΐστατο (ἀνάγν. προΐστασο). Σ.

Σ. 502. Τέλος θανάτοιο] Συγκαταλύει τῷ λόγῳ τὴν ζωήν. Ε.

Σ. 503. Ὀφθαλμοὺς ῥῖνας θ'] Ὀφθαλμοὺς ῥῖνας δέ· ὧν τὸ μὲν τὴν ἀργίαν δηλοῖ τοῦ ὁρᾶν, τὸ δὲ τὴν τοῦ ἀναπνεῖν. Ε.

Σ. 506. Φυσιόωντας] Τοὺς πνευστιῶντας. Ε.

Σ. 507. Λίπεν ἅρματ' ἀνάκτων] Διὰ τοῦ ε ἔλιπεν· τὸ γὰρ ἑξῆς ἐστιν, ἐπειδὴ τὰ ἅρματα ἐλείφθησαν τῶν ἀνάκτων, τουτέστιν, ἠρημώθησαν. Σ. Β. — ἀνακτῶν· δεσποτῶν. Σ. — Λίπεν] Ὃ καὶ προγέγραπται, ὅπου ἐν πρώτῳ ῥυμῷ ἵπποι κατέαξαν τὰ τοιαῦτα καὶ ἀνάμνησιν τῶν φθασάντων τίθεται, καὶ τριῶν τούτων ὄντων, ἁρμάτων, ἵππων, καὶ Λυκίων ἁρματηλατῶν, μόνους ἵππους περισεσῶσθαι ἱστορεῖ, τὸ οἴκτιστον. Ε.

Σ. 511. Ἐπεσσύμενον] Ὅτε δηλαδὴ κατὰ τοῦ τείχους ἔβαινεν. Ε.

Σ. 514. Λυκίης] Τὸ δὲ ἐν Λυκίᾳ νῦν τὸν Ἀπόλλωνα τυχὸν διατρίβειν, κατ' ἐξαίρετον ἔφη, ὡς τοῦ Ἀπόλλωνος ἐκεῖ μάλιστα διαφερόντως τιμωμένου.

Σ. 515. Πάντοσ' ἀκούειν] Ταὐτὸν τὸ πάντοσε καὶ τὸ πάντῃ — τὸ δὲ ἀκούειν ἐνταῦθα ἴσως καὶ ταὐτόν ἐστι τῷ ὑπακούειν καὶ πείθεσθαι. Ε.

Σ. 516. Κηδομένῳ] Ἀνιωμένῳ, λυπουμένῳ. Σ.

Σ. 518. Ἐλήλαται] Διαπέπαρται. Σ.

Σ. 519. Τερσῆναι] Τὸ δὲ αἷμα τερσῆναι, ἀντὶ τοῦ ξηρανθῆναι, κατὰ σημασίαν παθητικήν· οὐ ἀνάπαλιν μετ' ὀλίγα ἔχει τὸ, αἷμα μέλαν τέρσηνεν, (στ. 529.) ἀντὶ τοῦ ἐξήρανε. Ε. — βαρύθει· βαρύνεται. Σ.

Σ. 520. Ἔμπεδον] Ἤγουν βεβαίως. Ε.



НБ імені І. І. Мечникова

Σ. 524. Κοίμησον δ' ὀδύνας] Ταὐτὸν τῷ, παῦσον ὀδύνας, ὡς ὁ ποιητὴς ὑποκαταβὰς ἑρμηνεύει· ὅτι δὲ καὶ τὸ τοιοῦτον κοιμῆσαι τῷ η παραλήγεται, ἀλλαχοῦ δηλοῦται. (Μ, 281.). Ε. — Αἰολικὸν κοίμησον, ἀπὸ τοῦ κοίμισον. Σ. Β. — Κοίμισον] Νῦν κατάπαυσον. Σ.

Σ. 527. Ἔκλυε] Τὸ ἔκλυε ἀντὶ τοῦ ἐπήκουσεν· οὐδέποτε γὰρ ἐπὶ ψιλῆς ἀκοῆς τάσσει τὸ ῥῆμα. Σ. Β.

Σ. 530. Γήθησέν τε] Οἷα μαθὼν ἐντεῦθεν θεοφιλὴς εἶναι. Καὶ ὅρα καὶ νῦν, ὡς οὐ κατὰ τοὺς ἐν Ἕλλησιν ἀθέους, καὶ τοὺς Περιπατητικοὺς λήρους, ἀργὰ δοξάζει τὰ τῆς εὐχῆς Ὅμηρος, ἀλλὰ τὰς εὐλόγους εὐχὰς εἰσακουομένας ποιεῖ· καὶ οὐχ ἁπλῶς, ἀλλὰ αὐτίκα καὶ ὦκα. Ε.

Σ. 542. Εἴρυτο] Ἔσωζε, εὐδικίᾳ καὶ δυνάμει ἰδίᾳ. Σ.

Σ. 545. Ἀεικίσσωσι] Τὸ ἀεικίσσωσιν, ἐκ τοῦ ὑβρίσωσιν· αἰκία δὲ οὐχ ἡ ὕβρις μόνον, ἀλλὰ καὶ τὸ αἶσχος. Σ. Β.

Σ. 548. Κατάκρηθεν] Ἤγουν κατάκρης, ὡς ἀλλαχοῦ κεῖται, ἢ κατακρῆθεν περισπωμένως, ἀντὶ τοῦ κατὰ κάρηθεν, καὶ ἐν συγκοπῇ κατακρῆθεν, ὅ ἐστι κατὰ κεφαλῆς λάβε πένθος. Ε.

Σ. 549. Ἕρμα] Ἕρμα αὐτόν φησι, ὡς ἐρύοντα, ὅ ἐστι φυλάσσοντα τὴν Τροίαν. Ε. — τὸ σήκωμα τῆς νεὼς, πρὸς τὸ μὴ ἀνατρέπεσθαι ἐν τῷ πεσεῖν. Σ. Β.

Σ. 552. Λελιημένοι] Συστραφέντες, προθυμηθέντες. Σ. ἐπιθυμοῦντες μάχης. Ε.

Σ. 554. Λάσιον κῆρ] Ἴδ. Β, 851. καὶ Α, 189.

Σ. 557. Οἷοί περ πάρος] Πρὸς τοὺς πόνους προθυμίαν ἐργάζεται τῶν προπεπονημένων ἡ μαρτυρία. Σ. Β.

Σ. 559. Ἀλλ' εἴ μιν] Ὅτι ἔξωθεν προσυπακουστέον τὸ καλῶς ἂν ἔχοι, εἰ αὐτὸν ἀνελόντες ἀεικισσαίμεθα. — ὅπερ σπεύδει δρᾶσαι, τοῦτο αὐτὸς κινδυνεύει παθεῖν ὑφ' Ἕκτορος, ὡς κἀκεῖνος ὑπὸ Ἀχιλλέως. Σ. Β.

Σ. 565. Σύμβαλον] Κεῖται δ' ἐνταῦθα καὶ τὸ συμβάλλειν ἐπὶ πολέμου, ἐξ οὗ ἡ μάχιμος συμβολή. Ε.

Σ. 567. Ἐπ' νύκτ' ὀλοήν] Σημείωσαι δὲ, ὅτι τολμηρῶς νύκτα ἔφη τὴν ἐξ ἀέρος ἐν ἡμέρᾳ ζόφωσιν· — τὴν τῆς μάχης πύκνωσιν νυκτὶ ἀπεικάζει, ὥς που καὶ νέφος αὐτὴν ἐρεῖ. Ε.

Σ. 569. Ἑλίκωπας] Ἴδ. Α, 389.

НБ ОНУ імені І.І. Мечникова

Σ. 570. Οὔτι κάκιστος ἀνήρ] Τουτέστιν ἀνδρεῖος καὶ ἄριςος, διὰ τῆς ἄρσεως τὴν ἐναντίαν θέσιν δηλῶν. Ε.

Σ. 572. Ἐν Βουδείῳ] Βούδειον δὲ πόλις φασὶ Βοιωτικὴ ἀπὸ Βουδείας Βοιωτίας μητρὸς Ἐργίνου τοῦ καὶ παρὰ Πινδάρῳ περιᾳδομένου. Ὁ δὲ τὰ ἐθνικὰ γράψας, Ὁμηρικὸν εἶδε σχηματισμὸν τὸ Βούδειον· ἄλλως δὲ Βούδειαν ἱστορεῖ πόλιν ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην, ἀπὸ τοῦ οἰκίσαντος Βουδείου· καὶ Βούδειαν λέγων Ἀθηνᾶν ἐν Θεσσαλίᾳ· εἰς ὃ καὶ παραφέρει τὸν Λυκόφρονα μάρτυρα. Ὁ δ' αὐτὸς καὶ ἑτέραν Βούδειαν ἱστορῶν πόλιν Φρυγίας λέγει, ὡς καὶ ἔθνος ἐστί τι Μηδικὸν οἱ Βούδειοι· — τινὲς δέ φασι Βούδειον πόλιν Φθίας ἀπὸ Βουδείου, υἱοῦ Ἄργου· ἀρέσκει δὲ τοῦτο οὐ πάνυ τοῖς παλαιοῖς· ὁ γὰρ Βουδειεύς φασιν οὗ ἐνταῦθα μέμνηται Ὅμηρος, πόῤῥωθέν ποθεν εἰς τὸν Πηλέα ἱκετεύσας φαίνεται, καὶ οὐκ ἀπὸ Θεσσαλικοῦ τόπου· ἄλλως μέντοι, δοκεῖ καὶ πόλις εἶναι Θετταλικὴ τὸ Βούδειον. Ε.

Σ. 574. Ἐς Πηλῆ' ἱκέτευσε] Ἀντὶ τοῦ πρὸς Πηλέα. Σ. — ἤγουν ἱκέτης ἦλθε. Ε.

Σ. 583. Ψῆράς τε] Οἱ δὲ ψῆρες καὶ ψᾶρες λέγονται· ἄμφω δὲ γίνεται ἀπὸ τοῦ ψαίρειν· διακινοῦσι γὰρ τὰ παραπίπτοντα οἱ ψᾶρες ἐν τῷ διαχάσκειν καὶ ζητεῖν τροφήν τινα κάτωθεν. Ε.

Σ. 584. Ἱπποκέλευθε] Καὶ νῦν κατ' ἐξοχὴν, ὁ ἡνιοχικώτατος. Ε. (ἴδ. στ. 126).

Σ. 589. Αἰγανέης] Ἔστι δὲ αἰγανέα οὐχ ἁπλῶς δόρυ, ἀλλὰ ἐλαφρὸν καὶ μακρὸν, λεγομένη οὕτω, διὰ τὸ κατὰ αἰγῶν ἢ ἄγαν ἵεσθαι· — τὸ δὲ εἰπεῖν αἰγανέη ταναὸς, ἀττικόν ἐστι καὶ ἰωνικόν. Ε. — Ταναοῖο] Εἰς μῆκος τεταμένης, μακρᾶς. Σ.

Σ. 590. Πειρώμενος] Τὸ δὲ πειρώμενος, ἐλλιπῶς ἔχει· καὶ καὶ ἴσως λείπει τὸ ἑαυτοῦ, ἢ τῆς οἰκείας ἰσχύος. Ε.

Σ. 591. Θυμοραϊστέων] Ἴδ. Ν, 544.

Σ. 594. Ἐτράπετο] Καί ἐστι καινὸς ἀριστείας τρόπος, ὅτε ὁ φεύγων ἀνελεῖ τὸν διώκοντα. Ε.

Σ. 595. Ἑλλάδι] Ἑλλὰς, πόλις Θεσσαλίας· ἧς οἱ πολῖται πρῶτοι εἶχον τοῦτο, καλεῖσθαι Ἕλληνες, ἀπὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ Πύῤῥας. Ὕστερον δὲ πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν Ἕλληνες, ὀνόματι κοινῷ, ὥς φησι Θουκυδίδης ἐν τῇ ά. Πρότερον δὲ ἐκεῖνοι μόνοι Ἕλληνες ἐκαλοῦντο, οἱ δὲ ἄλλοι

κατὰ ἔθνη ἕκαστος· ὥσπερ καὶ ὁ ποιητὴς ἐν τῷ καταλόγῳ λέγει, Μυρμιδόνες δ' ἐκαλεῦντο, καὶ Ἕλληνες καὶ Ἀχαιοί. Σ. (Ἴδ. Β, 683. 684.).

Σ. 602. Μένος δ' ἰθὺς φέρον] Τὸ δὲ ἰθὺς βῆναί τινων καὶ μένος ἰθὺς φέρειν, ἐναντίον ἐστὶ πρὸς τὸ ὑποχωρεῖν καὶ ἀναχωρεῖν. Ε.

Σ. 609. Ὑπασπίδια] Ὑπὸ τὴν ἀσπίδα βαίνοντος. Σ.

Σ. 612. Ἐνισκίμφθη] Ἀντὶ τοῦ ἐπέλασεν. Ε. — ἐγκατεσχέθη, ἐνεπάγη. — Οὐρίαχος] Ἴδ. Ν, 443. — Πελεμίχθη] Διεσείσθη, ἐτινάχθη. Σ.

Σ. 617. Ὀρχηστήν περ ἐόντα] Ὅτι δὲ Πυῤῥίχη ἡ ἐνόπλιος ὄρχησις, καὶ ὅτι Κρητικὴ μάλιστα, καὶ ὅτι σεμνή, ἐν τοῖς περὶ Κουρήτων γέγραπται. Ἦν δὲ καὶ σίκιννις κωμικωτέρα, ἣν πρῶτοί φασιν ὠρχήσαντο Φρύγες ἐπὶ Σαβαζίῳ Διονύσῳ, ὀνομασθεῖσαν κατὰ τὸν Ἀῤῥιανὸν ἐπὶ μιᾷ τῶν ὀπαδῶν τῆς Κυβέλλης νυμφῶν, ᾗ ὄνομα ἦν Σίκιννις. Ἰστέον δὲ καί, ὅτι κατὰ τοὺς παλαιοὺς τὴν ῥηθεῖσαν Κουρητικὴν ἢ Πυῤῥιχιακὴν ὄρχησιν οἱ πλείους μὲν εἰς Κρῆτας ἀνάγουσι· τινὲς δὲ Νεοπτολέμῳ ἀνατιθέασι τὴν αὐτῆς εὕρεσιν· ἕτερος δὲ Κάστορι, καὶ ἄλλοι Διονύσῳ· καὶ ὅτι ἐξ ἀρχῆς, ὡς ἐν τοῖς τοῦ Δειπνοσοφιστοῦ κεῖται, ὄρχησιν καὶ οἱ ποιηταὶ συνέταττον, εὐσχημοσύνης καὶ κόσμου μετέχουσαν. Καὶ ἐχρῶντο τοῖς σχήμασι, σημείοις μόνον τῶν ᾀδομένων, καὶ οὐ κατὰ τοὺς ὕστερον δρῶντες οὐδέν, ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύοντο· καὶ ἐν χοροῖς δέ, τὸ τῆς ὀρχήσεως γένος εὔσχημον ἦν καὶ μεγαλοπρεπές, καὶ τὰς ἐν ὅπλοις κινήσεις ἀπομιμούμενον. Καὶ κατὰ τὸν Σωκράτην εἰπεῖν, σχεδὸν ὥσπερ ἐξοπλισία τις ἡ χορεία ἦν, καὶ ἐπίδειξις λοιπῆς τε εὐταξίας καὶ σωμάτων ἐπιμελείας· ἃ δὴ καὶ ἡ Πυῤῥίχη πολεμικὴ κατὰ Κρήτην ὄρχησις, εἶχεν, ὃν ἔνοπλοι παῖδες ὠρχοῦντο. — Ἔτι ἰστέον, ὅτι ἡ κατὰ μάχην ὀρχηστικὴ πρὸς ἔνδειξιν ἐπετηδεύετο θάῤῥους· ἵνα δοκοῖεν οἱ οὕτω κινούμενοι καταπαίζειν τῶν πολεμίων. Καὶ ἴσως τοιοῦτόν τι καὶ τό, Ἄρηϊ μέλπεσθαι, ὡς καὶ τῆς μολπῆς θαῤῥαλεότητα ἐνδεικνυμένης καὶ ἀλυπίαν τινά· ἐπεὶ καὶ κατὰ Πλάτωνα, οὐδὲν ζῶον λυπούμενον ᾄδει· ᾄδειν δὲ πάντως καὶ μέλπειν ταὐτόν ἐστι. Ἄδειν δέ φαμεν ἄρτι, τὸ πάλαι ποτὲ σπουδαζόμενον· ὅτε σπουδή φασιν ἦν, τὸ χρηστομουσεῖν. Ὕστερον γὰρ γηρασάντων τῶν ἀρχαίων

κατεδείχθησαν· περιποιούμενοι
νόμων, τρόποι μουσικῆς φαῦλοι ἀντὶ δὲ σωφροσύνης, ἀκολα-
ἀντὶ μὲν πραότητος, μαλακίαν, σεμνωμάτων τῆς ἐναρέτου
σίαν καὶ ἄνεσιν. Πολλῶν δὲ ὄντων βραχεῖ καὶ ταῦτα. Κλει-
ἀρχαίας μουσουργίας, φέρονται ὡς ἐν ἀναλαβὼν λύραν ἐκι-
νίας ὁ Πυθαγόρειος ὅτε ἂν χαλεπαίνοι, ὡς πραΰνομαι· — καὶ
θάριζε· λέγων τοῖς ἐπιζητοῦσιν αἰτίαν, τῇ τοῦ Ἠετίω-
Ἀχιλλεὺς δὲ μόνος Ἑλλήνων τῶν ἐν Τροίᾳ, ὡς καὶ αὐτὸ
νος κιθάρᾳ κατεπραΰνατο. Θεόφραστος δὲ ἱστορεῖ, διατελεῖν,
ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται, ἰσχιακοὺς ἀνόσους ἣν παρὰ
εἴ τις τοῦ τόπου καταυλήσει τῇ Φρυγιστὶ ἁρμονίᾳ, τὸν πό-
Φρυξὶ πρῶτος εὗρεν Ὕαγνις. Ε. — εὐκίνητον κατὰ Ἐπιῤῥί-
λεμον, ὅ ἐστι, συγκεκροτημένον τὰ πολεμικὰ καλῶς. πολεμι-
χίζον γὰρ τοῖς ὅπλοις οἱ Κρῆτες πρὸς ἄσκησιν τῶν ὄρχησιν
κῶν, ὅ ἐστι, σὺν τοῖς ὅπλοις τὴν πυῤῥίχην καὶ ἔνοπλον ἥτις
ἠσκοῦντο. Τρία γὰρ εἴδη ὀρχήσεως· πυῤῥίχη· σίκιννις, (κορδα-
ἐστὶν ἱερατική (ἱερά τις Σ. Β.)· καὶ ὁ σκορδακισμὸς χω-
κισμός. Β.), αἰσχρός τις ὢν καὶ βεβήλοις (καὶ μᾶλλον
μικοῖς. Β.) ἁρμόδιος. Σ. (ἴδ. κόρδαξ. σελ. 83.).

Σ. 626. Ἐνένιπτε] Ἐπέπληξεν, ὠνείδησεν Σ.

Σ. 629. Γαῖα καθέξει] Ἤγουν πρίν τις πέσῃ. Ε.

Σ. 630. Τέλος πολέμου] Τέλος δὲ πολέμου τὴν νίκην φη-
σίν· ἣν πρὸ τούτων φῶς εἶπεν. — ὁ πόλεμος μὲν γὰρ χειρῶν
δεῖται πρὸς κατόρθωσιν· βουλὴ δὲ καὶ ἐκκλησία λόγων. Σ.

Σ. 631. Μῦθον ὀφέλλειν] Λέγει δὲ μῦθον ὀφέλλειν τὸ πο-
λυλογεῖν· καὶ ἄλλως δὲ εἰπεῖν, ἀκριτομυθεῖν· κοινότερον δὲ
φάναι, ληρεῖν. Ε.

Σ. 635. Εὐρυοδείης] Μεγαλαμφόδου, πλατείας. Σ.

Σ. 636. Ῥινοῦ τε] Οὐκ ἔστιν ἄλλο νοεῖν ῥινὸν ἐνταῦθα καὶ
ἄλλο βόας· ἀλλ' ἔστιν ὁμοῦ ῥινὸς βοῶν, βύρσα ἡ ἐπὶ ταῖς ἀ-
σπίσιν. Ε.

Σ. 638. Φράδμων] Διορατικὸς, ὀξὺς, ἢ ἔμπειρος. Ὁ δὲ λό-
γος οὐδὲ ὁ πάνυ γνώριμός φησι καὶ συνήθης τῷ Σαρπηδόνι ἠδύ-
νατο γνωρίσαι αὐτὸν, διὰ τὸ αἵματι καὶ κόνει πεφῦρθαι. Σ.

Σ. 640. Εἴλυτο] Τοῦ δὲ εἴλυτο, ὅ ἐστιν ἐκεκάλυπτο, τὸ θέ-
μα εἴλυμι, ὡς ζεύγνυμι· ἢ καὶ ἄλλως, εἰλύω· ἀφ' οὗ εἰλύετο, καὶ
κατὰ κρᾶσιν εἴλυτο. Ε.

Σ. 642. Σταθμῷ ἔνι βρομέωσι] Σημείωσαι, ὅτι τὸν ἐνταῦθα
σταθμὸν ἀλλαχοῦ σαφέστερον, ποιμνήϊον ἔφη σταθμόν· καὶ ὅτι καὶ ἐπὶ

НБ ОНУ імені І.І. Мечникова

μυιῶν ὁ βρόμος καὶ τὸ βρομεῖν τίθεται, κρεῖττον ἄρτι ὂν τοῦ βομβεῖν. — Περιγλαγέας] Τὸ δὲ περιγλαγέας, ἀντὶ τοῦ περισσῶς πληθούσας γλάγους ὅ ἐστι γάλατος· — πέλλαι δὲ, ἀγγεῖα ποιμενικὰ ὡς ἀπὸ τοῦ πεπελεκῆσθαι κατὰ τοὺς παλαιούς. Ε.

Σ. 647. Πολλὰ μάλ' — Πατρόκλου] Σημείωσαι δὲ, ὡς καὶ νῦν ὁ τοῦ κατὰ νοῦν ἐκλαμβανομένου Διὸς ἐνδοιασμὸς προέκθεσίς ἐστι ποιητική· ὁ νοῦς γὰρ κἀνταῦθα τῆς καθ' Ὅμηρον μούσης, ἤτοι γνώσεως σκέπτεται κατὰ μέθοδον δεινότητος τεχνικῶς, πῶς ἂν τὸν λόγον μεταχειρίσηται· καὶ κρίνας, προαναφωνεῖ κάλλιον εἶναι μὴ νῦν ἀνελεῖν τὸν Πάτροκλον, ἀλλ' ἐᾶσαι καὶ εἰσέτι ἀριστεῦσαι, ἵνα τῶν νηῶν αὐτὸν πολὺ ἀποσπάσας ἀνέλῃ· καὶ οὕτω μηδὲν εἰδότος τοῦ Ἀχιλλέως, κρατερὰ περὶ τὸν τοῦ Πατρόκλου νεκρὸν ἀμφίβασις γένηται, καὶ πλασθείη τὰ τῆς περιπετείας ἐναγωνιώτερον. Τοιαύτη προέκθεσις καὶ ἐν τοῖς ἑξῆς, ἔνθα ζητῶν Ἕκτωρ πότερον κάλλιον συγκλεῖσαι φεύγοντας τοὺς Τρῶας εἰς τὴν πόλιν, ἢ μάχεσθαι κατὰ κλόνον ἐλάσαντας, κρίνει δέον τὸ πολεμεῖν· καὶ ἐκφεύγει οὕτως ὁ ποιητὴς τὸ τῆς τειχομαχίας ἀπίθανον. Ε.

Σ. 651. Ὀφέλλειεν] Οὐκ ἐνεστῶτός ἐστιν, ἀλλ' ἀορίστου πρώτου, ὡς ἐκ τῆς ἀναλογίας δῆλον. Ε.

Σ. 652. Δοάσσατο] Ἔδοξεν, ἐφάνη. Σ.

Σ. 657. Φύγαδε] Τὸ δὲ φύγαδε, μεταπέπλασται, ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη· ὡς γὰρ σκέπην σκέπα, καὶ κρόκην κρόκα παρὰ Ἡσιόδῳ, οὕτω καὶ φυγὴν φύγα, ἐξ οὗ τὸ φύγαδε. Ὁ δὲ Ἀσκαλωνίτης ἀπὸ εὐθείας κλίνει τῆς φύξ· ὡς στὺξ, στύγα. — Ἔτραπε] Τὸ δὲ ἔτραπεν, ἢ ἐλλειπτικῶς ἔχει, δηλοῦν, ὡς εἰς φυγὴν ἔτρεπεν ἢ τοὺς ἵππους, ἢ καὶ τὸν λαόν· ἢ μᾶλλον παθητικὴν ἑρμηνείαν ἔχει, ἵνα λέγῃ, ὡς εἰς φυγὴν ἐτράπετο. Ε.

Σ. 658. Τάλαντα] Ἴδ. Θ, 69.

Σ. 669. Πολλὸν ἄπο προφέρων] Ἄπο· ἄποθεν· πρὸ δὲ, ἔμπροσθεν. Σ. Β.

Σ. 670. Χρῖσόν τ' ἀμβροσίῃ] Τὸ δὲ χρῖσον ἀμβροσίῃ ἐμφῆναν ὑγρόν τι εἶναι τὴν ἀμβροσίαν, ἄλλο τι δηλοῖ ἐν τῷ, ἄμβροτα εἵματα ἕσσον. Ε.

Σ. 671. Πομποῖσιν] Τοῖς παραπέμπουσιν αὐτὸν καὶ παρακομίζουσι. Σ.

Σ. 672. Ὕπνῳ καὶ θανάτῳ] Ἴσως δὲ καὶ τὸ ἀληθῶς ὑπὸ Λυκίων κατὰ σπουδὴν γενόμενον, ἀνέθετο τερατωδέστερον ὕπνῳ

НБ ОНУ імені І.І.Мечникова

καὶ θανάτῳ τοῖς ἀψυχοποιοῖς· οὐ γὰρ εἶχεν ἑτέρῳ τινὶ θείῳ προσώπῳ πιθανῶς προσπλάσαι τοιοῦτον ἐνέργημα. Μυσάττονται γὰρ οἱ τοιοῦτοι μὴ μόνον θανόντων ἅπτεσθαι, ἀλλὰ καὶ θνήσκοντας ὁρᾶν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ δηλοῖ. Ε.

Σ. 685. Μετεκίαθεν] Ἀντὶ τοῦ μετήρχετο. — Ἀάσθη] Ἐβλάβη. Σ.

Σ. 689. Ὅςτε καὶ ἄλκιμον] Ἰςέον δὲ, ὅτι ἔν τισι τῶν ἀντιγράφων μετὰ τὸ, κρείσσων νόος, ἠέπερ ἀνδρῶν, οὐ κεῖνται οἱ ἀναγεγραμμένοι ἐφεξῆς δύο γνωμικοὶ στίχοι, ἀλλὰ μόνος εἷς οὗτος, ὅς οἱ καὶ τότε. κ.τ.λ. Ε.

Σ. 692. Ἔνθα] Ἔστι δὲ καὶ νῦν τὸ ἔνθα, ἀντὶ τοῦ τότε. Πότε δὴ τότε; ὅτε τῷ Πατρόκλῳ Ζεὺς θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκε, τότε γὰρ λίαν ἠνδρίσατο.

Σ. 695. Πέριμον Μεγάδην] Ἤγουν, οὗ πατὴρ ἦν Μέγας, κύριον ὄνομα, ἐξ οὗ πατρωνυμικὸν Μεγάδης, ὁμοίως τῷ, Αἰνείας Αἰνειάδης. Ε.

Σ. 697. Φύγαδε μνώοντο] Ἤγουν ἀλκῆς μὲν ἐλάθοντο, ἐμέμνηντο δὲ φυγῆς. Καινὴ δὲ σύνταξις ἡ τοῦ φύγαδε ἐπιρρήματος μετὰ τοῦ μνώοντο ῥήματος· καὶ ἀναλυθέντος δὲ τοῦ φύγαδε εἰς τὴν οἰκείαν ἑρμηνείαν, οὐδ' οὕτω σύνηθες τὸ τῆς συντάξεως, ἤγουν τὸ ἐμέμνηντο εἰς φυγήν· ὅμως δὲ νοεῖται, ὡς ἀνωτέρω κεῖται. Εἰ δὲ ἴσως λείπει τὸ, δρόμου, εὐοδοῦται κατὰ τὸ σύνηθες ὁ νοῦς, ἵνα ᾖ, μέμνηντο δρόμου, τοῦ εἰς φυγήν. —Ἐνταῦθα δὲ καινὸν καὶ τὸ, οἱ δ' ἄλλοι ἕκαστος, τὸ γὰρ κοινὸν, τῶν ἄλλων ἕκαστος. Ε.

Σ. 699. Περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν] Πάνυ δὲ συνεστραμμένως, ὅ ἐστι γοργῶς εἴρηται τὸ, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν, ὅ ἐστι περισσῶς προώρμα τῶν ἄλλων ἐν ἔγχεϊ, προμαχόμενος καὶ ἀριστεύων, καὶ οὕτω τρέπων εἰς φυγήν. Ε.

Σ. 702. Ἀγκῶνος] Νῦν τῆς τοῦ τείχους ἐξοχῆς. Σ. —ὅτι ἀγκῶνος τῆς γωνίας λέγει — ὕψος δὲ ἔχει ὁ ἀγκὼν ὑπὲρ ἀνδρὸς, ὡς ἐγγὺς εἶναι τῆς ἐπιθέσεως τῆς ἐπάλξεως. Σ. Β. — ἀγκὼν δὲ τείχους γωνίαν δηλοῖ, ἤγουν ἐξοχὴν γωνιώδη καὶ διὰ τοῦτο ἀγκωνοειδῆ τινα, ὅθεν, ὡς εἰκὸς, εἶχε ἡ Τροῖα προσβολήν· τὸν δὲ τοιοῦτον ἀγκῶνα ἀλλαχοῦ σαφέστερον φράζει ἐν τῷ, πύργῳ ἐπὶ προὔχοντι, τουτέστιν ἐξέχοντι κατά τι γωνίωμα, ὁποῖον ὁ ἀγκὼν καμφθεὶς ἀποτελεῖ. Ε.

НБ ОНУ імені І.І. Мечникова

ποιητὴς αὐτοὺς, δηλῶν τὴν τῶν ἡρώων πρὸς ἀλλήλους ὁμοιότητα τῇ ἐκ τῶν ὁμοειδῶν ζώων παραβολῇ. Ε.

Σ. 765. Ἐριδαίνετον] Ἐρίζουσι, φιλονεικοῦσι Σ.

Σ. 766. Πελεμιζέμεν] Κινεῖν· ἔνιοι, πολεμιζέμεν. Σ. —βαθέην ὕλην· εὖ τὸ βαθεῖαν εἰπεῖν τὴν ὕλην· σφοδρῶς γὰρ οὕτως ὁ ἄνεμος ἐμπίπτει ἔξοδον οὐκ ἔχων. Σ. Β.

Σ. 767. Τανύφλοιόν τε κράνειαν] Τανύφλοιος δὲ κράνεια, πρὸς διαστολὴν φηγοῦ καὶ μελίης· ὧν ὁ φλοιὸς οὐ ταναὸς ἤγουν τετανὸς καὶ οἷον ἱμαντώδης· ὁ γὰρ τῆς κρανείας τοιοῦτος. Ε.

Σ. 768. Τανυήκεας ὄζους] Τὸ δὲ τανυήκεας ὄζους, παραγωγήν φασι μόνον ἔχει ὑπὸ τοῦ τανύω, καὶ δηλοῖ τοὺς μακρούς· ἐν μέντοι τῷ, τανύηκες ἄορ, ἔγκειται τῇ λέξει φασὶ τὸ ἀκὴ, ὅ ἐστιν ὀξύτης. Ε.

Σ. 771. Οὐδ' ἕτεροι μνώοντ'] Τὸ δὲ οὐδ' ἕτεροι μνώοντο, ἀντὶ τοῦ οὔτε οἱ Τρῶες, οὔτε οἱ Ἀχαιοί· ἐπὶ δύο γάρ τινων καὶ νῦν κυριολεκτεῖται ἡ λέξις τοῦ οὐδ' ἕτεροι. Ε.

Σ. 776. Ἱπποσυνάων] Ἴδ. Δ, 303.

Σ. 777. Ἀμφιβεβήκει] Ἴδ. Θ, 66. 68.

Σ. 779. Μετενίσσετο] Μετῆλθε. Σ. — Τὸ δὲ νίσσεσθαι, πρωτότυπον δοκεῖ, καθὰ καὶ τὸ λίσσεσθαι· εἰ γὰρ κατά τινας ἀπὸ τοῦ νέω ἦν, εἶχεν ἂν διὰ διφθόγγου τὴν ἄρχουσαν· εἰ μὴ ἄρα ὁ ῥηματικὸς χαρακτὴρ εἰς τοῦτο ἐκώλυεν ὁ τοῦ λίσσω, πτίσσω, καὶ τῶν ὁμοίων. Ε. —Βουλυτόνδε] Βουλυτὸς δὲ ὁ πρὸς ἑσπέραν καιρὸς, ὁ δειλινὸς, ὅτε τοῦ ἐργάζεσθαι τοὺς βόας λύομεν. Ε. βούλυσις.

Σ. 780. Ὑπὲρ αἶσαν] Ὑπὲρ βίαν, ὑπὲρ τὸ πλέον, ὑπὲρ μέτρον, ὑπὲρ τὸ καθῆκον. Σ. Β.

Σ. 785. Τρὶς δ' ἐννέα φῶτας ἔπεφνε] Ὅπερ ἀπέθανον. Σ. Β.

Σ. 787. Πάτροκλε] Ἡ ἀποστροφὴ σημαίνει τὸν συναχθόμενον· σοὶ γάρ φησιν, ὦ Πάτροκλε, τῷ οὕτως ὑπ' Ἀχιλλέως ἀγαπωμένῳ, τῷ τὸ πᾶν εἰς σωτηρίαν τῶν Ἑλλήνων πραγματευσαμένῳ, τῷ Νέστορος φιλοπόνως ἀνασχομένῳ, τῷ φιλοσόργως Εὐρύπυλον ἰασαμένῳ, τῷ ὑπὲρ Ἑλλήνων δακρύσαντι, τῷ τὸν σκληρῶς διακείμενον Ἀχιλλέα πείσαντι, τῷ κατὰ τῆς σεαυτοῦ ψυχῆς τὴν ἔξοδον κατορθώσαντι, βίου τέλος ὤφθη· ταῦτα πάντα ἔνεστιν ἀναφέροντας ἐπὶ τὴν ἀποστροφὴν, τὸ ἐν αὐτῇ περιπαθὲς σκοπεῖν. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 792. Καταπρηνεῖ] Κατεστραμμένη. Σ. — χειρὶ πλατείᾳ καὶ διατεταμένη. Σ. Β. — Στρεφεδίνηθεν] Περιεστράφησαν αὐτοῦ οἱ ὀφθαλμοί, οἱονεὶ ἐσκοτώθησαν. Σ.

Σ. 793. Κυνέην βάλε Φοῖβος Ἀπόλλων] Ἀφοπλίζει αὐτόν· οὐ θέλει δὲ μετὰ θάνατον σκυλευθῆναι Πάτροκλον· αἰσχρὸν γὰρ Ἕλλησιν ἦν· ἔλεον δὲ καὶ ἀνδρείαν Πατρόκλου φησίν, ὡς οὐκ ἄλλως κρατηθέντος, ἢ τῇ γυμνώσει τῶν ὅπλων. Σ. Β.

Σ. 795. Αὐλῶπις τρυφάλεια] Ἴδ. Ε, 182.

Σ. 796. Οὐ θέμις ἦν] Οὐ δίκαιον. Σ. (Ἴδ. Ξ, 386.).

Σ. 800. Σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος] Ὥστε οὐδ' ἐπὶ πολὺ φορήσει αὐτήν· καὶ ἦν μὲν παράδοξον καὶ ἡ διὰ τοῦ Φοίβου ἀποβολὴ τῆς κυνέης· οὐ τοσοῦτον δέ· εἰκὸς γὰρ ἦν δόξαι καὶ κατὰ τύχην αὐτὴν καταπεσεῖν· τὸ δὲ ἐπαγόμενον πάνυ τερατῶδες καὶ οἷον μὴ τυχαῖον εἰπεῖν· φησὶ γάρ, πᾶν δέ οἱ χείρεσσιν ἄγη τουτέστιν ἐάγη αὐτόματον δηλαδὴ δολιχόσκιον ἔγχος. κ. τ. λ. Ε.

Σ. 802. Κεκορυθμένον] Τὸ πλῆρες, κεκορυθμένον χαλκῷ, ἢ αἴθοπι χαλκῷ. Ε.

Σ. 803. Τερμιόεσσα ἀσπίς] Τερμιόεσσα ἀσπίς, ἡ ἐν ἄλλοις ποδηνεκής. Ε. — ποδήρης, ἢ ὅλον τὸν ἄνθρωπον σκέπουσα, μεγάλη. Σ.

Σ. 804. Λῦσε δέ οἱ θώρηκα] Λύεται δὲ θώραξ, τῆς ζώνης πάντως ἀφαιρεθείσης· ὅπερ ἐνταῦθα σεσίγηται, ὡς μὴ ἀναγκαῖον ἐκφωνηθῆναι. Ε.

Σ. 805. Τὸν δ' ἄτη φρένας εἷλεν] Ὡς οἷον ἀεσίφρονα· — ταφών· καὶ ταῦτα μὲν τὰ ἐκ τοῦ Φοίβου· ἐξ ὧν πρόχειρος εἰς φόνον τῷ βουλομένῳ Πάτροκλος ἕστηκεν, ἐνεὸς μείνας, καὶ ὡς προελέχθη, θελχθείς· εἰ γὰρ ἡ λέξις νῦν ἐσιγήθη, ἀλλὰ πραγματικῶς θελχθῆναι φαίνεται ὁ ἥρως. Τὸ γὰρ στρεφεδίνηθεν ὄσσε, καὶ ἡ τῶν φρενῶν ἄτη καὶ ἡ τῶν μελῶν ὑπέκλυσις, καὶ ἡ μετ' ἐκπλήξεως στάσις ἔκστασίν τινα καὶ φύσεως ἀργίαν ἐν τῷ Πατρόκλῳ δηλοῖ· ὁποῖόν τι καὶ τὸ θέλγειν ἐστί. Ε.

Σ. 808. Ἡλικίην] Τοὺς ἡλικιώτας· ἐκέκαστο· ὑπερῆχεν, ἐκεκόσμητο. Σ.

Σ. 813. Ἀνέδραμε] Ἐφῆκε δέ φησι βέλος οἷα ὑποδεδιώς, διὸ καὶ ἀναχωρεῖ. Ε.

Σ. 815. Γυμνὸν περ ἐόντ'] Καὶ ὅρα τό, γυμνόν περ ἐόντα·

δι' οὗ καταβάλλει ἀχρειῶν σαφῶς τὴν τοῦ βαλόντος ὀφρύνδος γυμνῷ τῷ Πατρόκλῳ ἐπελθών, ἐνήργησεν· ὡς μὴ ἄλλως ἂν καταπονηθέντι, εἰ μὴ οὕτως ἐγυμνώθη. Ε.

Σ. 817. Ἐχάζετο] Ταῦτα τοῦ ἀληθοῦς ἔχεται· εἰ γὰρ προσέθηκεν, ὅτι καὶ γυμνὸς ἐπολέμει, ἐξέπιπτε τοῦ πιθανοῦ. Σ. Β.

Σ. 820. Ἀγχίμολον] Σύνεγγυς· σημαίνει δὲ τὸ μετ' ὀλίγον. Σ.

Σ. 822. Ἤκαχε] Ἐλύπησεν. Σ.

Σ. 825. Πίδακος ἀμφ' ὀλίγης] Καὶ ὅρα τὸ πίδακος ἀμφ' ὀλίγης· ἐν γὰρ ἀφθόνως ῥέοντι ὕδατι, οὐκ εἰκὸς αὐτοὺς εἰς μάχην ἐλθεῖν· ἐν δὲ βραχείᾳ πίδακι διὰ πολὺ δίψος, ἀποθρασυνθείη ἂν κατὰ λέοντος ὁ σῦς. Ἔνθα καὶ ὥσπερ ἆθλον πρόκειται τῷ νικήσαντι τὸ ποτόν. Ε.

Σ. 830. Κεραΐζέμεν] Ὅτι ὡς ἐν ἠθοποιΐας λόγῳ πλάττει ὁ ποιητὴς τὸν Ἕκτορα λέγοντά τινα ἐπὶ τῷ Πατρόκλῳ κειμένῳ, ἐμβριθῶς μέντοι· καὶ οὐδέν τι σαρκαστικὸν ὅλως ἢ ἀστεῖον ὁ ἥρως λαλεῖ καὶ οἷον γαργαλίσαι καὶ διαχέαι ἀκροατήν, ὡς εἶχον ἄλλαι τινὲς πρὸ ταύτης ἠθοποιΐαι Ὁμηρικαί. Ε.

Σ. 831. Ἐλεύθ. ἦμαρ ἀπούρας] Ὅ ἐστι δουλώσας. Ε.

Σ. 833. Τάων δὲ πρόσθεν] Ὅπερ ἐστὶ περίφρασις τοῦ, αὐτῶν δὲ ὁ Ἕκτωρ προμάχεται· — ἐν οἷς περιαυτολογῶν ἀνεπαχθῶς καὶ συνήθως, τῷ τε οἰκείῳ ἐναβρύνεται ὀνόματι ὡς περικλύτῳ Ἕκτορος εἰπὼν ὠκέες ἵπποι, ἀντὶ τοῦ ἐμοῦ, καὶ περιάδεσθαι δηλοῖ καὶ τοῖς ἐχθροῖς ἐπὶ ἀνδρίᾳ. Ε.

Σ. 834. Ὀρωρέχαται] Τὸ δὲ ὀρωρέχαται ἰωνικῶς φρασθέν, οὐκ ἄλλως ἢ διὰ τοῦ ἐτανύσθησαν ἑρμηνεύεται. Ε. — ἐκτείνονται, τρέχοντες, ὁρμῶντες. Σ.

Σ. 836. Ἦμαρ ἀναγκαῖον] Ἦμαρ δὲ ἀναγκαῖον, τὸ τῆς ἁλώσεως καὶ δουλώσεως ἐν ᾧ τις ἀνάγκην πάσχει. Ε. — τὸ εἰς ἀνάγκην ἀγῶνος, ὃ καὶ δούλιον ἦμαρ. Σ. Β. — ἀνάγκης ἡμέραν φησὶ τοῦ θανάτου. Σ.

Σ. 843. Ὀλιγοδρανέων] Ἴδ. Ο, 246.

Σ. 849. Ἀλλά με μοῖρ' ὀλοή] Προσερέθιζε δὲ καὶ εἰσέτι, πολλοστὸν αὐτὸν εἰπὼν ἐν τοῖς τὸν Πάτροκλον ῥίψασιν· ἐπάγει γάρ, ἀλλὰ μὲ μοῖρ' ὀλοὴ κ. τ. λ. Ε. — ἀξιομίμητον τὸ ἦθος· οὐ γὰρ κατεπλάγη τὸν θάνατον, οὐ τὸ βάθος τῶν ἀλγηδόνων, οὐ τὴν ἐρημίαν τοῦ βοηθήσοντος, ἀλλὰ τί; μεστός ἐστι φρυάγματος, καὶ ἐρεθίζει μᾶλλον ἢ ἱκετεύει, ἀντιποιούμενος τῆς νίκης καὶ τελευτῶν. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 850. Τρίτος] Τὴν κοινὴν πᾶσι παρεπομένην Μοῖραν οὐκ ἀριθμεῖ, αὐτοὺς δὲ τοὺς ἐπενεγκόντας αὐτῷ χεῖρας. Σ. Β. — ἔνιοι δὲ τὸ ἑξῆς οὕτως ἀποδιδόασιν· ἀλλά με μοῖρα ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱὸς, ἀνδρῶν δ' Εὔφορβος τρίτος· σὺ δέ με ἐξεναρίζεις, ἵν' ᾖ πολλοστός. Σ. Β.

Σ. 852. Δηρὸν βέῃ] Ἔστι δόγμα παλαιὸν, ὡς ὅτι ἀπαλλασσομένη σώματος ἡ ψυχὴ καὶ θείᾳ φύσει ἐγγίζουσα, ἔχει τι μαντικῆς. Ἀρτέμωνα δέ φασι τὸν Μιλήσιον λέγειν ἐν τῷ περὶ ὀνείρων, ὡς ὅτε ἀθροισθῇ ἡ ψυχὴ ἐξ ὅλου τοῦ σώματος πρὸς τὸ ἐκκριθῆναι, μαντικωτάτη γίνεται. Καὶ Πλάτων δὲ ἐν ἀπολογίᾳ Σωκράτους, φησίν· ἐνταῦθα γέγονεν ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδοῦσιν ὅτ' ἂν μέλλωσιν ἀποθανεῖσθαι. — Βέῃ] Ποιητικὴ λέξις ἀσυνήθης. ἐκ τοῦ βέω βῶ θέματος· — ἐκ τοῦ βέω, γίνεται καὶ τὸ βείω. Ε.

Σ. 856. Ῥεθέων] Ἰστέον δὲ, ὅτι ῥέθεα, οἱ μὲν ἄλλοι τὰ μέλη φασὶ, Αἰολεῖς δὲ μόνοι κατὰ τοὺς παλαιοὺς, τὸ πρόσωπον ῥέθος καλοῦσιν· — ὅθεν καὶ παρ' Ὁμήρῳ τὸ, ψυχὴ δὲ ἐκ ῥεθέων πταμένη τινὲς μὲν ἀντὶ τοῦ ἐκ μελῶν νοοῦσι· — ἕτεροι δὲ ῥέθος νοοῦντες τὸ πρόσωπον, ὕστατόν φασιν ἐντεῦθεν τὸ πνεῦμα ἀναχωρεῖν. Ε.

Σ. 857. Ἀδροτῆτα καὶ ἥβην] Φασὶ δὲ καὶ τὴν ἀνδροτῆτα, φύσιν ἀνδρὸς καὶ ἀθρωπότητα· τὴν γὰρ ἀνδρίαν φασὶ σύμφυτον καὶ ἰδίαν οὖσαν ἀρετὴν, οὐκ ἄν ποτε καταλείψειε· συγκαλεῖ δέ φασιν ὁ λόγος καὶ πρὸς ἀρετὴν — οἷον δὲ στιχηρὸν πάθος ἡ ἀνδρότης ἐνταῦθα ποιεῖ, δεδήλωται ἀλλαχοῦ· νῦν δὲ τοσοῦτον ἰστέον, ὡς ἡ ἀνδροτὴς ἀμφίμακρος οὖσα, οὐκ ἄν ποτε ἀπαθῆ στίχον δακτυλικὸν εἶναι ἀφήσει ὅπου παρεμπέσῃ. Ε. — ἀνδρότητα δὲ, οὐ τὴν ἀνδρείαν, ἀλλὰ τὴν ἀνθρωπότητα, τὴν ἀνδρὸς φύσιν· ἀνδρείαν γὰρ οὐ καταλείπει, ἀρετὴν οὖσαν ἰδίαν. Σ. Β. — Ἀδροτῆτα] Ἀνδρείαν. Σ.

Σ. 861. Φθήῃ] Ἤγουν φθαίῃ, ὁμοίως τῷ, σταίῃ στήῃ, βαίῃ βήῃ. Ε.

НБ ОНУ імені І.І. Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Ρ.

Σ. 4. Ἀμφὶ—βαῖν'] Σημείωσαι δὲ, ὅτι καὶ ἐνταῦθα περιβαίνειν καὶ ἀμφιβαίνειν τὸ σκέπειν καὶ βοηθεῖν κειμένῳ τινί. Ε. —Πόρτακι] Πόρταξ δὲ καὶ πόρτις, τὰ νέα τῶν βοῶν ἔκγονα· τὸ δὲ αὐτὸ πόρτις καὶ πόρις. Σ. Β.

Σ. Πρωτοτόκος] Πρώτως τετοκυῖα· τῷ οὖν τόνῳ παροξυτόνως, ἵν' ᾖ ἐνεργητικόν· προπαροξυτόνως δὲ δηλοῖ ἡ λέξις τὴν πρώτως τεχθεῖσαν. Σ. — Κινυρή] Ὀδυρτικὴ, θρηνητική. Σ. — ἡ οἰκτρόφωνος· κινύρεσθαι γὰρ, τὸ θρηνεῖν. Σ. Β. — Κινηρὴ δὲ, κυρίως ἐπὶ ἀνθρώπων· οἱ κινύραις χρώμενοι, ἀοιδὰς ἐπὶ τοῖς κειμένοις ἔμελπον, ὃ καὶ κινύρεσθαι ἦν. Ε. μινυρίζειν.

Σ. 9. Ἐϋμμελίης] Ὁ τῇ μελίᾳ χρώμενος, τουτέστι πολεμικὸς καὶ ἀνδρεῖος. Σ.

Σ. 13. Ἔα δ' ἔναρα] Ἔκειντο γὰρ ἐπὶ τῆς γῆς, λύσαντος αὐτὰ Ἀπόλλωνος. Σ.

Σ. 14. Πρότερος] Προσυπακουστέον τοῦ ἐμοῦ. Σ. Β.

Σ. 16. Κλέος ἐσθλόν] Κλέος δὲ ἐσθλὸν καὶ νῦν ἡ εὔκλεια· —κλέος δὲ ἀπολύτως, ἡ φήμη, μέση λέξις οὖσα παρὰ τοῖς παλαιοῖς. Ε.

Σ. 19. Ὑπέρβιον] Ὑπερβίως, ὑπερηφάνως. Σ. —Ὑπὲρ δύναμιν αὐχεῖν. Σ. Β.

Σ. 20. Πορδάλιος] Ἔστι δὲ κατὰ τοὺς παλαιοὺς πόρδαλις μὲν, ὁ ἄῤῥην παρὰ τὸ προάλλεσθαι· πάρδαλις δὲ διὰ τοῦ α ἡ

θήλεια, παρὰ τὸ παράλλεσθαι. Ε. (ἴδ. Φ, 571. καὶ Γ, 17.; ἴδ. καὶ Ἀπολλόν. σελ. 562).

Σ. 22. Βλεμεαίνει] Περὶ τὸ ἑαυτοῦ σθένος ἐνθουσιωδῶς βλέπει καὶ μετὰ πολλῆς δυνάμεως. Σ. (ἴδ. Θ, 337).

Σ. 25. Ὅτε μ' ὤνατο] Ὅρα δὲ καὶ ὅτι ἐν στίχῳ ἑνὶ ὤνητο εἰπὼν καὶ ὤνατο, διαφορὰν τῶν τοιούτων δοῦναι λέξεων δοκεῖ. Ἀρέσκει γὰρ τοῖς παλαιοῖς, διὰ τοῦ η μὲν γράφειν ἐπ' ὠφελείας, ὤνητο· καὶ ὀνήμενος, ὡς ἐν Ὀδυσσείᾳ· διὰ δὲ τοῦ α, ἐπὶ μέμψεως. Οἱ μέν τοι μεθ' Ὅμηρον, ὤνατο διὰ τοῦ α γράφουσι καὶ ἀπώνατο ἀντὶ τοῦ ὠφελήθη. Θέμα δὲ καὶ τοῦ ὤνητο καὶ τοῦ ὤνατο, τὸ ὄνημι ἄῤῥητον· ἐπί τε ὠφελείας ὄν, ἐπί τε μέμψεως. Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν οὐκ ἀπόνητο ἥβης, τὸν πρὸ ὥρας θάνατον δηλοῖ· τὸ δὲ ὤνατο παράγει τὸν ὀνειδισμόν· διὸ ἑρμηνεύων τί ἐστιν ὤνατο, ἐπάγει· καί μ' ἔφατο ἐλέγχιστον πολεμιστήν. Ε.

Σ. 27. Πόδεσσί γε οἷσι κιόντα] Τὸ δὲ οὐ ποσὶν ἰδίοις κιόντα, ἀστείως ἐῤῥέθη, διὰ τὸ ὑπ' ἀλλοτρίοις τοῦτο ποιεῖν τοὺς νεκρούς. Ε.

Σ. 29. Μεῦ ἄντα στήῃς] Ἀντὶ τοῦ, εἴπερ ἀντισταίης μοι.

Σ. 32. Ῥεχθὲν δέ τε νήπιος ἔγνω] Ὁ ἄφρων μετὰ τὸ περιπεσεῖν ἁμαρτήματι, γινώσκει, ὅτι κακῶς ἔπραξεν· ὁ δὲ φρόνιμος, προπερισκέπτεται, καὶ προπερινοεῖ τὰ ἐσόμενα. Διὰ τοῦτο ὁ μὲν Προμηθεὺς φρόνιμος δαίμων· ὁ δ' Ἐπιμηθεύς, φαῦλος· μετανοεῖ γάρ, ὅτε οὐδὲν ὄφελος. Σ. Β.

Σ. 35. Γνωτὸν ἐμόν] Ἀντὶ τοῦ τιμωρίαν δώσεις ὑπὲρ τοῦ ἐμοῦ γνωτοῦ· ὅ ἐστιν ἀδελφοῦ. Σ.

Σ. 36. Χήρωσας] Ὅτι ἐν τῷ ἐχήρωσας λείπει κοινότερον τὸ ἀνδρός. — Μυχῷ θαλάμοιο] Τὸ δὲ ἐν μυχῷ θαλάμοιο νεόνυμφον γυναῖκα δηλοῖ, ἔτι δὲ καὶ σώφρονα, ἥτις διὰ σωφροσύνην τοῦ θαλάμου ἐστὶν ἀπρόϊτος. Ε. — Μυχῷ] Ἴδ. Ζ, 152.

Σ. 37. Ἀρητόν] Τὸ δὲ ἀρητὸς ἐπίθετον μὲν ὄν, ὀξύνεται κατὰ ἀναλογίαν· κύριον δὲ τυγχάνον, προπαροξύνεται· — ἐξ οὗ κατὰ παρωνυμίαν καὶ ἡ Ἀρήτη γίνεται. — Ὅτι δὲ τὸ ἀρητὸν πένθος ἄῤῥητόν τινες γράφουσι, δῆλον· καὶ ὡς οὐκ εὐαρεστοῦνται οἱ παλαιοὶ τῇ τοιαύτῃ γραφῇ. Πάντως δὲ παῖς μὲν ἀρητός, ὁ εὐκταῖος· γόος δὲ ἀρητός, ὁ ἀπευκταῖος, καὶ ὡς εἰπεῖν ἐπάρατος· μέση γὰρ λέξις ἡ ἀρὰ καὶ τὸ ἀρᾶσθαι. Ε.

Σ. 38. Γόου κατάπαυμα γενοίμην] Καταπαύσαιμι δ' ἂν τοῦ θρήνου τοὺς ἀθλίους γονέας τοῦ Ὑπερήνορος, εἰ ἀνελῶ σε, καὶ καρατομήσας δώσω τὴν κεφαλήν σου, καὶ τὰ ὅπλα αὐτοῖς. Σ.

Σ. 41. Ἀλλ' οὐ μὰν ἔτι δηρόν] Ἀλλ' οὐδαμῶς ἐπὶ πολὺν χρόνον ἄπειροι γενώμεθα τῆς ἀλλήλων δυνάμεως καὶ μάχης.— Πόνος] Ἔργον, πρᾶξις. Σ.

Σ. 42. Ἀδήριτος] Χωρὶς μάχης, ἀφιλόνεικος. Σ. — Ἤτ' ἀλκῆς, ἦτε φόβοιο] Τὸ δὲ ἑξῆς ἀπείρητος πόνος ἔσται ἤτ' ἀλκῆς, ἦτε φόβοιο, οἷον πειρασόμεθα ἤτοι ἀνδρείας ἢ φυγῆς. Σ. B.

Σ. 47. Κατὰ στομάχοιο θέμεθλα] Στομάχου θέμεθλα οὐ λέγει τὸ στόμα τῆς κοιλίας καθάπερ ἡμεῖς, ἀλλὰ τὸν βρόγχον, οἷον τὰ ἔσχατον μέρη τοῦ λαιμοῦ· — θέμεθλα δὲ ἡ θέσις. Σ. B.

Σ. 48. Χειρὶ πιθήσας] Ἐπακολουθήσας τῇ χειρί. Σ.—Ὦσε. E.

Σ. 49. Δι' αὐχένος ἦλυθ'] Τοῦτο ἀποδεικτικόν ἐστι, τοῦ στόμαχον λέγειν τὸν βρόγχον· εἰ γὰρ τὸ στόμα τῆς κοιλίας ἐπεπλήγει, οὐκ ἂν ἀντικρὺς διὰ τοῦ αὐχένος τὸ δόρυ ἐφέρετο. Σ. B.

Σ. 51. Δεύοντο κόμαι] Οὐδὲ τοῖς ἥρωσι ψόγον εἶχε τὸ καρηκομᾶν· οἱ δέ γε ὕστερον ἐντριβόμενοι καὶ προκόμια περίθετα λαμβάνοντες, ἀλλ' αὐτοί, οὐκ ἔστιν εἰπεῖν εἰς ὅσον ἐψέγοντο· ἐπεὶ καὶ γυναικικά εἰσι τὰ τοιαῦτα οἷα πηνήκαις ἢ φενάκαις οἰκεῖα κατὰ τὸν δειπνοσοφιστὴν εἰπεῖν. E. — Χαρίτεσσιν ὁμοῖαι] Ἀντὶ τοῦ ταῖς τῶν Χαρίτων κόμαις ἴσαι· ἀπίθανον δέ ἐστιν· ἀμόρφωτος γὰρ ἡ κόμη, εἰ μὴ οὕτως. Μακεδόνες δὲ καὶ Κύπριοι Χάριτας λέγουσι τὰς συνεστραμμένας καὶ οὔλας μυρσίνας, ἃς φαμὲν στεφανίτιδας. Σ.

Σ. 52. Πλοχμοί—ἐσφήκωντο] Πλοχμοὶ δὲ ἰδοὺ ἐπὶ ἀνδρῶν· ὡς τῶν πλοκάμων ἐπὶ γυναιξὶ λεγομένων. — Σφηκοῦσθαι δὲ χρυσῷ καὶ ἀργύρῳ, τὸ σφίγγεσθαι οἱά τινι σφηκώματι, τῷ ἀπὸ χρυσοῦ καὶ ἀργύρου λεπτοτάτῳ ἑλκύσματι. E.

Σ. 53. Ἔρνος] Φυτόν. Σ.

Σ. 54: Χώρῳ ἐν οἰοπόλῳ] Ἐρήμῳ καὶ μονήρει. Σ. — Φασὶ γὰρ τὰ ἐν ἐρημίᾳ καὶ μονάζοντα φυτὰ μάλιστα θάλλειν· τὰ δὲ μὴ τοιαῦτα, ἧττον εὔτροφα εἶναι, οἷα τὴν ἀλλήλων εὐφυΐαν τῇ ἐγγύτητι ἀφαιρούμενα. E. — Ἀναβέβρυχεν] Τὸ δὲ ἀναβέβρυχεν, ὅπερ ὀνοματοποιηθὲν τὸ ἀναπηγάζειν δηλοῖ, γρά-

НБ ОНУ імені І. І. Мечникова

φεται καὶ ἀναβέβροχεν, ὅ ἐστι πίνεται· — δῆλον δὲ, ὅτι τοῦ ἀναβεβρυχέναι λειότερον τὸ ἀναβλύζειν ἐστι. Ε.

Σ. 55. Δονέουσι] Ἵν' ἑδραῖον γένηται· τὰ γὰρ μὴ τοιαῦτα ἀσθενῆ εἰσι, καὶ ἐπισκήπτοντος ἀνέμου, τὸν καρπὸν ἀπόλλυσι. Σ. Β.

Σ. 56. Βρύει] Τὸ δὲ βρύειν κυριολεκτεῖσθαι λέγεται ἐπὶ τοῦ τὴν ἐλαίαν ἀνθεῖν· — ὅτι δὲ βρύειν παρὰ τοῖς ὕστερον καὶ ἐπὶ ὑδάτων λέγεται πηγιμαίων. Ε. — Ἄνθεϊ λευκῷ] Νεωστὶ θάλλει· ἄνθεϊ δὲ λευκῷ, τῷ κυπρισμῷ τῆς ἐλαίας· οὐ γὰρ τελεσφορεῖ τὸν καρπὸν διὰ τὸ νέον. Σ. Β.

Σ. 58. Βόθρου τ' ἐξέτρεψε] Τὸ δὲ βόθρου ἐξέστρεψε παρατετηρημένως ἐῤῥέθη, μετέωροι γάρ εἰσι καὶ ἐπιπολῆς κείμεναι τῆς ἐλαίας αἱ ῥίζαι, καὶ διὰ τοῦτο εὐκατάστροφοι, διὸ καὶ γύρους ἐπισκάπτουσιν αὐταῖς. Ε. — Βόθρου] Βάθους τοῦ ὀρύγματος. Σ. — Σημείωσαι δὲ, ὅτι οὐδένα Τρωϊκὸν ἄνδρα πεσόντα ᾠκτίσατο πλέον τοῦ Εὐφόρβου ὁ ποιητὴς, σεμνύνων καὶ οὕτω τὸν τοῦ Ἀχιλλέως ἑταῖρον ὡς ὑπὸ ἀξιολόγου ἀνδρὸς πεσόντα. Καὶ ὅτι ἄριστα καὶ ἡ πρὸς τὸ τῆς ἐλαίας ἔρνος παραβολὴ ἐπ' αὐτῷ πεποίηται. Ἔδει γὰρ τὸν καλὸν φυτῷ παραβαλεῖν ἀεὶ τὸ κάλλος φυλάσσοντι· διὸ καὶ ἡ Θέτις τοιαύτῃ χρήσεται παραβολῇ ἐπὶ τοῦ φιλτάτου παιδός. Τοὺς μέντοι Λαπίθας ἀλλαχοῦ διὰ τὸ ἐν μάχῃ στάσιμον δρυσὶν εἴκασεν, αἳ ἄνεμον μένουσιν ἀεὶ, καὶ ὑετόν· τῷ δὲ τοῦ Ἕκτορος μεγέθει πεσόντος πρὸ τούτου κεραυνωθείσης δρυὸς εἰκὼν ἥρμοσεν. Ε.

Σ. 61. Ὡς δ' ὅτε τίς τε λέων κ.τ.λ.] Καὶ ὅρα ὡς ἡ παραβολὴ αὕτη ὅλη ὅλῳ προσαρμόζει τῷ πράγματι. Ε.

Σ. 62. Ἀρίστη] Ἴδ. Π, 353.

Σ. 64. Λαφύσσει] Κυρίως ἐπὶ λέοντος καὶ λύκου καὶ τῶν ὁμοίων. Ε. — Λάπτει] Ὅ ἐστι μετὰ σκυλμοῦ λάβρως καὶ μετὰ σπαραγμοῦ ἐσθίει. Σ.

Σ. 65. Δῃῶν] Διακόπτων, διαιρῶν. Σ. — Σὺν τῷ ι, καὶ περισπᾶται· ἔστι γὰρ τὸ θέμα, δηϊόω. Σ. Β.

Σ. 66. Ἰύζουσι] Τὸ δὲ ἰύζειν εἶδός ἐστι συριγμοῦ· ἐξ οὗ καὶ ὄνομα ὁ ἰυγμὸς, ἐξ αὐτοῦ δὲ καὶ ἴυγξ, ὄρνεον. Ε. — Ἰύζουσιν οἱ νομῆες, οἱ δὲ κύνες ὑλακτοῦσιν· — ἀγροικικῇ φωνῇ προσφωνοῦσι, παρὰ τὸ ἰοὺ ἐπίῤῥημα. Σ. Β.

Σ. 71. Ἀγάσσατο] Ἐφθόνησεν. Σ.

Σ. 73. Κικόνων] Ἔθνος Θρᾳκικοῦ περί που Μαρώνειαν ἐπικουροῦντος τοῖς Τρωσίν. Ε.

Σ. 77. Ὀχέεσθαι] Ἄλλοθι μὲν ἐνεργητικῶς νοεῖται· ἐνταῦθα δὲ παθητικῶς, ἀντὶ τοῦ ὑπὸ ἡνιόχῳ ἤγουν ἀναβάτῃ γίνεσθαι. Ε.

Σ. 83. Πύκασε φρένας] Ἴδ. Θ, 124. —Ἀμφιμελαίνας] Τὸ δὲ ἀμφιμελαίνας, τινὰ τῶν ἀντιγράφων οὐ μίαν σύνθετον οἶδασι λέξιν, ἀλλὰ δύο· ἵνα λέγει ἀμφὶ φρένας μελαίνας. Ε.

Σ. 85. Ἀπαινύμενον] Ἀφαιρούμενον. Σ.

Σ. 86. Οὐταμένην ὠτειλήν] Κατὰ τὸ ἐξ οὐτήσεως τραῦμα. Σ. Β.

Σ. 91. Ὤ μοι ἐγών] Λείπει συνήθως ἐν τούτοις τὸ δέδοικα, ἢ τοιοῦτόν τι ῥῆμα· ἵνα λέγῃ, ὅτι δέδοικα, μὴ νεμεσηθῶ· καὶ δέδοικα, μὴ κινδυνεύσω. Ε.

Σ. 92. Τιμῆς] Ἢ ἕνεκα τῆς ἐμῆς τιμωρίας, τουτέστι, τοῦ ἐμὲ τιμωρῆσαι τοὺς Τρῶας. Σ. Β.

Σ. 95. Περιστήωσι] Περιστείωσιν (Εὐστάθ.) ὅ ἐστι πέριξ κυκλώσουσι. Ε.

Σ. 96. Τρῶας δ' ἐνθάδε πάντας] Εἰς τὸ πιθανὴν γενέσθαι τὴν ἀναχώρησιν, προκατασκευάζει. Σ. Β.

Σ. 98. Πρὸς δαίμονα φωτὶ μάχεσθαι] Τὸ δὲ πρὸς δαίμονα φωτὶ μάχεσθαι ταὐτὸν μέν ἐστι τῷ, διὰ μέσου φωτὸς θεοφιλοῦς δαιμονομαχεῖν. Ε.

Σ. 99. Πῆμα κυλίσθη] Τὸ δὲ πῆμα ἐκυλίσθη, καὶ νῦν ἀντὶ τοῦ ἄνωθεν ἐκ θεοῦ ἐπῆλθε. Ε.

Σ. 101. Ἐπεὶ ἐκ θεόφιν πολεμίζει] Ὁ ταὐτὸν τῷ, ἐπεὶ θεοφιλής ἐστι. Ε.

Σ. 105. Φέρτατον εἴη] Τὸ νεκρὸν γοῦν κομίσαι τῷ Ἀχιλλεῖ τὸν Πάτροκλον. Ε.

Σ. 109. Ἐντροπαλιζόμενος] Ἴδ. Ζ, 496. —Αἴς ἠϋγένειος] Ἴδ. Ο, 276.

Σ. 110. Δίωνται] Διώξουσιν, ἐκ τοῦ δίημι. Σ. — Τὸ δὲ δίω ῥῆμα, ἐξ οὗ τὸ δίωνται, οὕτω μὲν λεγόμενον, σκορακίζετα τοῖς λογογράφοις· συντεθὲν δὲ μετὰ τοῦ ὦκα, εὐχρηστεῖται· ἀπ' αὐτοῦ γὰρ τὸ διώκειν. Ε.

Σ. 112. Παχνοῦται ἦτορ] Συστέλλεται· ὑπὸ λύπης πήγνυται, δάκνεται· ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης. Σ. — Φρίσσει, ἢ λυπεῖται. Σ. Β.

Σ. 122. Γυμνόν] Οὐχ ἁπλῶς δὲ πάντως γυμνὸν, ἀλλὰ τῶν

НБ ОНУ імені І.І. Мечникова

ὅπλων Ε. — Προοικονομεῖ δὲ καὶ τὴν ὁπλοποιΐαν Ὅμηρος ἐν τούτοις· καὶ τὴν ἐν αὐτῇ ἀλληγορουμένην κοσμογένειαν· καὶ τὴν αὐτόθι ποικιλίαν. Στερηθεὶς γὰρ ὧν εἶχεν ὅπλων Ἀχιλλεὺς ἤγουν τῶν ἐξ Ἡφαίστου, πορίσεται ἕτερα διὰ τῆς μητρὸς Θέτιδος· καὶ τὸ τοιοῦτον ἐπεισόδιον πολλὰ τῇ ποιήσει παρεμβαλεῖ ἀκοῆς ἄξια. Ὅτι ἐν μὲν τοῖς ἑξῆς Ἕκτωρ δεθεὶς τῶν ποδῶν ἕλκεται νεκρὸς κατόπιν τοῦ ἅρματος ὑπ᾽ Ἀχιλλέως· ἔνθα καὶ μέμφονται πολλοὶ τὸν ἥρωα τῆς ὠμότητος. — Ὅμηρος δὲ φθάνει λύων καὶ ἐνταῦθα τὸ ἄπορον, οἷς ποιεῖ τὸν Ἕκτορα ἐθέλοντα τὴν κεφαλὴν τοῦ Πατρόκλου ἐκτεμεῖν· — καὶ οὐκ αὐτὸ μόνον, τοῦτο γάρ τις καὶ Ἕλλην πρὸ τούτου πεποίηκεν εἰς ἄνδρα Τρωϊκὸν, ὅπου καὶ τῇ κεφαλῇ ἐκεῖνος ἐμπείρας τὸ δόρυ ἐξανέτεινεν εἰς σχῆμα κωδείας· οὐκ οὖν μόνην κεφαλῆς ἐκτομὴν ὁ Ἕκτωρ ἐθέλει, ἀλλὰ καὶ τὸν νεκρὸν μελετᾷ δοῦναι κυσί· — καὶ οὕτω μὲν ὠμὸς ὢν Ἕκτωρ, εἰκότως τοιοῦτον εὑρήσει καὶ τὸν Ἀχιλλέα. Ε.

Σ. 135. Ἐπακτῆρες] Ἐπακτῆρες δὲ οἱ θηραταί, ὡς ἀεί τι ἐπαγόμενοι, οἷον κύνας ἢ ὅπλα, ἢ ὡς ἐπαγόμενοι τοῖς θηρίοις, ἤγουν πολεμίων δίκην ἐπιόντες. Ε.

Σ. 136. Ἐπισκύνιον] Ἐπισκύνιον δέ ἐςι κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἐπιδέρμιον, ὃ ἐπιχαλᾶται τοῖς τῶν λεόντων ὀφθαλμοῖς, καὶ καλύπτει αὐτοὺς προνοίᾳ φύσεως, οὐ τοσοῦτον διὰ θυμὸν ὅτε σκύζεται τὸ θηρίον, ὅ ἐστιν ὀργίζεται, ὅσον ἵνα μὴ βλέπων τὰ ἐπιῤῥιπτόμενα βέλη, δειλαίνηται. Ε. — ὅθεν καὶ σκύζεσθαι τὸ ὀργίζεσθαι. Σ.

Σ. 142. Ἕκτορ, εἶδος ἄριστε κ.τ.λ.] Δειλίαν αὐτῷ ὀνειδίζει, ὃ μάλιστα αὐτὸν κινεῖν ἔμελλε· ἐπεὶ δὲ δικαίως ἀγανακτεῖ, φέρει αὐτὸν ὀνειδίζοντα. Σ. Β.

Σ. 143. Φύξηλιν] Φύξηλις δὲ, εἰ μὲν ὁ φεύγων ἅλις, ἔχεται λόγου τὸ διὰ τοῦ ἦτα γράφεσθαι τὴν παραλήγουσαν· εἰ δὲ ὁ φεύγων ἴλας, ἤγουν τὰς ἐν πολέμῳ τάξεις, ἔχει ἀπορίαν ἡ γραφή. Ε. — Δειλὸν, φυγάδα. Σ. — καὶ τὸ φεύγειν, καὶ τὸ ἀλέασθαι ἔγκειται ἐν τῇ λέξει. Σ. Β.

Σ. 144. Πόλιν καὶ ἄστυ σαώσεις] Ἐν δὲ τῷ πόλιν καὶ ἄςυ σαώσεις, ζητητέον, εἰ πόλιν μὲν λέγει τὸ κατώτερον, ἄστυ δὲ τὴν ἀκρόπολιν· ἢ καὶ ἀνάπαλιν· ἴσως δὲ καὶ ἐκ παραλλήλου ἔφη πόλιν καὶ ἄστυ, ὡς ἰσοδύναμα, ταυτολογῶν

НБ ОНУ імені І.І. Мечникова

καὶ νῦν διὰ τὸ ἀγωνιᾷν· οἱ δὲ παλαιοί φασι, πόλιν μὲν τὴν πολιτείαν, ἄστυ δὲ τὸ τεῖχος. Ε.

Σ. 145. Τοὶ Ἰλίῳ ἐγγεγάασιν] Ἤγουν ἐγγεγέννηνται. Ε.

Σ. 147. Εἶσι περὶ πτόλιος] Ὀκνήσουσιν οἱ ζῶντες κινδυνεύειν, ὁρῶντες ἀνεκδικήτους τοὺς πεσόντας. Ε.

Σ. 149. Φῶτα σαώσειας μεθ' ὅμιλον] Τὸ δὲ φῶτα μεθ' ὅμιλον, τὸν τοῦ δήμου ἄνδρα δηλοῖ. Ε.

Σ. 151. Κύρμα] Ἐπίτευγμα τοῖς πολεμίοις. Σ.

Σ. 155. Πεφήσεται] Προφανὴς γενήσεται. Σ. Β. — Τὸ δὲ οἴκαδε ἴμεν, δύναται καὶ πληθυντικὸν εἶναι ῥῆμα δηλοῦν τὸ ἐρχόμεθα, καὶ ἀπαρέμφατον δὲ κατὰ σχῆμα ἐλλήψεως· οἷον ἵνα λέγῃ, ὡς εἴ τις μοι πείσεται ἀπελθεῖν εὖ ποιήσει· ὃ σιγήσας ὁ Γλαῦκος διὰ τὸ δύσφημον, ἐλλιπῶς ἔφρασε· καὶ ἄλλως δὲ, ἀπαρεμφάτου ὄντος τοῦ ἴμεν, ὁ ἐπαγόμενος σύνδεσμος ἐν τῷ, Τροίῃ δὲ πεφήσεται ὄλεθρος, ἀργὸς κεῖται ἀντὶ τοῦ δὴ παραπληρωματικοῦ· ἵνα λέγῃ, ὅτι εἴ τις Λυκίων ἐμοὶ πειθήσεται οἴκαδε ἀπελθεῖν, τῇ Τροίᾳ δὴ πέφηνεν ὄλεθρος. Ε.

Σ. 164. Πέρθεται] Νῦν ἀνῄρηται. Σ.

Σ. 170. Γλαῦκε] Ὅτι Ἕκτωρ ὑβριοπαθήσας ἐφ' οἷς ἐκ τοῦ Γλαύκου ἤκουσε, σφοδρότερον μὲν τοῖς ὀνειδισμοῖς οὐκ ἐπεξέρχεται, ὡς εἰδὼς αὐτὸν ἐπὶ δικαίοις ἀγανακτοῦντα. Εὐγενῶς δὲ καὶ σεμνῶς μέλλων εἰπεῖν, ὡς οὐ διὰ δειλίαν ἀναδύεται τὴν μάχην, ἀλλὰ διὰ θεὸν, ἵνα μὴ δόξῃ θεομαχεῖν, πρῶτα τέως καὶ αὐτὸς καθάπτεται, εἰπὼν πρὸς τὸν Γλαῦκον ἃ δή ποτε ῥηθείη ἂν πρὸς τὸν δοκοῦντα μὲν φρονεῖν, ἀπεοικότα δὲ εἰπόντα, σκώπτων, ὥσπερ ἐκεῖνος τοῦτον ἐπὶ ἀνανδρείᾳ, οὕτως αὐτὸς ἐκεῖνον ἐπὶ ἀφροσύνῃ, εἴγε θεομαχεῖν αὐτὸν βούλεται. Ε.

Σ. 178. Ὅτε δέ] Ἐνίοτε δέ. Σ.

Σ. 179. Ἴδε ἔργον] Ἐν δὲ τῷ, ἴδε ἔργον, ἐπὶ πολέμου τὸ ἔργον — εἰ καὶ κυρίως ἡ λέξις ἐπὶ γεωργίας τίθεται. Ε.

Σ. 182. Σχήσω] Ἐπίσχω, κωλύσω. Σ.

Σ. 190. Μετασπών] Ἐπακολουθήσας, ἐπιδραμὼν, διώξας. Σ.

Σ. 197. Γηράς] Γίνεται δὲ τὸ γηρὰς ἐκ τοῦ γηράσας κατὰ ἀποκοπὴν ὁμοίως τῷ, ἐπιπλώσας ἐπιπλώς· ἢ ἀπὸ ἀῤῥήτου ἐνεστῶτος τοῦ γήρημι. Ε.

Σ. 201. Καταθύμιος] Καταθύμιος δὲ παρὰ τῷ ποιητῇ ὁ κατὰ ψυχὴν λαμβανόμενος· ὁ ἐνθύμιος· παρὰ δὲ τοῖς ὕστερον,

НБ ОНУ імені І.І. Мечникова

ὁ ἐν ψυχῇ ὤν, καὶ ὡς εἰπεῖν, θυμήρης· οὗ ὁ ἔμπαλιν ἀκαταθύμιος. Ε.

Σ. 204. Ἐνηέα] Ἐνηὴς δὲ, ὁ τῷ ἀπηνεῖ ἐναντίος· καὶ ἔστιν ὥσπερ προσηνὴς ὁ πρὸς τῇ ἀγαθότητι ὤν. Ε. — προσηνῆ, πρᾶον. Σ.

Σ. 205. Οὐ κατὰ κόσμον] Ἀντὶ τοῦ οὐκ ἐσκύλευσας, ὡς ἐχρῆν, ἀλλὰ τοῦ Φοίβου τὸν Πάτροκλον ἀφοπλίσαντος, σὺ δῶρον εἵλου αὐτὰ, εἰ καὶ ὡς εὕρημα. Ταπεινοῖ δὲ ταῦτα τὸ μεγαλεῖον τῆς ἀριστείας, καὶ κατασμικρύνει τὸν Ἕκτορα. Ε. — οὐ κατὰ τὸ προσῆκον, ἐφ' ὕβρει. Σ.

Σ. 207. Ποινήν] Ποινὴν ἐνταῦθα τὴν ἀντισήκωσιν λέγει· διὰ τοῦτο γάρ φησι μέγα σοι δώσω κράτος, ἀντισηκῶν τοῦτο πρὸς τὸ ἐπὶ σοὶ μέλλον κακόν. Ε. — εἰ καὶ ἔμελλέ τις τῶν ἀκουόντων ὀργισθήσεσθαι καὶ ἀγανακτήσειν ἐπὶ τῷ τὸν Ἕκτορα χρῆσθαι τοῖς ὅπλοις, μαθὼν δὲ, ὅτι καὶ οὐκ ἐπὶ πολὺ φορέσει, κἂν ἠλέησε τὸν Ἕκτορα. Σ. Β.

Σ. 208. Δέξεται Ἀνδρομάχη] Εἰ μὴ δέξεται τὰ ὅπλα ἡ Ἀνδρομάχη, δῆλον, ὅτι πρὶν ἢ ἀνελθεῖν εἰς τὴν πόλιν ὁ Ἕκτωρ ἀφοπλισθήσεται· ὃ δὴ πάλιν ἑτέρα ἐστὶν ἀναφωνητικὴ προέκθεσις, ὡς τοῦ Ἕκτορος μηκέτι τὴν Τροίαν ἐντὸς ὀψομένου, καὶ διὰ τοῦτο μηδὲ τῇ γυναικὶ ὀφθησομένου μετὰ τῶν Ἀχιλλέως ὅπλων, ἵνα μηδὲ μαρτυρεῖν ἐκείνη ἔχῃ τῇ τοῦ ἀνδρὸς ἀρετῇ. — Ἡ δὲ χρῆσις τοῦ τοιούτου σημαινομένου τῆς κοινῆς, εὕρηται παρὰ Πινδάρῳ μάλιστα. Σ.

Σ. 210. Ἕκτορι δ' ἥρμοσε τεύχεα] Τουτέστιν προσηρμόσθησαν παθητικῶς. Ε. (στ. 142.). — τὸν Δία ἀκουστέον ἁρμόσαι τὰ ὅπλα τῷ Ἕκτορι, οὐ τὰ ὅπλα συγκαθίσαι· οὐ γὰρ Ἀχιλλεῖ ὁ Ἕκτωρ ἰσομεγέθης. Σ. Β. — Δῦ δέ μιν Ἄρης] Εἰσῆλθε δὲ αὐτὸν πολέμου ἐπιθυμία καὶ ὁρμή. Σ. — πάνυ δὲ σεμνύνει τὰ τοῦ Ἀχιλλέως ὅπλα ὁ ποιητὴς, εἰ οὕτω δυνάμεως ἐμπιπλῶσι τὸν Ἕκτορα, ὡς καὶ κάτοχον οἷον γενέσθαι Ἄρει. Ε.

Σ. 213. Ἰνδάλλετο] Εἰκάζετο, ὡμοιοῦτο, τῷ Ἀχιλλεῖ δηλονότι. Σ.

Σ. 220. Περικτιόνων] Ὅ ἐστι περιοίκων· — τὸ τῶν Λυκίων ὄνομα σιωπήσας (ἴδ. στ. 146.) ὁ Ἕκτωρ μυρίους δέ τινας ἐπικαλεσάμενος ἐπικούρους, μονονουχὶ λέγει, ὡς εἰ καὶ ὑποχωρήσουσιν οἱ Λύκιοι, οὐ πάντως οἱ Τρῶες μόνοι περιλεί-

НБ ОНУ ім. І.І. Мечникова

πονται κατὰ τὸν τοῦ Γλαύκου λόγον, ἀλλ' εἰσὶν ἡμῖν ἕτεροι ἐπίκουροι.

Σ. 225. Κατατρύχω] Καταδαπανῶ, ἀνιῶ, εἰς ταλαιπωρίαν ἄγω. — Ἐδωδῇ] Τροφῇ· ὁ δὲ λόγος καταπονῶν τοὺς Τρῶας, ἀναγκάζω παρέχειν τοῖς συμμάχοις δωρεὰς καὶ εὐωχίας. Σ. — ἐκ τοῦ τρῶ, ἀναλόγως τῷ ψῶ ψύχω. Καὶ ὅρα ἔθος τοῦτο ἀρχαῖον· — δῶρα δὲ λέγει τὴν δίχα τῆς ἐδωδῆς μισθοφοράν. Ε.

Σ. 227. Ἰθὺς τετραμμένος] Τὸ δὲ ἰθὺς τετράφθαι, ἴσόν ἐςι τῷ ἰθὺς μάχεσθαι καὶ στῆναι ἄντα. Ε.

Σ. 228. Ὀαριστύς] Ἀντὶ τοῦ εἰπεῖν τοῦτό ἐστιν ἰδιότης πολέμου, εἶπεν, αὕτη γάρ. Ε. (ἴδ. Ν, 291.). — οὕτως δεῖ ἀναστρέφεσθαι ἐν τῷ πολέμῳ καὶ ἀριστεύειν· αὕτη γὰρ ἀρετὴ πολεμούντων. Σ.

Σ. 233. Βρίσαντες] Οἱ δὲ βρίσαντες εἶεν ἂν ζαχρηεῖς ὅ ἐστιν ἐμβριθεῖς πολεμισταί. Ε. (ἴδ. Μ, 414.).

Σ. 242. Περιδείδια] Ἐνθάδε οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ἐπεὶ δοκεῖ ἀντὶ τῆς ὑπὲρ κεῖσθαι. Σ.

Σ. 243. Νέφος περὶ πάντα καλύπτει] Τροπικῶς νέφος τὸν Ἕκτορα καλεῖ, ὃν ἀλλαχοῦ νυκτὶ τὰ ὑπώπια εἴκασεν· ἢ καὶ ἄλλως τὸν πόλεμον συνήθως νέφος εἶπεν, ὃν ὁ Ἕκτωρ περὶ πάντα καλύπτει, ὡς οἷα κατὰ πάντα διαπετάσας αὐτόν. Ε.

Σ. 245. Ἤν τις ἀκούσῃ] Ἀκούσῃ, καὶ μὴ καταπτήξῃ τὸν πόλεμον· ἢ διὰ τὸν κτύπον τῶν ἀσπίδων, καὶ τὸν θόρυβον τῶν μαχομένων, ὃ καὶ ἄμεινον. Σ. Β.

Σ. 247. Διαπρύσιον] Ἴδ. Θ, 227.

Σ. 250. Δήμια πίνουσιν] Δασμοῦ γινομένου μερὶς ἐδίδοτό τις τῷ βασιλεῖ ἐκ τῶν κοινῶν καὶ εἰς τὰ τῶν ἀριστέων συμπόσια· ὧν ἡ παράχρησις δημοβόρον τὸν βασιλέα ποιεῖ, ταὐτὸν δ' εἰπεῖν δημιοβόρον. — Ὅρα δὲ καὶ τὸ πίνουσιν, οὐ γὰρ ἔφη καὶ ἐσθίουσιν, ἀλλὰ δηλοῖ ἀπὸ μέρους τὸ πᾶν· ὅθεν καὶ παρὰ τῇ κοινῇ συνηθείᾳ τὸ συμπόσιον καὶ ὁ πότος λέγεται, σιγομένης τῆς ἐδωδῆς· καθὰ καὶ τὸ συσσίτιον, σιωπωμένης τῆς πόσεως. Ε.

Σ. 254. Αὐτὸς ἴτω] Τὸ δὲ αὐτὸς ἴτω σημαίνει μὲν τὸ, μόνος ἐλθέτω — καὶ ἔστι τρόπον τινὰ τὸ τοιοῦτον αὐτὸς ἴσον τῷ αὐτόματος. Ε. — ἀλλ' ὑπὸ ἰδίας γνώμης παραγενέσθω. Σ. — Νεμεσιζέσθω] Μεμφέσθω, ἄξιον ἡγείσθω μέμψεως, αἰδείσθω. Σ.

Σ. 255. Μέλπηθρα] Ἴδ. Ν, 233.

НБ ОНУ імені І.І. Мечникова

Σ. 256. Ὀξύ] Ὀξέως, ταχέως. Σ.

Σ. 263. Ὡς δ' ὅτ' ἐπὶ προχοῇσι] Ὅτι τὴν μετὰ θορύβου ἐπέλευσιν τῶν Τρώων παραβολικῶς ὁ ποιητὴς διασαφῶν, φησιν· ὡς δ' ὅτ' ἐπὶ προχοῇσι· — ἰαχῇ ἴσαν· ἣν ἰαχὴν τῇ φράσει μιμούμενος ὀνοματοποιηθείσαις τραχείαις χρᾶται λέξεσι· τῷ βέβρυχε, καὶ βοόωσι καὶ ἐρευγομένης, καὶ αὐτῇ τῇ ἰαχῇ· — ἐνδείκνυται δὲ διὰ τούτων κῦμα θαλάσσης ἀντιφερόμενον ποταμοῦ κατάῤῥῳ, καὶ τῷ ἀνακόπτεσθαι βρυχόμενον· ὁ γὰρ παραβολικὸς ἦχος οὐ τοῦ ποταμοῦ, ἀλλὰ τοῦ κύματός ἐστι. Τὸ δὲ προχοὴ δέδωκε τοῖς ὕστερον ἔννοιαν τοῦ καὶ ἐκβολὰς λέγειν ποταμῶν τὰ ἐκείνων στόματα· τὸ γὰρ προχεόμενον ἐκβάλλεται. Ε. — προχοῇσι· ταῖς εἰς θάλασσαν χύσεσι καὶ ἐκβολαῖς τῶν ποταμῶν. Σ. — Διϊπετέος] Ἴδ. Π, 174.

Σ. 264. Βέβρυχεν] Οὐ μόνον λέγεται ἐπὶ ὑδάτων, ἀλλὰ καὶ ἐπὶ ζώων λογικῶν τε, ὡς (Ν, 393.) καὶ ἀλόγων, ἐφ' ὧν καὶ περισπᾶται· λέων γοῦν βρυχᾶται. Ε. — Ποτὶ ῥόον] Ὅτι ἀντιπίπτει τῷ ῥεύματι τοῦ ποταμοῦ τὸ τῆς θαλάττης. Σ. Β.

Σ. 265. Ἠϊόνες βοόωσιν] Τὸ δὲ ἠϊόνες βοόωσι πάνυ τι φασὶν οἱ παλαιοὶ μιμητικὸν εἶναι τοῦ κατὰ θάλασσαν ἤχου πλέον τῶν ἄλλων· — διὸ οὐκ ἔφη βοάουσι κατὰ ἀναλογίαν δευτέρας συζυγίας τῶν περισπωμένων, ἀλλὰ βοόωσι, πρὸς ἔμφασιν πλείω τοῦ τῆς θαλάσσης ἤχου. Καὶ αὕτη φασὶν ἡ εἰκὼν, τὰ τοῦ Σόλωνος, ἢ κατά τινας τὰ τοῦ Πλάτωνος ἠφάνισε μιμήματα. Λέγεται γὰρ ὡς ὀνοματοποιῶν ἐκεῖνος καὶ ἀντεπεξάγων ἑαυτὸν τῇ Ὁμηρικῇ πολυφωνίᾳ, ἐπεὶ εὕροι τὸ τοιοῦτον βοόων, καὶ οὐκ ἔχοι ταὐτὸν ἠχῆσαι πρὸς τοιαύτην ὀνοματοποιΐαν, κατακαύσοι τὰ σκέμματα, μὴ καὶ πάνυ δεύτερος πίπτοι τοῦ ποιητοῦ· — ἄκραι ἠϊόνος, ἤγουν τὰ τοῦ αἰγιαλοῦ ἄκρα· — ἐρευγομένης· τὸ δὲ ἐρευγομένης καὶ ὡς ἐπὶ στόματος θαλαττίου ἐῤῥέθη· ἔστι γὰρ εἰπεῖν καὶ θαλάσσης στόμα, ὥσπερ καὶ ποταμοῦ τροπικῶς. Ε.

Σ. 268. Φραχθέντες] Τὸ δὲ φραχθέντες ἀντὶ τοῦ κατασφαλισθέντες, πυκνωθέντες (ἴδ. Ν, 130.).

Σ. 272. Μίσησεν] Μισητὸν ἡγήσατο. Σ.

Σ. 275. Ὑπέτρεσαν] Ὑπὸ δέους ἔφυγον. Σ.

Σ. 278. Ἐλέλιξεν] Συνείλησε, συνέτρεψεν. Σ.

Σ. 279. Τέτυκτο] Περιετέτυκτο τῶν ἄλλων, ἤγουν ἐπέκεινα καὶ περισσότερον τῶν ἄλλων ἐτέτυκτο. Ε.

Σ. 285. Μετεισάμενος] Ἐπ᾽ αὐτοὺς ἐλθών. Σ.

Σ. 290. Τελαμῶνι] Ὅρα δὲ καὶ ὅτι τελαμὼν ἐνταῦθα οὐχὶ ὁ ἀνέχων ἀσπίδα ἢ ξίφος, ἀλλ᾽ ὁ ἁπλῶς καθ᾽ ἑαυτὸν πλατὺς ἱμάς. Ε.

Σ. 294. Αὐτοσχεδίην] Ἴδ. Μ, 192. — Χαλκοπαρῄου] Χαλκὰς παραγναθίδας ἐχούσης. Σ.

Σ. 295. Ἤρικεν] Ὅ ἐστιν ἐσχίσθη, ἐῤῥάγη, δεύτερος ἀόριστός ἐστι τοῦ ἐρείκω. Ε.

Σ. 297. Αὐλόν] Αὐλὸν δὲ λέγει, ἢ τὸ ὀξὺ τοῦ δόρατος ἐπεὶ καὶ αἰγανέας δολιχαύλους που λέγει τὰς μακροφύλλους· ἢ τὸ τρῆμα τῆς κυνέης, τὸ διὰ τοῦ ἔγχεος· καὶ ἄλλως δὲ, αὐλὸν, τὸν ἐξακοντισμόν φησι καὶ τὴν ἐπιμήκη φορὰν τοῦ αἵματος. Αὐλὸς γὰρ πᾶν τὸ ἐπίμηκες καὶ οὐδὲ πλατύ· ὅθεν καὶ οἱ αὐλῶνες, καὶ ὁ τῶν πνευμάτων ἀνακαμπτικὸς διαυλωνισμός· καὶ αὐλὸς καὶ δίαυλος τὸ στάδιον· καὶ ἐξ αὐτοῦ μεταφορικῶς, καὶ ἡ ἁπλῶς οὑτινοσοῦν ἀνάκαμψις· ὡς τὸ διαύλοις κυμάτων φορούμενος· καὶ, ἐν χορδαῖς χεῖρα καμψιδίαυλον ἀναστροφῶν τάχος, ἤγουν ταχὺ ἀναστρέφων ἐν τῷ πλήττειν τὰς χορδάς. Ε. — τὸν τοῦ αἵματος ἀκοντισμόν. Σ. Θέλει δὲ εἰπεῖν, ὅτι ἐκράθη ὁ ἐγκέφαλος τῷ αἵματι, διὸ καὶ αἱματόεντα ἔφη αὐτόν. Σ. Β.

Σ. 299. Ἧκε χαμᾶζε] Ἧκεν ἤγουν ἀφῆκε χαμᾶσθε κεῖσθαι.

Σ. 301. Ἀπὸ Λαρίσσης] Ἴδ. Β, 841. — ὅτι δὲ Λάρισσαι διάφοροι, ὧν μία καὶ ἡ ἐνταῦθα Πελασγική. Ε.

Σ. 302. Ἀπέδωκε] Ἀποδιδόναι χρεωστικὴν κυρίως δηλοῖ ἀπότισιν. Ε.

Σ. 307. Πανοπῆϊ] Ἴδ. Β, 520.

Σ. 321. Καὶ ὑπὲρ Διὸς αἶσαν] Καὶ παρὰ τὴν τοῦ Διὸς γνώμην. Σ. — ὀργιζομένου γὰρ Ἀχιλλέως τιμᾷν ἤθελε Τρῶας, ὡς δι᾽ Ἴριδος ὑπέσχετο. Σ. Β.

Σ. 324. Κήρυκι] Ἔργον δὲ τέχνης κηρύκων, θυσίαις τε καὶ σπονδαῖς παντοίαις ἐπιστατεῖν· καὶ ἀγορὰς ἀθροίζειν καὶ τοὺς ληλήσοντας ἐξεγείρειν καὶ προσοχὴν ἐμποιεῖν προβοῶντας τὰ, ἀκούετε λεῴ ἢ λαοί. Ε.

Σ. 327. Καὶ ὑπὲρ θεόν] Πῶς ἂν καὶ παρὰ τὴν θείαν βουλὴν ῥύσησθε τὴν πόλιν, ὅτε τοῦ Διὸς συμπράττοντες ἡμῖν, διὰ τὴν ἰδίαν ἀσθένειαν λείπεσθε. Σ.

Σ. 330. Ὑπερδέα δῆμον] Τὸν ἀπτόητον, καὶ ὑπερκείμε-

НБ ОНУ імені І.І.Мечникова

νον δέους, ἐκ τοῦ ὑπερδεέα κατὰ συγκοπήν· ἄλλως γὰρ περισπᾶσθαι ὤφειλε κατὰ συναίρεσιν ὡς τὸ εὐφυέα, εὐφυᾶ· ὑγιέα, ὑγιᾶ. Ε.

Σ. 332. Ἄσπετον] Μεγάλως· ἔστι δὲ ἄσπετον, ᾧ οὐκ ἄν τις παρακολουθήσειε διὰ τὸ μέγεθος. Σ. Β.

Σ. 334. Ἕκτορα εἶπε βοήσας] Κεῖται δ' ἐν τούτοις καὶ σύνταξις ἀσυνήθης τοῖς ὕστερον, τὸ Αἰνείας μέγα Ἕκτορα εἶπε βοήσας. Ἕκτορι γὰρ εἶπε, καὶ Ἕκτορι βοήσας φασὶν οἱ μεθ' Ὅμηρον· θεραπεύεται δὲ ἐν ὑπακοῇ προθέσεως, ἵνα ᾖ, πρὸς Ἕκτορα εἶπε βοήσας. Ε.

Σ. 350. Ἐκ Παιονίης] Ἴδ. Β, 848.

Σ. 354. Ἔρχατο] Ὅ ἐστιν εἰργμένοι ἦσαν οἱ Ἀχαιοὶ, ὡς ἐν τειχίῳ. Ε. — πεφραγμένοι ἦσαν. Σ. — παρὰ τὸ εἴρω, τὸ συμπλέκω, διὸ ψιλείσομεν τὴν λέξιν. Σ. Β.

Σ. 361. Ἀγχιστῖνοι] Ἐπάλληλοι, πυκνοί. Σ. (Ἴδ. Ε. 141.).

Σ. 368. Ἠέρι κατέχοντο] Καὶ ἔστι πιθανὸς ὁ λόγος διά τε τὴν κόνιν, τὴν ὡς εἰκὸς παχυνομένην ἐκεῖ, καὶ διὰ τὴν ῥηθεῖσαν πυκνότητα τῶν μαχομένων. Ε.

Σ. 371. Εὔκηλοι] Ἥσυχοι, εὐδιάδοχοι. Σ. — τὸ δὲ ὑπ' αἰθέρι, ἀντὶ τοῦ ὑπὸ αἰθρίᾳ καὶ καθαρῷ ἀέρι καὶ ἀνεφέλῳ· διαστέλλει γὰρ ἐνταῦθα φανερῶς αἰθέρα καὶ ἀέρα· οὗτος μὲν γὰρ σκοτεινός. Ε. — Πέπτατο] Ἐξήπλωτο ἡ λαμπηδών. Σ.

Σ. 373 Μεταπαυόμενοι] Ὅ ἐστιν, οἱ μὲν ἀναπαυόμενοι, οἱ δὲ μαχόμενοι ἐκ διαδοχῆς καὶ ἀναπαύσεως. Σ.

Σ. 377. Οὔπω φῶτε πεπύσθην] Οὐχ ὡς τῶν ἄλλων πυθομένων· ἄτοπον γὰρ ἐπὶ πάντας διαβῆναι τὴν φήμην, ἀλλὰ τῶν ἀρίστων. Τοῦτο δὲ ποιεῖ, ἐπεὶ θάτερον αὐτῶν ἀποστέλλειν, ἐθέλει φίλτατον ὄντα Ἀχιλλεῖ. Σ. Β.

Σ. 381. Ἐπιοσσομένω] Προορώμενοι καὶ προσδοκῶντες μήτε ἀποθνήσκειν τοὺς ἑταίρους, μήτε φεύγειν, ἐπὶ τῆς αὐτῆς ἔμενεν τάξεως. Σ. Β.

Σ. 387. Μαρναμένοιϊν] Οἷα οὐχ ἁπλῶς ἐπὶ πλήθους ῥηθὲν, ἀλλ' ἐπὶ δυάδος μερῶν τοῦ τε Τρωϊκοῦ τοῦ τε Ἀχαιϊκοῦ· ὡς δηλοῖ κατωτέρω τὸ, εἷλκεον ἀμφότεροι. Ε.

Σ. 389. Ὡς δ' ὅτ' ἀνὴρ ταύροιο . . . βοείην] Εὐτελὴς δὲ οὖσα ἡ εἰκὼν, ὅμως τῇ ἐναργείᾳ λάμπει κατὰ τοὺς παλαιοὺς, οἷα ἐναργῶς παριστῶσα τὸ ὑποκείμενον. Ε. — ἐνδείξασθαι θέλων καὶ τὴν βίαν τῶν ἑλκόντων, καὶ τὴν τοῦ ἑλκομένου σώματος

ταλαιπωρίαν, δορὰν διατεινομένην παραλαμβάνει, καὶ ταύτην ἀκμαῖαν, ἥ τις πολλὴν ἐπίδοσιν ποιεῖται καὶ ἐλαίῳ διάβροχον· τούτῳ γὰρ τὰ κατεσκληκότα μαλάττονται· οὔπω δὲ ἐπαττάλευον τὰς βύρσας ἴσως. Σ. Β.

Σ. 390. Μεθύουσαν ἀλοιφῇ] Δηλοῖ δὲ τροπικῶς· ἡ λέξις πλήρωσιν τὴν ἀπὸ πληθυσμοῦ ἀλοιφῆς, ἥ ἐστι λίπος· ὅπερ ἐξικμασθείσης τῆς βύρσης τανυσμῷ, ἀντεισδύνει εἰς τοὺς πόρους καὶ μαλάσσει τὴν βύρσαν. Ε.

Σ. 391. Διαστάντες] Ὅρα δὲ καὶ τὸ διαστάντες, οὐ μαχίμως λεχθὲν ἀλλ' ἀντὶ τοῦ διαχωρισθέντες, καὶ ὧδε καὶ ἐκεῖ στάντες. Ε.

Σ. 397. Μῶλος] Ἴδ. Β, 401.

Σ. 398. Οὐδὲ κ' Ἄρης λαοσσόος] Λαοσσόος δὲ Ἄρης οὐχὶ ὁ λαοῦ σωστικὸς, πῶς γὰρ τοιοῦτος ὁ βροτολοιγός; ἀλλὰ κατ' ἑτέραν ἔννοιαν λαοσσόον λέγει Ἄρην, τὸν λαοῦ παρορμητικὸν ἢ τὸν διωκτικὸν λαοῦ, ἀπὸ τοῦ σέω, ἐξ οὗ τὸ σεύω. Ε. — ὁ τῶν λαῶν τὸ πλῆθος διοικῶν καὶ σώζων· ὁτὲ δὲ εἰς φυγὴν τρέπων. Σ.

Σ. 401. Οὐδ' ἄρα πώ τι] Εἴωθε συμπάθειαν ἐγείρειν διὰ τούτων, ἐπὰν οἱ τὰ μέγιστα δυστυχοῦντες ἐν ἀγνοίᾳ τῶν κακῶν εἶεν, καὶ ἐπὶ χρηστοτέρων φέρωνται ἐλπίδων, ὡς Ἀνδρομάχη, καὶ Δόλων καὶ νῦν Ἀχιλλεύς. Σ. Β.

Σ. 405. Ἐνιχριμφθέντα] Ἤγουν ἐμπελάσαντα ταῖς Τρωϊκαῖς πύλαις. Ε.

Σ. 422. Ἐρωείτω] Ἀμελείτω, ὑποχωρείτω. Σ.

Σ. 424. Σιδήρειος ὀρυμαγδός] Ἤτοι στερεὸς, ἢ ἀπὸ ὅπλων τοῦ σιδήρου ψόφος. Σ.

Σ. 425. Ἀτρυγέτοιο] Ἴδ. στ. 371.

Σ. 427. Πυθέσθην] Τὸ δὲ πυθέσθην ἀντὶ τοῦ ᾔσθοντο εἴληπται.

Σ. 430. Ἐπεμαίετο] Τὸ δὲ ἐπεμαίετο, ἀντὶ τοῦ ἐπεζήτει, ἐφήπτετο. Ε.

Σ. 431. Ἀρειῇ] Ἀρειὴν δὲ λέγει τὴν ἀρὰν, ἤτοι ἀπειλήν. Ε. — ἀντίκεινται δὲ τῇ ἀρετῇ πάντως οἱ μειλίχιοι λόγοι. Ε.

Σ. 432. Πλατὺν Ἑλλήσποντον] Ἴδ. Η, 86.

Σ. 437. Ἐνισκίμψαντε] Ἐμπελάσαντες, ἐμπεσόντες. Σ. — σκίμψαι δὲ καὶ νῦν μετὰ τοῦ μ· ἔστι δέ πως ὅμοιον τῷ χρίμψαι· τοιοῦτον γὰρ κατὰ νοῦν τὸ οὔδει ἐνισκίμψαντες καρήατα·

НБ ОНУ імені І.І. Мечникова

ὅπερ ἄλλως ἵπποις οὐ χαρτὸν, ὕψου γὰρ ἔχουσι κάρη ἀγερωχοῦντες· τοιοῦτον γὰρ φύσει τὸ ζῶον. Ε.

Σ. 438. Μυρομένοισιν] Τὸ δὲ μύρεσθαι καιρία λέξις ἐπὶ δαψιλοῦς δακρύου ἤγουν ῥέοντος καὶ προσφυῶς εἰπεῖν, μορμύροντος· διὸ καὶ δὶς ἐνταῦθα κεῖται. Ε.

Σ. 455. Κνέφας ἱερὸν ἔλθῃ] Προέκθεσις δὲ καὶ ταῦτα τῶν μελλόντων. Οἰκονομήσει γὰρ δεινῶς ὁ ποιητὴς παλίωξιν γενέσθαι τινὰ, καὶ τοὺς Τρῶας μέχρι καὶ τοῦ ναυστάθμου νικῶντας ἐλθεῖν, ἵνα καὶ ὁ Ἀχιλλεὺς οὕτω πιθανῶς ἐκδράμῃ πρὸς συμμαχίαν, ἄοπλος ὢν, καὶ ὁ Ἕκτωρ δὲ φρονηματισθεὶς ἐπὶ ταῖς νίκαις, παραμείνῃ ἔξω τῆς πόλεως· οὐκ εὐλόγιστον τοῦτό γε ποιήσας ἐκεῖνος, καὶ οὕτω τὴν ἐς νέωτα μάχην θαῤῥήσας, ἐγκύρσῃ τῷ Ἀχιλλεῖ πιθανῶς, καὶ πεσεῖται. Ε.

Σ. 457. Οὐδάςδε] Τὸ οὖδας λέγεται μὲν κατ' εὐθεῖαν, ἄκλιτον ὄν· τοῦ δὲ οὐδος εὐθεῖα μὲν οὐχ εὕρηται παρὰ τῷ ποιητῇ, δοτικῇ δὲ (ἀνάγν. δοτικὴ) αὐτοῦ πολλαχοῦ. Ε.

Σ. 464. Ἱερῷ ἐνὶ δίφρῳ] Ἱερὸν δὲ ἔφη τὸν τοῦ Ἀχιλλέως δίφρον, ἢ σεμνύνων τὸν Ἀχιλλέα, ἢ καὶ διὰ τοὺς ἵππους οἳ τοιοῦτοι ὑπόκεινται εἶναι. Ε. — ἤτοι μεγάλῳ, ἢ ἱεροὺς ἐλαύνοντι ἵππους. Σ. τῷ μὴ ἄλλῳ ἐπιβάτῳ, ἢ Ἀχιλλεῖ. Σ. Β.

Σ. 469. Νηκερδέα βουλήν] Ὃ ἐστιν ἀσύνετον, κατὰ τοὺς παλαιούς· κέρδος γάρ φασι καὶ ἡ σύνεσις. Ε. — ἀκερδῆ, ἀνωφελῆ, βλαβεράν. Σ.

Σ. 476. Ἵππων . . . δμῆσίν τε μένος τε] Τὸ δὲ ἵππων ἔχειν δμῆσίν τε μένος τε, περίφρασίς ἐστι τοῦ ἵππους δαμάζειν. Διττὸν δὲ ἐνταῦθα τὸ ἔχειν· ἄλλως γὰρ ἔχει τις δμῆσιν ἵππων, καὶ ἄλλως μένος ἵππων· δμῆσιν μὲν γὰρ ἔχει, ἀντὶ τοῦ οἶδεν, ὡς ἐπιστήμην ἔχων· μένος δὲ ἔχει, ἀντὶ τοῦ ἐπέχει, κρατεῖ. Ε.

Σ. 477. Θεόφιν μήστωρ ἀτάλαντος] Ἴσος θεοῖς εἰς τὸ κατεργάσασθαί τι. Σ. Β.

Σ. 481. Βοηθόον] Ἐν πολέμῳ ταχύν. Σ.

Σ. 487. Κακοῖσι] Ἤγουν δειλοῖς, ἢ ἀτέχνοις. Ε.

Σ. 493. Αὔησι] Ξηραῖς, κούφαις. — Ἐπελήλατο] Ἐπεπήγει. Σ. — ἤγουν ἔξω περὶ τὴν ἐπιφάνειαν ἐλατὸς ἔκειτο. Ε.

Σ. 502. Ἐμπνείοντε μεταφρένῳ] Ἐμπνέειν ἵππους μεταφρένῳ, φησὶ, τοὺς ἔγγιστα ἀκολουθοῦντας. Ε.

Σ. 503. Σχήσεσθαι] Ἀποσχῆσαι, παῦσαι. Σ.

Σ. 509. Οἵπερ ἄριστοι] Ἤγουν τοῖς ἀρίστοις· — ἔστι δὲ

НБ ОНУ імені І.І. Мечникова

ἐπιτρέπειν τὸ ἀνατιθέναι· ὅθεν καὶ οἴκου ἐπίτροπος, καὶ τεθνεῶτος δὲ, οἷς τὸ περὶ αὐτῶν οἰκονομεῖν ἀνατέθειται. Ε. — ἐν ἐπιτροπῇ ἔσται. Σ.

Σ. 510. Βεβάμεν] Ἐμβεβηκέναι, ὑπερασπίζειν. Σ. — ὅρα δὲ καὶ ὡς ἀμύνεσθαι μὲν στίχας μετὰ αἰτιατικῆς, τὸ παθητικόν· ἀμύνειν δὲ ζωοῖς μετὰ δοτικῆς, τὸ ἐνεργητικόν. Ε.

Σ. 512. Ἔβρισαν] Ἴδ. στ. 233.

Σ. 514. Ἐν γούνασι κεῖται] Οἱονεὶ παράκειται, ἢ ἐν ἐξουσίᾳ τῶν Θεῶν ἐστίν. Σ. — ἐν τοῖς κόλποις, διὰ τὸ τὰ ἐν αὐτοῖς ἀποκείμενα πρόχειρα εἶναι· οἱ δὲ ἀπὸ μέρους, τῇ δυνάμει. Σ. Β.

Σ. 515. Ἥσω] Πέμψω, ἀκοντίσω· — ὅθεν καὶ ἡμῶν ὁ ἀκοντιστής. Ε.

Σ. 517. Ἀρήτοιο] Ἰστέον δὲ, ὅτι ὥσπερ Ἀρήτη φερωνύμως παρὰ τὴν ἀρὰν, ὅ ἐστι τὴν εὐχὴν, ἡ εὐκταῖα γεννηθεῖσα τοῖς τοκεῦσιν, οὕτω Ἄρητος τὸ κύριον· ἐξ οὗ καὶ ὁ παρὰ Ἡροδότῳ Δημάρητος, κατὰ δήμου ἀρὰν καὶ αὐτὸς γεννηθείς· ὁ μέντοι ἀρητὸς τὸ ἐπίθετον, ὁ δηλοῖ τὸν δυστυχῆ, καὶ, ὡς εἰπεῖν, ἐπάρατος, ὡς τὸ, ἀρητὸν δὲ τοκεῦσι πένθος, παρὰ τὴν ἀρὰν τὴν βλάβην ὠνόμασται· ἀπὸ δὲ τοῦ Ὁμηρικοῦ Ἀρήτου οἱ μεθ' Ὅμηρον Ἄρητοι, ὁ καλὸς ποιητὴς καὶ ὑμνούμενος στρατηγὸς καὶ εἴ τινές που ἕτεροι. Ε.

Σ. 520. Πρὸς μόνον τὸ προθορὼν ἡ παραβολή] Ταὐτὸν δ' εἰπεῖν, πρὸς μόνον τὸ πήδημα· οὐ γὰρ ὕπτιος πίπτει ὁ ταῦρος, ὡς ὁ Ἄρητος. Ε.

Σ. 521. Κεράων] Καιριώτατος δὲ τόπος εἰς πληγὴν, ὁ τῶν κεράτων ὄπισθεν εἰς τὴν τῶν νευρῶν ἀρχήν. Ε.

Σ. Ἵνα τάμῃ] Ὅλην ἀποτέμοι τὴν νωτιαίαν φλέβα. Σ. — Προθορών] Τὸ δὲ προθορὼν, ἀντὶ τοῦ προεκπηδήσας ὡς εἰς ἄμυναν. Ε. — βοῶν μὲν οἰκεῖον τὸ προπίπτειν· τῶν δὲ ἄλλων ζώων τὸ ἀνακλᾶσθαι. Σ. Β.

Σ. 523. Προθορὼν πέσεν ὕπτιος] Προπίπτειν μέλλοντα βίαιος οὖσα ἡ πληγὴ ἀνέστρεψεν· ἡ δὲ ἀναβολὴ πρὸς τὸ προθορεῖν μόνον· καὶ γὰρ οὗτος προέθορε μὲν ὡς ταῦρος, οὐκ ἔπεσε δὲ ὡς αὐτός. Σ. Β.

Σ. 524. Νηδυίοισι] Νηδύϊα, τὰ ἐντόσθια, ὅ ἐστιν τὰ κατὰ νηδὺν σπλάγχνα· ἅπαξ ἐνταῦθα εἶπεν ὁ ποιητής· ἃ τρισυλλάβως ἕτεροι νήδυα γράφουσι. Ε. — νηδὺς ἡ κοιλία. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 530. Αὐτοσχεδόν] Ἐκ τοῦ σύνεγγύς. Σ.

Σ. 535. Δεδαϊγμένον] Μεμερισμένον. Σ.

Σ. 539. Μεθέηκα] Μικρὸν δέ τι τὶς (ἀνάγν. τῆς) ἐπὶ Πατρόκλῳ λύπης κεκούφισμαι τὴν ψυχήν. Σ. — ἀγαπητὸν γὰρ τῷ μεγάλῳ λυπουμένῳ, εἰ καὶ μικρόν τι παρηγορίας προσάψεται. Ε.

Σ. 547. Ἶριν] Πορφυρέην· νῦν ποικίλην· ἶριν δὲ λέγει νῦν τὸ γιγνόμενον περὶ τὸν ἀέρα πάθος, ὅ ἐστι νέφος ὑγρόν. Σ.

Σ. 549. Δυσθαλπέος] Δυσθαλπέα δὲ τὸν ψυχρόν φησιν, ἐν ᾧ δυσχερὲς θάλπεσθαι. Ε.

Σ. 550. Μῆλα] Μῆλα εἰπὼν πάντα τὰ ζῶα ἐκ μέρους ἐνέφηνεν. Ε. — Κήδει] Κακοῖ, βλάπτει. Σ.

Σ. 551. Ἑαυτήν] Ἢ μᾶλλον διαλελυμένως ἓ αὐτὴν, ὡς Ὁμήρῳ γράφειν σύνηθες. Ε. — Πυκάσασα] Σκεπάσασα, καλύψασα. Σ.

Σ. 553. Πρῶτον δ' Ἀτρέος υἱόν] Οὐκ εἰκῆ, ἀλλ' ἐπεὶ φαίνεται οὗτος μόνος ἀγωνιῶν ὑπὲρ Πατρόκλου. Σ. Β.

Σ. 556. Κατηφείη] Αἰσχύνη, ἀπὸ τοῦ κάτω ἔχειν τὰ φάη. Σ. Β.

Σ. 561. Ἄττα] Τροφεῦ· ἔστι δὲ νεωτέρου πρὸς πρεσβύτερον ἠθικὴ προσφώνησις. Σ. — Παλαιγενές] Πάλαι γεγονὼς, πρεσβύτα. Σ.

Σ. 564. Ἐσεμάσσατο] Καθῆψε, καὶ ἐλύπησε τὴν ψυχὴν, καὶ ἐναπεμάξατο. Σ. — οὐχ ἁπλῶς ἐπιπολῆς ἐλύπησεν, ἀλλ' ἐνεμάξατό μοι τὴν ἀλγηδόνα· οὗ τὸ ἐναντίον, ἀπομάσσεσθαι, καὶ ἐκμάσσεσθαι λέγεται· — ἢ καὶ ἄλλως, ἀντὶ τοῦ λίαν μοι καθίκετο τῆς ψυχῆς καὶ καθήψατο, ἀπὸ τοῦ μάσασθαι· ἐξ οὗ καὶ τὸ, χειρὶ ἐπιμασσάμενος, ὅ ἐστιν ἐφαψάμενος. Ε.

Σ. 568. Πάμπρωτα] Πάντων πρώτη. Σ.

Σ. 570. Μυίης θάρσος] Τὸ ἐπίμονον τοῦ ἥρωος λέγει· οὕτως γὰρ, ἀποτρεπόμενος εἰς ἄλλον τόπον, ἔτρεχε εἰς τὸν αὐτόν. Σ. — καὶ ὅρα, ὅτι οὐ μυίας ἀλκὴν ἐντεθῆναι εἶπε τῷ Μενελάῳ, τοῦτο γὰρ γελοιότατον διὰ τὸ ἄγαν ταπεινὸν, ἀλλὰ θάρσος· διὸ καὶ δὶς αὐτὸ παρεσημήνατο, ἔν τε τῷ, μυίης θάρσος, καὶ ἐν τῇ ἀποδώσει τῆς παραβολῆς. Ε. — αἱ δὲ ποιητικαὶ λέξεις ἐπικαλύπτουσι τὸ ταπεινόν. Σ. Β.

Σ. 572. Ἰσχανάᾳ δακέειν] Τὸ δὲ ἰσχανάᾳ δακέειν ἀντὶ τοῦ ἐπιθυμεῖ, ἀντίσχεται, ἀντέχεται· ποιηταῖς δὲ πρέπουσα ἡ λέξις. Ε. — Λαρόν] προσηνὲς, γλυκύ. Σ.

Σ. 575. Ποδῆς, υἱὸς Ἠετίωνος] Ὁ δὲ Ἠετίων ὁμώνυμος τῷ τῆς Ἀνδρομάχης. Εἰ δὲ ἦν τῶν Κιλίκων ὁ Ποδῆς, εἶπεν ἄν, ὅτι μάλιστα τῶν βασιλέων αὐτὸν ἐτίμα, οὐ τοῦ δήμου· προαπώλλοντο δὲ καὶ οἱ Ἀνδρομάχης ἀδελφοί· καὶ τὸ ἀφνειὸς δὲ δείκνυσιν, ὡς ἕτερος ἦν· ὁ γὰρ τοῦ Ἀνδρομάχης πατρὸς οἶκος ἠρεμῶτο. Σ. Β.

Σ. 577. Δήμου] Ἤτοι τῶν ἄλλων δημοτῶν. —Εἰλαπιναστής] Ὅ ἐστι σύνδειπνος, καὶ ὡς οἱ παλαιοί φασι παράσιτος. Ε. — ὁμοτράπεζος, συνευωχητής. Σ.

Σ. 579. Διὰ πρὸ—ἔλασσε] Διήλασε τὸ δόρυ, ὥστε διελθεῖν εἰς τοὔμπροσθεν. Σ.

Σ. 584. Ἀβυδόθι] Ἐν Ἀβύδῳ. Ἄβυδος δὲ πόλις Τροίας Ἑλλησπόντου. Σ.

Σ. 588. Μαλθακός] Πρέποντας πολεμίῳ τοὺς λόγους περιτέθεικεν ὁ Ποιητής, ἐπεί τοι οὐκ οἶδε δειλὸν τὸν Μενέλαον· βοὴν γὰρ ἀγαθὸν πανταχοῦ καλεῖ αὐτόν, ὅ ἐστι ἐν μάχῃ. Σ. ὁ ἐχθρὸς Ἀπόλλων μαλθακὸν σκώπτει μεταλαβὼν τὸ τοῦ ἥρωος πρᾷον καὶ ἐνηὲς εἰς μαλακότητα. Ε.

Σ. 591. Ἄχεος νεφέλη] Πύκνωμα τῆς λύπης περιφραστικῶς. Σ.

Σ. 593. Μαρμαρέην] Ἴδ. Γ, 126.

Σ. 595. Τὴν δέ] Ἤγουν τὴν αἰγίδα. Ε.

Σ. 597. Ἦρχε φόβοιο] Τὸ δὲ ἦρχε φόβοιο ἀστείως ἔχει· δέον γὰρ ἄρχειν μάχης πρῶτον ἑστῶτα, ὁ δὲ φόβου ἦρχε· καὶ τοῦτο μὲν ἀγεννές· σεμνὸν δὲ αὐτοῦ, ὅτι οὐ κατὰ νῶτα βέβληται, ἀλλ' ὡς εἰκός, ἐκ τῶν ἔμπροσθεν, οἷα μηδὲ δείξας νῶτα, φεύγων δὲ ἄλλως ἐν τῷ μάχεσθαι μὲν χωρεῖν δὲ ἀνὰ πόδας, ὡς δηλοῖ τό, πρόσω τετραμμένος αἰεί, ὃ φάσιμον μαχητὴν δηλοῖ. Ε.

Σ. 599. Ἐπιλίγδην] Ἀντὶ τοῦ ξεστικῶς καὶ ἐπιπολῆς. Ε. — Γράψεν] Ἐπέξεσεν. Σ. — Ὀστέον ἄχρις] Ὃ δηλοῖ τὸ διόλου ἢ τὸ ἄχρι καὶ εἰς ὀστοῦν, ὡς μήδ' εἰσδύοντος, ἐνδοτέρω τοῦ δόρατος. Ε. — Ἄχρις] Ἕως τέλους. Σ.

Σ. 607. Ἐν καυλῷ] Ἴδ. Ν, 162.

Σ. 611. Ἐκ Λύκτου] Λύκτος δέ, πόλις Κρητική. (ἴδ. Β, 647).

Σ. 612. Πεζός] Ὁ Μηριόνης δηλονότι πεζὸς παρεγένετο ἀπὸ τοῦ ναυστάθμου. Σ.

Σ. 618. Δόρυ πρυμνόν] Δόρυ δὲ πρυμνὸν τὴν αἰχμὴν λέγει, τουτέστι τὸ τοῖς ὀδοῦσιν ἐνσκήψαν μέρος τοῦ δόρατος τὸ μετὰ τὸν καυλόν. Ε.

Наукова бібліотека ОДЕСЬКОГО НАЦІОНАЛЬНОГО УНІВЕРСИТЕТУ імені І. І. МЕЧНИКОВА
НБ ОНУ імені І.І.Мечникова
~~67225~~
И-91888.
02/09/25
902903
НБ ОНУ

НБ ОНУ імені І.І.Мечникова

Ὅσα βιβλία νεωστὶ ἐξῆλθ

1. Σχόλια εἰς Ὀδύσσειαν ὑπὸ Baumgart
εἰς τόμ. 3. Δρ. 12.
2. Σχόλια εἰς τὸν Πίνδαρον ὑπὸ Augustus
εἰς τόμ. 2. Δρ. 8.
3. Σχόλια εἰς τὸν Θουκυδίδην, τόμ. 2.
4. Ἱερὰ βίβλος Πηδάλιον, τόμ. 1. Δρ.
5. Γραμμ. Ἑλλ. διὰ τὰ Ἑλλ. Σχολεῖα, τ
6. Σχόλια εἰς τὸν Ἰσοκράτην, ὑπὸ Κοραῆ
7. Λεξικὸν Γαλλοελληνικόν, συνταχθὲν
ΚΚ. Α. Ῥαγκαβῆ, Ν. Λεβαδέως, καὶ
κάσκ, ἐχόντων ὡς κείμενον τὸν Λαβὼ,
μονα καὶ τύπον ἀκριβείας τὸ τῆς
ἐνησχολήθησαν ἀνενδότως, μὴ παραβλ
λέξιν, οὔτε φράσιν Γαλλικήν, διότι τὰ
ἐκδοθέντα Γαλλοελληνικὰ λεξικά, πλ
ἢ ἁπλᾶ δοκίμια λεξικοῦ δύναταί τι
ὀνομάσῃ παρὰ λεξικά, διὰ τὴν ἀμεθο
λογίαν τῶν ἐξηγήσεων καὶ ἐξαιρέτως
βολικὴν πτωχείαν των. Ἔχον ὄγκος
τυπογραφικὰ φύλλα, τόμ. 1. Δρ. 24.
8. Σχόλια εἰς τὴν Ἰλιάδα ὑπὸ Müller, τό

Ὅσα εὑρίσκονται ὑπὸ τὰ πι

1. Σχόλια ἀνέκδοτα εἰς τὸν Αἰσχίνην
ὑπὸ Μηνωΐδου Μηνᾶ.
2. Ἐπιτομὴ Ἑβραϊκῆς Ἀρχαιολογ
Κοντογόνη.

Οἱ τρεῖς τόμοι τιμῶνται Δ

3